

TYPIS CRAPELET

Γ. ΠΑΧΥΜΕΡΗΣ
ΙΕΡΟΚΛΗΣ ΚΑΙ ΦΙΛΑΓΡΙΟΣ

G. PACHYMERIS
DECLAMATIONES XIII

QUARUM XII INEDITÆ

HIEROCLIS ET PHILAGRII GRAMMATICORUM
ΦΙΛΟΓΕΛΩΣ

LONGE MAXIMAM PARTEM INEDITUS

CURANTE

JOANNE FR. BOISSONADE

SUMPTUS IN EDITIONEM EROGANTE

N. YEMENIZ (BYZANTIO)

NEGOCIATORE LUGDUNENSI

PARISIIS

DUMONT
A L'INSTITUT

LELEUX
RUE PIERRE-SARRAZIN, 9

M DCCC XLVIII

Γ. ΠΑΧΥΜΕΡΗΣ

ΙΕΡΟΚΛΗΣ ΚΑΙ ΦΙΛΑΓΡΙΟΣ

tio præcipuus fuerit declamatori scopus. Atque illa ab ipso conscripta fuisse opinor, siccissima quidem, sed quæ saltem brevitas commendabit vel iis quos talium scholæ quisquiliarum pertædet. Nec mihi placent. Ideoque Hermogenem, qui sæpe fuerat ad partes vocandus, ferme neglexi, ratus scilicet lectorem rhetoricum, me non monente, Hermogenem tamen magistrum artis aliosque technicos esse consulendos probe novisse.

Qui justum exhiberem volumen Pachymerianis Declamationibus Hieroclis addidi Facetias; non jam XXVIII vel XXIX illas ex editionibus, Londinensi anonyma, Needhamiana, Schieriana, Corayana, aliis, notissimas, sed CCLXIII, ex Hieroclis ac Philagrii grammaticorum libello ineptiarum excerptas, cui index præfixus est, Φιλόγελως, vernacule « Le rieur ». Melissus grammaticus Spoletanus, Mecænatis amicus, annum agens sexagesimum, jocorum id genus syllogen componere instituit; Corayus, vir severus, alter fere Socrates, sexaginta quatuor annos natus, Hieroclem edidit et comparatione similium narratiuncularum illustravit; ego jam gravis annis septuaginta quinque Φιλόγελων edo, ad codices et criticorum diatribas exigo, commentario adorno et onero quoque, istis ac talibus aliis (nam et Taciti illius Facetiæ memorantur) me defensurus exemplis, sed etiam vel absque exemplis secure perrecturus, de tristibus ac morosis parum sollicitus censoribus, qui, Martialis abutentes dicto, stultum esse laborem ineptiarum clamabunt; sum etenim et ipse in loco φιλόγελως.

Recensionis fundus mihi fuit apographum codicis Græci manu exaratum Μινωΐδου Μηνᾶ v. doct., qui illud

bona fortuna reperit, dum per Græciam et Asiam, jussu Villemani v. honor. summi educationis publicæ administratoris, anno MDCCCXL iter faceret. Propter inventum Μηνᾶς omnino est gratulatione dignus; sed et vituperandus simul, qui ne verbulo quidem significaverit cujus quæ loci bibliotheca codicem possideat, quæ conditio libri, quæ ætas vel quæ ætatis indicia. Ceterum esse recentissimus ex oratione codex arguitur.

E. Millerus vir Græcæ eruditionis laude celeberrimus de Φιλόγελῳ edendo cogitaverat; sed gravioribus nunc occupatus studiis quæ totum ipsum sibi vindicant, mihi id operis, pro ea qua me prosequitur benevolentia, suscipiendum proposuit. Res mihi arrisit valde; ac, verbum facto sequutus, me absque mora ad novum laborem accinxi.

Lecto raptim libello intellexi multum ab editore, quamvis in argumento levi ac frivolo, adhibendum fore curæ et diligentiæ, ut Millerum electionis non pœniteret, atque eruditis satis lectoribus facerem. Nam opusculi Græci, futilissimi quoque, editio lectores eruditos habet, a judicibus cognoscitur eruditis.

Edendi igitur subsidia quum mihi quærerem, Fabricius me docuit, « Hieroclis Facetias ex codice Augustano auctas Jac. Pontanum jam pridem convertisse, easque exstare ad calcem ejus Progymnasmatum ». Quem librum non facile obvium, et editoribus, quos quidem videre potui, Hieroclis Facetiarum prorsus ignotum, mihi utendum benigne permiserunt Bibliothecæ Parisiensis custodes viri optimi ac doctissimi. Facetiæ a Pontano conversæ numero sunt CIX, hocque exhibent lemma : « Ex

Γ. ΠΑΧΥΜΕΡΗΣ

ΙΕΡΟΚΛΗΣ ΚΑΙ ΦΙΛΑΓΡΙΟΣ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΑΧΥΜΕΡΟΥΣ

ΜΕΛΕΤΑΙ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΑΧΥΜΕΡΟΥΣ

ΜΕΛΕΤΑΙ*.

ΜΕΛΕΤΗ Α'.

Σκηπτοῦ κατενεχθέντος, εὕρηνται χίλιαι πανοπλίαι ἐν τῇ τοῦ Περικλέους οἰκίᾳ, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως[1]. Μελετῶμεν τὸν φεύγοντα[2], ὃς καὶ ὡς στρατηγὸς λέγει καὶ ὡς ῥήτωρ διϊσχυρίζεται.

Οὐδέν[3], ὥς ἔοικεν, ἔστιν ἀνδρὸς συκοφάντου βαρύτερον[4]· ὁ γὰρ στρατιώτῃ, καὶ ταῦτα καθ' ἑκάστην πολέμοις ἐξεταζομένῳ

* Plenior in codice titulus : Γεωργίου Δικαιοφύλακος καὶ Πρωτεκδίκου τοῦ Παχυμέρους Μελέται εἰς τὰ προγυμνάσματα καὶ εἰς τὰς στάσεις. Est in codice η super syllaba ρους scriptum, ut fiat Παχυμέρη, quæ nominis forma est recentioris linguæ. Ipse Historiarum initio dignitates Δικαιοφύλακος et Πρωτεκδίκου, de quibus vide Cangii Glossarium, suas memoravit : Γεώργιος Κωνσταντινουπολίτης μὲν τὸ ἀνέκαθεν, ἐν Νικαίᾳ δὲ καὶ γεννηθεὶς καὶ τραφείς, ἐν Κωνσταντίνου δὲ καταστὰς αὖθις, ὅτε θεοῦ νεύματι ὑπὸ Ῥωμαίων ἐγένετο, ἔτη γεγονὼς εἴκοσιν ἑνὸς δέοντος, τηνικάδε καὶ κλήρῳ σωθεὶς θείῳ καὶ ἀξιώμασιν ἐκκλησιαστικοῖς διαπρέψας καὶ ἕως καὶ ἐς Πρωτεκδίκου φθάσας τιμήν, ἔτι δὲ καὶ ἐν ἀνακτόρων εἰς Δικαιοφύλακα τιμηθείς, τάδε ξυνέγραψεν, οὐ λόγους λαβὼν ἄνωθεν ἀμαρτύρους.... Quæ descripsi longiora, moniturus codicem 1723 meliorem tenere scripturam ὑπὸ Ῥωμαίους αὕτη, et ἑνὸς δέοντος τηνικάδε, κ. κλήρῳ δοθείς (tuetur σωθείς Possinus; sed quum exemplum afferat non idoneum, nondum illi pareo); omittere ἐν, ac, quum fuerit Δικαιοφύλαξ inter officia palatii, non male dicitur ἀνακτόρων εἰς Δικαιοφύλακα, duriore tamen inversione. Philes, quem anonymum allegavit Cangius, carmine de Officiis, v. 126 : Δικαιοφύλαξ, σὺν αὐτῷ Νομοφύλαξ. Est etiam in codice ἄλλοθεν pro ἄνωθεν.

[1] Primam declamationem qua Pericles affectatæ tyrannidis crimen refutat jam edidi ut specimen in quinto Anecdotorum Græcorum volumine; unde repetere nunc visum est, et emendatiorem, qui totum declamationum Pachymeriarum corpus uno syntagmate complecterer. Ut oratio, sic et historiola ficta est. Saltem de Pericle nil tale nunc in monumentis litterarum memoriæ proditum est.

[2] Formulam declamatorum μελετῶμεν attigi ad Choricium, p. 206. Scholium ante argumentum : ἡ στάσις, στοχασμός.

[3] Schol. : τὸ προοίμιον ἐξ ὑπολήψεως.

[4] Infra Declamatione IX : δεινὸν ὁ συκοφάντης, δεινόν, ὦ γῆ καὶ θεοί. Meminisse videtur Demosthenicæ senten-

καὶ μάχαις, τὰ ὅπλα τιθεὶς ἔγκλημα, τί ἂν ἄλλο κατηγορῆσαι τούτου ἀπόσχοιτο; Ἐγὼ δὲ χάριν ἔχω τοῖς πολισσούχοις[1] θεοῖς, ὅτι ἐφ' ὑμῶν ὁ τἀμὰ κακίζων ποιεῖται τοὺς λόγους, οὓς μάρτυρας ἂν τῆς πρὸς τὴν πόλιν ἐμῆς εὐνοίας ἡδέως παρεστησάμην, εἰ παρ' ἑτέροις τῆς ἐμῆς πολιτείας εὐθύνας ἠναγκαζόμην διδόναι, οἷα φιλεῖ τοῖς δημοκρατουμένοις γίνεσθαι, εἰς ἀκριβεστάτην γνώμης ἐξέτασιν. Ἄτοπον γὰρ εἰ ξένους παρῆγον τοὺς μαρτυρήσοντας, καὶ μὴ τοὺς ὑπὲρ ὧν, καὶ γλῶσσαν κινῶν ἐν βουλαῖς καὶ δόρυ στρέφων ἐν μάχαις, ὁσημέραι διετέλουν ἀγωνιζόμενος. Ἀμέλει τοι καὶ θάῤῥος ἔχω τὸ μέγιστον ὡς οὐ διαφευξεῖται τὸ ἀληθές, ἀλλὰ καὶ ῥητορικῆς ἁπάσης ὑπερέξει δεινότητος· καὶ δείξει μόνον νικῶν, παρ' ὑμῖν κρίνουσι, πᾶσαν συκοφάντου ἐπίνοιαν.

Ηὐχόμην[2] μὲν οὖν — πῶς ἂν εἴποιμι εὐπρεπῶς; — μὴ Περικλῆν ὄντα, καὶ οἷον οἴδατε πάντες, ἐμὲ κρίνεσθαι, ἀλλ' ἐμὲ μὲν εἶναι τὸν ἐπὶ τοιούτοις καὶ μόνον φεύγοντα, πλὴν γυμνὸν ἁπάσης δεινότητος, μόνῃ δὲ γνώμῃ πιστὸν φιλοπόλιδι καὶ τῇ πρὸς τὸν δῆμον εὐμενείᾳ θαῤῥοῦντα· οὕτω γὰρ ἂν ἀνύποπτον εἶχον — σὺν θεῷ[3] δ' εἰρήσθω — τὴν νίκην, καὶ λόγος οὐδεὶς τοῖς συκοφάνταις ἐλείπετο, ὡς γλώσσης, ἀλλ' οὐ γνώμης καὶ ἀληθείας, ἀγώνισμα

tiæ Ctes., § 241 : πονηρόν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης. Infiniti sunt de sycophantis loci. Uno defungar Menandri Sent. sing.: Ὁ συκοφάντης ἐστὶ τοῖς πέλας λύκος. Citavit Meinek. varietatem, ἐστὶν ἐν πόλει λ. Inveni in cod. 1696 : ἐστὶν ὕπουλος λύκος. Fortasse versus fuit primitus integer : Ὁ σ. ἐστὶ γὰρ ὕπουλος λ. Particulas μέν, δέ, γάρ, sæpe omiserunt descriptores, qui sententias generales venabantur. Sic Arsenius Euripideam sententiam descripserat imperfectam, Ἀνὴρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ, cui metrum restituit Wagner., fr. 1061, scripto, ἀνὴρ δὲ χρ. Ipse olim ad Phil. Epist. proposueram, ἀνὴρ ὁ χρ. In ejusdem fragmento 7 excidit typothetæ aliud agenti δ' post ἀνδρός. Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

[1] Cod., πολισούχοις. Quod mendum est et in vetustis Æschyli editionibus Theb., 257, 822. Nomen illustravit Blomf. ad Theb. 69. Cf. Thes. St. Did.

[2] Schol.: δεύτερον προοίμιον ἐξ ὑπολήψεως καὶ αὐτοῦ τοῦ προσώπου.

[3] Formula est modeste loquentis, et a se veluti Nemesin amolientis. Potest inspici quam apposui huic loco notula in Anecd. Gr. t. V, p. 352; collato Salmasio ad Aristæn. in auctariolo Abreschiano, p. 63; Krabingero ad Synes. Calv., p. 180. Procopius Gazæus Epist. 25 Maianæ : ἡ πατρίς, σὺν θεῷ δὲ εἰρήσθω, εὐμενέσιν εἶδεν ἡμᾶς ὀφθαλμοῖς. Plato Epist. 4 : τὰ μὲν οὖν εἰς τὸ παρόν, σὺν θεῷ εἰπεῖν, ἔχει καλῶς. Mox : ἐπειδή, σὺν θεῷ εἰπεῖν, ῥᾴδιον ἔσται. Codex 3009 sine εἰπεῖν. Conf. mox p. 6, 19 : et Declamatio II extrema.

τὸ κατόρθωμα. Ἐπεὶ δ' οὕτω τὰ κατ' ἐμὲ συνέπεσον, ὡς ἀμφοτέρωθεν ἔχειν κίνδυνον, καὶ λόγοις μὲν ἰσχυριζόμενον, κἂν που καὶ περιγενοίμην, λόγων δυνάμει καὶ μὴ ταῖς ἀληθείαις νικᾶν ὑποπτεύεσθαι, καθυφεικότα δὲ τῆς σπουδῆς, διὰ ταῦτα ἔγκλημα ἐμαυτῷ περιάπτειν κακῶν ἁπάντων δεινότερον, εἶχον μὲν γνώμης οὕτως, ὥςτε τοῖς λόγοις, ὡς δύναμαι, χρήσασθαι, καὶ περιγενέσθαι, ὡς ἂν οἷός τε ὦ, κἂν ὑποπτεύοι τις, ἤ, τὴν ὑποψίαν φεύγοντα, καθυφεῖναι, καὶ δοῦναι τοῖς συκοφάνταις ἐντεῦθεν λαβάς. Ἀλλ' ὅμως, τὴν μέσην χωρῶν, ἀπολογήσομαι, περὶ τῶν κατ' ἐμαυτὸν ἁπλῶς τοὺς λόγους ποιούμενος· τὴν δὲ τῶν λόγων ἰσχὺν παρ' ὑμῶν ζητήσω, ὡς ἐκ τῶν πραγμάτων, καὶ οὐκ ἐκ τῶν λόγων, τὸ ἀληθὲς εὑρισκόντων, ἐφ' οἷς τις καὶ κρίνεται.

Μέλλων[1] δὲ τῆς ἐμῆς εὐνοίας, ὡς ἔοικε, δείγματα παράγειν τὴν σήμερον, παραιτοῦμαι τοὺς παρόντας μὴ περιαυτισμόν τινα προςτρίβειν ἐμοί, εἴπερ εἰς τοιούτους πολλάκις ἐμπέσω λόγους, ἀλλ', εἰδότας ὡς ἀνάγκης ταῦτα, καὶ ὡς οὐδ' ἂν καὶ ἄλλου λέγοντος ἠνεσχόμην ποτέ, λειπόντων τῶν ἐγκλημάτων, συγγινώσκειν, καί, ὅπερ ἂν ἕκαστος ὑμῶν εἰς τοιοῦτον καταστὰς ἀγῶνα ἔπραττεν ἄν, τοῦτο διδόναι κἀμοί. Οὐ γὰρ ξένα τὰ ῥηθησόμενα καὶ τοὺς πολλοὺς λανθάνοντα, ἀλλ', οἶμαι, γνώριμα πᾶσι, καὶ ὧν ὑμεῖς πλέον τῶν ἄλλων μάρτυρες.

Ἐγώ[2], ἵνα τἆλλα παρῶ, οὐ χθὲς καὶ πρὸ τρίτης[3] ἠρξάμην τὸν δῆμον φιλεῖν καὶ τὴν δημοκρατίαν ἀσπάζεσθαι· ἀλλ' ἅμα τῷ πατέρων[4] ἐξουσίας ἀπολυθῆναι καὶ μαθημάτων ἀνεθῆναι καὶ τῶν ἐπὶ τούτοις ἀσχολιῶν, μίαν ἐθέμην γνώμην παρ' ἐμαυτῷ καὶ σπουδήν, τὸ κατὰ τὴν ἡμετέραν πολιτείαν διάγειν καὶ μηδὲν ἡγεῖσθαι κρεῖτ-

[1] Schol.: προκατάστασις, ἢ καὶ προδιήγησις.

[2] Schol.: κατάστασις, ἢ καὶ διήγησις.

[3] De formula χθὲς καὶ πρὸ τρίτης, χθ. καὶ πρότριτα, ad Anecd. Nova, p. 166. Est similis alia χθὲς καὶ πρώην. Dicunt hodie χθὲς καὶ προχθές, quod synonymum est. Etenim scholiastes Philostrati Her. p. 578, πρώην explicat apposito προχθές.

[4] Πατέρων, patris ac matris, parentum. Christodorus Anth. 7, 698: Ὤχετο μουσοπόλοισι ποθὴν πάντεσσιν ἐάσας, Οὓς ἐπόθει πατέρων φέρτερα γειναμένων. Gregorius Presbyter Vita Nazianzeni, p. 3: πατέρες μὲν αὐτῷ εὐπατρίδαι.... ὧν ὁ μὲν πατήρ.... ἡ δὲ μήτηρ.... Adde notulam meam ad Theocritum edit. alt., et ad hunc ipsum locum in Anecd. Gr. t. V, p. 363.

τον αὐτῆς. Καὶ τοῦτο οὐχ ὑμᾶς ὑποτρέχων λέγω, ἀλλὰ τὸ ἀληθές, καὶ ἃ σύνοιδα ἐμαυτῷ τότε διανοούμενος, ταῦτα καὶ νῦν, ὡς οἷόν τε, παριστῶ.

Εὕρισκον γὰρ σκοπούμενος τὰς μὲν ἑτέρας πολιτείας, ἀριστοκρατίαν μὲν ἐκ μέρους ἔχουσαν τὸ ὠφέλιμον, καὶ οἷς μὲν μὴ μιᾶς γνώμης ἐξαρτᾷ τὰ κοινὰ δικαίως ἐπαινουμένην, οἷς δ' αὖθις οὐ πάντας ἔχει τοὺς συνειδότας ἐφ' οἷς οἱ ἄριστοι πράττουσιν, ὡς ἂν τὸ κοινὸν καὶ κοινὸν εἴη ταῖς ἀληθείαις, ψεγομένην ὡς τὸ εἰκός· μοναρχίαν δὲ μηδένα τοῖς ἐπαίνοις τόπον παρέχουσαν, ἀλλ' ἅπαν τοὐναντίον πρὸς τὸ δίκαιον ἔχουσαν. Πῶς γὰρ ἂν τὸ κοινὸν διατηρηθείη δίκαιον πόλει, ἧς μία γνώμη καὶ ψῆφος ἄρχει, καὶ ἑνός τινος θέλημα πᾶσαν ἄγει ὡς ἐκεῖνος βούλεται, κἄν τις τολμήσῃ καὶ λαθὼν γρύξῃ[1], τὸ ἐπιτίμιον θάνατος[2]; τί δὲ καὶ χρήσιμον τούτῳ ἐπίοι πρὸς τὴν τοῦ κοινοῦ λυσιτέλειαν, ἑνί γε ὄντι, καὶ μηδὲ τοῦτο εἰδότι ὅτι καὶ φύσις αὐτὴ ζώῳ παντὶ συνεδύασε τὰς αἰσθήσεις, ὡς πανταχοῦ κακιζομένου τοῦ μόνου; κἂν καλόν τι[3] δόξῃ, ὁ ἐπικρίνων οὐδείς· κἂν ἔμπαλιν, οὐκ ἔσται ὁ διορθούμενος· εἰ δὲ καὶ πάθος μεσολαβήσει[4] ψυχῆς καὶ ὄρεξις ἄλογος, ποῖος σύμβουλος κωλύσει τὸ βλαβερόν, ἁπάντων τῆς ἐκείνου γνώμης ἐξαρτωμένων, ὡς μόνως μὲν οἰκειωθησομένου ἑκάστου τῷ ἄρχοντι ἐκ τοῦ τὸ δόξαν ἐκείνῳ ὡς καλῶς ἔχον καὶ δόξαν ἀρίστως ἐπαινεῖν, μόνως δὲ πάλιν ἀλλοτριωθησομένου ἐκ τοῦ ποσῶς[5] ἀντειπεῖν; Τὰ δὲ καθ' ἑκάστην ἐν μοναρχίαις πραττόμενα καιρὸν ἴδιον ἐκζητεῖ ἐξαγγέλλειν, καὶ πλείω ἢ τὸν ἐν τῷ ἐμῷ ὕδατι[6]. Δη-

[1] Olim proposueram γρύξαι, quod et adhuc verum videtur, vel post τολμήσῃ excidit nonnihil, τολμήσῃ τι λέγειν, verbi causa. Et ibi γρύζειν illustravi. Philo Vita Contempl. § 10 : ὡς μηδὲ γρύξαι τινὰ τολμᾷν. Vide p. 19, 10; 23, 1.

[2] De formula τὸ ἐπιτίμιον θάνατος, θάνατος ἡ ζημία ad Anecd. t. V, p. 354.

[3] Cod., καλόν τινι.

[4] Sic cod., non μεσολαβήσῃ, quod olim scripsi.

[5] Adverbio ποσῶς utetur et Declam. VII : ποσῶς παρεβάθη νόμος. Declam. XII : ἔδει ποσῶς ἡσυχάζειν. Alexander Aphr. Probl 1, 9 : ἔνιοι τῶν εὐνούχων ποσῶς ἀφροδισίων ὀρέγονται. Memini Libanii cui πόσον nocet t. IV, p. 628 : οὐ γὰρ ἀπέχρη πιεῖν εἰς κόρον, ἀλλ' ἤδη ἔσπενδε τὸν ἐμὸν σκεδαννὺς πόσον. Codex 3017 recte πόνον. Varietas οἶνον correctio est respectu sententiæ facta.

[6] Mox p. 8 : λεγέτω ἐν τῷ ἐμῷ τούτῳ ὕδατι· « mea aqua licet ad hoc utatur, » verbis Apulei Apol., ubi Pri-

μοκρατίας δὲ τί ἂν καὶ βέλτιόν τις οἰήσαιτο, καθ' ἣν καὶ τὸ τῆς τύχης ἄνισον ἐξισοῦται, καὶ πάντες δουλείας ἐκτὸς καὶ πάντες ἐλεύθεροι, καὶ οὐκ ἔστιν ὅςτις οὔ, ὥςπερ τῆς φύσεως, οὕτω δὴ καὶ τῆς ἐλευθερίας ἐπ' ἴσων τοῖς λοιποῖς κοινωνοῦντες ἕκαστος. Καὶ βουλεύει μὲν περὶ τοῦ πολέμου ὁ ἐπὶ τῆς τάξεως, βουλεύει δὲ καὶ ὁ αὐτουργὸς τέχνης, καὶ ῥήτωρ, καὶ ναύτης, καὶ στρατιώτης, καὶ πᾶς ἕτερος· καὶ τὸ ἐκφυγὸν πολλάκις τὸν στρατηγὸν ἀπόλεμός τις ἔγνω καὶ διεσάφησε· καὶ ὅπερ ῥήτωρ ἐβούλευσε στρατηγὸς ἐπικρίνει. Καὶ δίκας λαμβάνει μικρός τις, καὶ μείζων δίδωσι· καὶ οὔτε ὁ λαμβάνων ἑαυτῷ λαμβάνει, ἀλλ' ἁπάσῃ πόλει καὶ νόμοις καὶ εὐταξίᾳ· οὔτε μὴν ὁ διδοὺς τινὶ δίδωσιν, ἀλλὰ τῷ δήμῳ παντὶ καὶ τῇ πολιτείᾳ, ἐξ ἧς καὶ ἡ τάξις πρόεισι.

Ταύτης ἐγὼ τῆς πολιτείας ἐγενόμην, καὶ γεγέννημαι καὶ θρέμμα καὶ παίδευμα, καὶ ἐραστὴς καὶ συστάτης, εἴπερ τις ἄλλος, ὡς ἐμαυτὸν πείθω, τῶν ἐν τῇ πόλει, καὶ σπουδαστής· καὶ οὐκ ἦν καιρὸς οὐδ' ὥρα, ὁπότε μὴ ὡρώμην τὰ τῆς τυραννίδος κακίζων καὶ τὴν δημοκρατίαν περὶ πλείστου ποιούμενος. Μάρτυς ὁ παρὼν τοῦ δικαστηρίου τόπος· μάρτυς τὸ βουλευτήριον, ᾧ καὶ μᾶλλον προςέσχηκα· μάρτυρες ἀξιόχρεῳ, καὶ οἷς τὰ πάντα κρίνεται καὶ εὐθύνεται, κωμικοί, λέγω, καὶ τὰ κατὰ τὸν βίον σκηνοποιούμενοι, οὓς οὐδ' αὐτὸ τοῦτο τὸ ἐπιτήδευμα ἄλλως εἰπεῖν ἐμὲ ἢ ὡς ἔδει, ἵνα μηδὲν φορτικὸν εἴπω, παρέπεισεν.

Ἐπεὶ δ' εἰς τὴν τοῦ πολιτεύεσθαι τάξιν μετὰ τῶν ἄλλων παρῆλθον ἐγώ, ὑμῶν τοῦτο δοκιμασάντων καὶ οὐκ ἐμοῦ δυναστεύσαντος, τοσοῦτον ὑπερεῖδον τοῦ πλείονος ἐμαυτῷ, ὥςτε καὶ ὑμῖν ἀεὶ συνεβούλευον μήτε ἀρχὴν ἐπικτᾶσθαι, μήτε ἔξω τῶν ἀναγκαίων μη-

cæus, p. 118. Scilicet ad clepsydram fluentem metiebantur judices tempus accusationi datum et defensioni et ipsi judicio. Multi sunt Demosthenis et aliorum oratorum de hoc more loci. Demosthenes Ctes. § 139 : εἰ δέ φησι νῦν, δειξάτω ἐν τῷ ἐμῷ ὕδατι. Ibi Brem. Idem Orat. 1 adv. Aphobum, § 12 : ὅσα ἰδίᾳ ἕκαστος εἴληφε.... οὐκ ἐνδέχεται πρὸς τὸ αὐτὸ ὕδωρ εἰπεῖν. Ibi Brem., collato Buttm. ad Midianam, § 36. Cicero Tusc. extremo libro II : « cras ergo ad clepsydram. » Ibi Davis. Adde Allatium Mensura temporum, c. 6, p. 56; Moschop. Π. σχ. p. 79. Descripsit Moschopulus Harpocr. Lexicon in Διαμεμετρ. ἡμέρα.

δὲν πραγματεύεσθαι, ἀλλ' ἡσυχάζοντας τὸν πρὸς Πελοποννησίους διαφέρειν πόλεμον[1]· ὅσον τε γὰρ χρόνον ἐν τῇ εἰρήνῃ προὔστην ὑμῶν[2], ὅπως τῶν πραγμάτων ἐξηγούμην μετρίως ὑμεῖς οἴδατε. Ἐπειδὴ δὲ ὁ πόλεμος συνέστη — ἀλλὰ τί δεῖ τῶν ἡμετέρων λόγων; μαρτυρήσατε οἱ παρόντες, εἰ βούλεσθε, τὴν ἐμὴν τότε σπουδὴν καὶ ὑπὲρ τῆς πατρίδος διάθεσιν, ὅτι μόνος ἐγὼ ἢ κομιδῇ[3] σὺν ὀλίγοις ᾔδειν τί πράττουσιν ἦν σωθῆναι ὑμῖν· καί, εἰ μέμνησθε — ἀλλ' οὖν ὑμᾶς ὑπομνήσω καὶ προοιμίων ἐμῶν πρὸς ὑμᾶς· « τῆς μὲν[4] γνώμης, » ἔλεγον, « τῆς αὐτῆς, ὦ Ἀθηναῖοι, ἀεὶ ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις[5]. » Ἀλλ' ὅμως, ἐγὼ[6] ὁ ταῦτα λέγων καὶ προοιμιαζόμενος, ὑμᾶς ἐπεῖχον τῆς μάχης ἐπὶ καιροῦ, καὶ θέλοντας ἐξιέναι, μονονοὺκ ἐν χερσὶ τὰ ὅπλα λαβόντας, οὐ συνεχώρουν[7], καὶ ἀκμαίους ἄνδρας οὐκ εἰῶν[8], μὴ θέλων ἐμπιπλᾷν πολέμου τὴν Ἀττικήν. Ὅτε δὲ τὴν πολιορκίαν τῇ Πελοποννήσῳ ἀντιμετέστησα καὶ ἔδει εἰς τὴν πολεμίαν ἀποβαίνοντας μάχεσθαι, τότε καὶ πονήρως ἐκ τοῦ λοιμοῦ ἔχοντας ἐξῆγον, καὶ εἰς τὸν περὶ τῆς ἐλευθερίας ἀγῶνα καὶ τοῦ μὴ λιπεῖν τοῦ φρονήματος τάξιν ἠξίουν καὶ παρὰ τὴν ὑπάρχουσαν τύχην ἐῤῥῶσθαι, καὶ ἔδειξα ὑμᾶς, σὺν θεῷ, πολέμῳ κρατοῦντας Πελοποννησίων ἀνδρῶν, καὶ ἔχοντας μὲν Μέγαρα, ἔχοντας δὲ Νίσαιαν, καὶ Τροιζῆνα καὶ Πηγὰς καὶ Ἀχαΐαν[9], καὶ πάνθ' ἁπλῶς τὰ ἐκεῖ. Πάντων δ', ὡς εἰκός, τοῖς λαφύροις ἐπιτρεχόντων καὶ μηδὲν ὅ τι μὴ ποιουμένων

[1] Thucyd. 2, 65; cf. 1, 144.

[2] Thucyd. 2, 65.

[3] Cod., κομιδή.

[4] Ex Thucyd. 1, 140.

[5] Cod., Πελοπονησίοις. Sic et mox Πελοπονήσῳ, et passim. De duplicanda littera ny in compositis id genus monui ad Choricium, p. 89.

[6] Exciderant mihi olim voculæ ἀεὶ ἐγώ. Etenim quando librarium ago, non sum cæteris librariis felicior. Obiter simile antiqui librarii peccatum in Libanio, t. IV, p. 855, corrigam. Locum apponam integrum, cui non semel prosim: Δηϊάνειραν τὴν Οἰνέως ἐβούλετο μὲν γαμεῖν Ἡρακλῆς· εἶχε δὲ τὸν ποταμὸν Ἀχελῷον ἔρως τῆς κόρης. Ὁ δὲ ἀμφότερα δεδοικώς (proposuit Reiskius ἀμφοτέρους, quod reperi in codice), οὐδέτερον (codex bene οὐδετέρῳ) χαρίζεται. Στήσας οὖν ἆθλον τὴν θυγατέρα, διαγωνίζεσθαι ἐκέλευε. Καὶ Ἡρακλῆς ἐνίκα παλαίων, τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ· καὶ τὸ αἷμα ἔῤῥει, ἀφ' οὗ Σειρῆνες ἐγένοντο. Plenior codex 2918: ἔῤῥει, καὶ ἡ γῆ τοῦτο ἐδέχετο· ἀφ'....

[7] Thucyd. 2, 21; collato Plut. Per. 33.

[8] Conf. Plut. Per. 18.

[9] Thucyd. 1, 115; 2, 31.

ἴδιον, μόνος ἐγὼ τοῖς ἐμοῖς καὶ ἰδίᾳ παρῄνουν, καὶ ἐπὶ τῶν ἔργων τότε συνήργουν, εἰ μὲν δυνατόν, τοῦ κέρδους γίνεσθαι κρείττους[1] καὶ πρὸς μόνον τοῦ πολέμου τὸ τέλος ἔχειν τὸν νοῦν· « εἰ δ'οὖν, ἀλλὰ κέρδος ἔστω ἐκ τοῦ πολέμου τὰ τῶν πιπτόντων ὅπλα καὶ μόνα, » ἐβόων· ἵν' οὕτω τις, κἂν δόξῃ φιλοκερδής, δικαίως ἂν ἀπολογησόμενος, ἄλλο τι σκυλεύων, ἀλλ' ὅπλα συλλέγων ὅμως, μὴ ἔχοι τὸν διαβάλλοντα.

Ἦν οὕτω[2], καὶ ἄλλων μὲν αἱ οἰκίαι δι' ἐμοῦ καὶ τῶν ἐμῶν πόνων ἐπληροῦντο χρημάτων ; ἡ δ' ἐμὴ οἰκία πανοπλιῶν· καὶ κατὰ πόλιν μὲν ἦσαν ἐμοὶ εἰς δόξαν τὰ ἐκ τοῦ δήμου γέρα, οἴκοι δὲ τούτοις ἐκυδρούμην μᾶλλον, ὥςπερ στήλαις καὶ ἱστορίαις τῶν ἐμῶν ἀνδραγαθιῶν, ἤπερ[3] ἄλλῳ τινί. Πολλάκις δὲ καὶ λογισμὸς εἰςῄει φιλόπολις, ὡς πάλιν, ἐπιστάντος καιροῦ, χρησιμεύσει τὰ ὅπλα, καὶ πολλοὺς ὁπλίτας αὐτίκα ποιήσει οὓς φύσις μὲν ἴσως ὁπλίζει ἐμφύτῳ τόλμῃ καὶ γενναιότητι, ὁ δέ γε βίος αὐτοῖς ἐμποδὼν ἵσταται μηδὲν εἰς ὅπλισιν[4] χορηγῶν, καὶ μία μόνη ἡ Περι-

[1] Thucyd. 2, 60, 65; Plut. Per. 15; Aristid. Orat. 46, p. 164.

[2] Imprudens scripseram. οὕτως, et statim κατὰ τῶν pro καὶ τῶν. Sæpe καὶ et κατὰ commutantur. Id bene norunt qui criticen faciunt verbalem. Lucianus Paras. 31 : οὓς καὶ σὺ γιγνώσκων ὑποκρίνῃ ἀγνοεῖν κἀμέ, ὡς κατά τινος αὐτοῖς αἰσχύνης ἐντεῦθεν γιγνομένης, οὐχὶ τιμῆς. Cum iis facio qui κατά mutandum opinati sunt in conjunctionem καί. Nunc editum esse video, suppressa vocula, ὡς τινος, cujus lectionis quæ sint rationes criticæ ignoro. Heliodorus, 1, 17 : ὅρα, δέσποτα, μὴ καὶ τὰ δεύτερα σφαλῇς. Codex Venetus : μὴ κατὰ δεύτερα. Melior lectio vulgata. Et ob vocularum illarum similitudinem sæpe accidit ut alterutra negligeretur. Porphyrius Abstin. 4, 7 : πτηνῶν δὲ ὅσα σαρκοφάγα (ἀπείχοντο), πολλοὶ δὲ καθάπαξ τῶν ἐμψύχων. Reperi πολλοὶ δὲ καὶ καθάπαξ, quod vi non caret.

[3] Cod., εἴπερ.

[4] Cod., ὅπλησιν, confusione perpetua vocalium ι et η. Cicero Att. 1, 1 : « Hermathena tua valde me delectat, et posita ita belle est, ut totum gymnasium ἡλίου ἀνάθημα esse videatur. » Non facile dixeris quid nunc sit ἡλίου ἀνάθημα. Unice vera videtur Casauboni conjectura « *illius* ἀνάθημα. » Librarius, qui prælectore scribebat dictante, audito *illious* ἀνάθημα, credidit et prius vocabulum græcum esse et alterum, atque sic nunc habemus lectionem ἡλίου ἀνάθημα. Alibi ι abit in υ. Narrat Themistocles (Epist. 11=20), se ad Molossorum regem Admetum confugisse : ἡμεῖς δὲ ἐφέστιοι ἐκαθεζόμεθα· οὕτω γὰρ ἐκέλευεν ἡ Κρατησίπολις (Admeti conjux, quæ Phthia dicta est Plutarcho Them. 24) : Ἀρίβδας δὲ ὁ μικρὸς ὑποχείριος ἦν ἐμοί, καὶ ξίφος ἐν θατέρᾳ. Codex Ἀρύβδας. Anceps est electio.

κλέους οἰκία πολλοὺς ἐρεθίσει πρὸς μάχην καὶ ἱκανοὺς τῆς πατρίδος ὁπλίτας ἀποφανεῖ.

Τὴν γοῦν ἐμὴν περὶ τὴν πόλιν προμήθειαν καὶ τὸ ὑπὲρ τῆς πατρίδος κηδεμονικόν, πάντες μέν, ὡς εἰκός, καὶ μᾶλλον οἷς εὐγνώμων ἡ προαίρεσις καὶ φιλόπολις, οἶδα, θαυμάσονται. Καὶ αὐτὸς δὲ ὁ Φίλιος Ζεύς, ᾧ συνωνομάσθην ἐγὼ[1] ψήφῳ τῆς ὑμετέρας βουλῆς, τὸν σκοπόν, ὡς οἶμαι, ἀποδεξάμενος, κατήνεγκε τὸν σκηπτόν, οὐχ ἵν' ἐλέγξῃ κακίαν, ἀλλ' ἵνα φανερώσῃ τὴν ἐμὴν ἀρετήν, ἐπειδὴ καιρὸς οὐκ ἦν φανεροῦν ἐμὲ τὴν προαίρεσιν.

Μόνος δ' οὗτος ὁ βάσκανος καὶ φίλερις ἄνθρωπος περιτρέπει μοι τὸ καλόν, καὶ τυραννίδος ἐπίθεσιν ἐγκαλεῖ τῷ ὑπὲρ τοῦ πῶς ἂν συσταίη δῆμος προμηθουμένῳ. Καὶ ὅτι μέν ἐστι τυραννὶς λέγει, κἀμοὶ προςάπτει τὸ ἔγκλημα· τί δὲ τὸ παριστῶν με τὰ τῶν τυράννων φρονεῖν οὐκ ἔχει παράγειν, κἂν διαῤῥαγείη λέγων[2] ἐπὶ τοῦ βήματος. Εἰπὲ γάρ μοι· ἔχεις[3] προβαλέσθαι τινὰ εἴτ' ἐλεύθερον, εἴτε καὶ δοῦλον, εἴτε τινὰ τῶν οἰκείων, εἴτε τῶν ξένων, ἔστω δέ γε καὶ τῶν ἐχθρῶν, ᾧ δή ποτε περὶ τυραννίδος ἐκοινολογούμην ἐγώ; Παρελθὼν οὗτος ἐλεγχέτω, λεγέτω ἐν τῷ ἐμῷ τούτῳ ὕδατι[4], κἀγὼ σιωπήσομαι. Καί τοι γε οὗτος ὁ τρόπος τῆς κατηγορίας, οὕτως ὑμεῖς κρίνειν ὀμωμόκατε, οὕτως εἰςάγονται τὰ ἐγκλήματα· ἔτυψέ μέ τις; καὶ ὁ μαρτυρήσων παρέστηκεν· οὗτος προδότης τῆς πόλεως; καὶ ὁ συνίστωρ ἰδού· οὗτος δύςνους; καὶ σύνοιδεν ὁ παρών. Σὺ δ' ὅμοιον ποιεῖς ὥςπερ ἂν εἰ καὶ προδοσίας ἐγράφου τὸν νυκτὸς τὴν πόλιν ἐπιτηροῦντα ἐξ εὐνοίας

[1] Theo Progymn. c. 8, 8 : Περικλῆς Ὀλύμπιος ἀπὸ τῆς ἐν τοῖς κατορθώμασι μεγαλειότητος ἐπικεκλημένος. Locos auctorum alios de Pericle Olympio adposui in Anecd. p. 359. Sed decreto publico id fuisse cognomen inditum non noveram. Infra pp. 14, 15, rursus memorat τὴν ψῆφον. Dux ei fuisse videtur Aristides Orat. 53, p. 630. De præmiis agens quæ populus civibus de patria bene meritis olim donabat, Περικλέα δέ, ait, τὸν Ξανθίππου τίς οὐκ οἶδε τῶν πάντων Ὀλύμπιον προςρηθέντα κατὰ ταὐτὰ τῷ Διΐ;

[2] Sic Noster Decl. III, VII. Demosthenes Ctes. § 8 : οὐδ' ἂν σὺ διαῤῥαγῇς ψευδόμενος. Ibi codd. διαῤῥαγείης, quod Pachymeres legisse videtur. Psellus Opusc. p. 179 : διαῤῥαγείη ψευδόμενος. Ibi nota. Aristides Orat. 49, p. 498 : ὥςπερ σὲ ῥηγνὺς ἐξεπίτηδες προςτίθησιν. Multa apud Gataker. ad Anton. 8, 4.

[3] Schol.: ἐλέγχων ἀπαίτησις.

[4] Vide n. 6, p. 4.

πολλῆς, μή πως λαθὼν ὁ ἐχθρὸς ἐντὸς γένηται, τῶν φυλάκων ἀμελησάντων. Ἀλλ'. οὔτ', οἶμαι, δύςνους ἐκεῖνος ταῦτα ποιῶν· οὔτ' ἐγὼ τυραννικοῦ φρονήματος ἐγκληθείην, ὅτι πανοπλίας ἐκτώμην ὑπὲρ τῆς πόλεως.

Τί δὲ καὶ βουλόμενος[1] ἐπεχείρουν τῷ τυραννεῖν; ἵνα δόξαν καὶ τιμὴν προςλάβω τινά; ἀλλ' ἵνα πλοῦτον προςκτήσωμαι; ἀλλ' ἵν' ἐπιδόξου ὀνόματος ἐπιβῶ[2]; Καὶ ποίαν ὑπερβολὴν ἐπὶ τούτοις ἄλλῳ παρῆκα[3] τῶν πολιτῶν; οὐχ ὑμεῖς ἐς τοσοῦτόν με τιμῆς κατεστήσατε, ὥςτε καὶ πατρὸς τάξιν ἐπέχειν παντὶ τῷ δήμῳ, καὶ ἄγειν ὑμᾶς δύνασθαι ὅπου δεῖ, καὶ μένειν παρασκευάζειν ὅπου μὴ δεῖ[4]; τίς ἄλλος ὑπὲρ ἐμὲ κολακείας ἠνέγκατο πρόςρημα καὶ τοῦ δημηγορεῖν πρὸς χάριν, οὐ πρὸς τὸ βέλτιστον, ἐκ τοῦ πολὺ πὰρ' ὑμῶν ἔχειν τὸ συγκεχωρηκός, καὶ μὴ νοσοῦντας ἐπέχειν καὶ νοσοῦντας πάλιν ἐξάγειν, καὶ πείθειν καθ' ὅ τι ἦν βουλομένῳ ἐμοί; τίς ὁ ἐπάρας ὑμᾶς πρεσβείαν ἀτιμάσαι Λακωνικὴν καὶ παρὰ τὴν παροῦσαν τύχην ἐξενηνοχέναι πρὸς Πελοπόννησον πόλεμον; πόσους ἄλλους στρατηγοὺς παριδόντες καὶ ῥήτορας τὰ πρὸς ῥᾳστώνην παραινοῦντας ὑμῖν[5], μίαν ἁπασῶν βουλὴν ἐδέξασθε τὴν ἐμήν,

[1] Schol. βούλησις.

[2] Locutio poetica ἐπιβαίνειν ἐπιδόξου ὀνόματος quam illustravi ad hunc ipsum locum in Anecd. p. 360. Adde interpretes ad OEd. Col. 180. Exempla sunt et auctorum prosaicorum rariora. Lucianus Astrol. 8 : Λίβυες ἐπέβησαν τοῦ λόγου. Rursus Noster Declam. IV; et Hist. Andron. 2, 19, p. 155 : ἰδιώτιδος νομιζομένης ἐκ τοῦ τὸν ἐκείνης σύζυγον ζῶντα μηδενὸς ἐπιβῆναι ἀξιώματος. Est ἰδιώτιδος pro vulgato ἰδιώτητος emendatio Bekkeri, quam confirmat codex. Choricius, p. 81 : ἀνέβης ἐνταῦθα τῆς εὐσεβείας.

[3] De formula loquendi ὑπερβολὴν οὐ λείπειν ad Pachymeris hunc locum egi in Anecd. p. 360. Firmus Epist. 41 : γύναιον μοχθηρόν.... οὐδεμίαν ἐλλεῖπον μοχθηρίας ὑπερβολὴν εἰς τὸ προςθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις.

[4] Vide Thucyd. 1, 127; 2, 65; Aristid. Orat. 46, p. 162, 163. Alia in Anecd. Gr. t. V, p. 360.

[5] Thucyd. 1, 139. — Codex ἡμῖν. Vocalium η υ pronunciatio parilis in causa est cur pronomina, sensu distantia tantum, passim permutent librarii. Poeta anonymus Eustathii, p. 1484 : Κίλιξ δὲ χώρα καὶ Σηρῶν ἐπιστροφαί. Pro Σηρῶν viro doct. legendum videtur Σύρων. Prius nomen vi quantitatis expellendum erat omnino, et suam tamen sedem in contextu servare sinitur. Cui bono bene conjecisti, si vitium remanere permiseris? Sunt critici paulo audaciores, sunt et timidiores. Quum glossator Pluti verbum μέλλε, v. 766, per βράδινε esset interpretatus, Hemsterhusius, syllabam δι mutare in δυ veritus religiosius, monuit eum esse morem scribendi recentiorum Græcorum. Quod effa-

καὶ ὥσπερ ἀπὸ Πυθίας ἢ καὶ Δωδώνης μαντεῖα τοὺς λόγους ἔχειν τινὰς ἐμοὺς[1] παραφημίσαντας καὶ ταῦτα πρὸς κίνδυνον; ποία μείζων ἄλλη ἐμοὶ τιμή, ἢ ἡ παρ' ἁπάσης ἑκούσης τῆς πόλεως, καὶ ἡ παρὰ παντὸς τοῦ δήμου δόξα, χαίροντος τῷ δοξάζειν ἐμὲ καὶ ἴσως ἀξίαν τὴν ἐμὴν δόξαν ἔχοντος; ἔστι τινὰ παρ' ἑκόντων τιμὴν ἔχοντα ζητεῖν παρ' ἀκόντων ἔχειν τινῶν; ἔστι παρὰ πάντων μεγαλυνόμενον παρὰ πάντων κατηγορεῖσθαι δέχεσθαι;

[illegible] vere summi, velut oraculo missum, nuper repetitum importune vidi. Græci nunc pronunciant quidem *vradiné*, sed βραδινὴ scribunt, illi saltem qui grammatice scribere norunt. Sed qui verbum βραδιάζω scribunt, scribunt βραδινή nomen; sic ταχύνω et ταχινή. Scribunt et τὸ βράδι, *vesperi*. Christopulus: Χθὲς τὸ βράδι βαδιστμένος· et 'Σ τὸν ὕπνον χθὲς τὸ βράδι. Reperi etiam et τὸ βράδη, vitiose, etiam τὸ βράδυ et τὸ βραδύ. In his multum tribuendum est antiquitati, nisi prævaluerit omnino usus antiquitati contrarius. Sic invenio βραδιάζω, βραδιάζω et βραδυάζω. Hoc utique præferendum. Scriptum sæpe vidi τὸ τάχυ, mane. Nescio an placeat et nonnullis τὸ ταχί, ut τὸ βράδι. Licentia circa orthographiam nimia est. Iotacismus vix dici potest quantum in scriptione vocalium creet difficultatis vel eruditis hominibus, si forte non attenderint. Bacchicum est Christopuli odarium: Νὰ μεθύσω, νὰ μεθύσω. Τὴν καρδιά μου νὰ δροσίσω, Καὶ τὸν νοῦν μου νὰ ζαλίσω. In celebri Anacreontis illius novitiâ editione, reperi, νὰ μεθύσω, νὰ μεθύσω. In alia libri ipsa frons exhibet, idque litteris majusculis: Λυρικὰ Χριστοπούλου. Pariter erravit Fauriellus primus Popularium Cantilenarum nomen imponens, ΧΡΗΣΤΟΣ ΜΙΛΙΟΝΗΣ, pro ΧΡΙΣΤΟΣ ΜΙΛΛΙΟΝΗΣ. Populares illæ Cantilenæ mendis [illegible] scatent.

[1] Frequens illa hyperbola de sermonibus omnino plenis et veritate, esse oracula, esse missos velut oraculo, Delphis veluti dictum responsum, ac similia. Heliodorus, 2, 16: νικήσειεν ὁ παρὰ σοὶ τρίπους. Psellus Opusc. p. 144: πυθόχρηστος ὑμῖν γενήσομαι, μᾶλλον δὲ τρίπους Δελφικὸς αὐτοπύθιος. Ibi not. Synesius Calv. c. 22: Χρησμὸς γὰρ ἄντικρυς. Ibi Krabinger. Procopius Gaz. Ep. 90 Maianæ: εὐδαίμονες ὄντως οἷς διέπεις τὰ δίκαια, καθάπερ τινὸς τρίποδος τῆς σῆς ἐξηρτημένοι φωνῆς. Theocritus, 15, 63: Χρήσμως ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα. Ibi notula mea in altera editione. Nicephorus Gregoras Dialogo Florentio, cujus primam editionem Alb. Iahnio debemus viro doct., alteram commentario illustratam a Parisoto exspectamus, qui præclara de Cantacuzeni rebus diatriba ostendit quam strenue ac diligenter esset in illorum temporum historia versatus; Gregoras igitur p. 503: τοὺς σοὺς λόγους δόγματά τινα οἴονται, καὶ οἷον ἐκ Δελφικοῦ τρίποδος ἐξενηνεγμένα. Post οἴονται codex Paris. addit πάντες. Rursus Gregoras inferius: τῶν ἐνθάδε σοφῶν ὑπερέχω, καὶ πρός γε σοῦ τοῦ θαυμασίου, ὃς αὐτοῖς δοκεῖς κανὼν ἐν λόγοις ζῶν καὶ χρησμῳδῶν Ἀπόλλων. Nec desunt exempla recentiora. P. Cornelius Melita: « Un seul mot de ma part leur était un oracle. » Edgewortha Helena, de Sam. illo Johnsone: « They used to read to me, and, among other things, some papers of the Rambler, which I liked not at all; its tripod sentences tired my ear. »

ἔστιν, ἐξὸν ἀγαπᾶσθαι, τὸ μισεῖσθαι προκρίνειν, καὶ εὐφήμου δόξης ἀνταλλάττειν δύςφημον ὄνομα; Ζητήσατε τὸν παρήκοντα χρόνον, παρακαλῶ, εἰ τυραννικὸς ἐγὼ κατ' ἐκεῖνον καὶ βίαιος, εἰ μὴ δημοτικὸς καὶ φιλόπολις, εἰ μεῖζον ἔσχον κατά τινος φρόνημα, εἰ λαμπρὰν καὶ ὑπὲρ τὰς τῶν ἄλλων τὴν οἰκίαν ᾠκοδομούμην, καὶ πολλοῖς ἐθρυπτόμην τοῖς ἀκολούθοις, καὶ ἀνεσόβουν ἐν ταῖς ὁδοῖς διερχόμενος. Ταῦτα σημεῖα γνώμης τυραννικῆς, ταῦτα μοναρχίας δείγματα, καὶ τοῦ τὴν ὠδῖνα τῆς κακίας ἐπὶ καιροῦ ἐκρῆξαι βούλεσθαι τεκμήριον ἱκανώτατον.

Ἀλλὰ τί γε ἄλλο τὸ ἐπηρκὸς ἂν[1] πρὸς τυραννίδος ἐπίθεσιν; τὸ πλουτεῖν βούλεσθαι; καὶ μήν, εἴπερ πλουτεῖν ὠρεγόμην, οὐκ ὀλίγαι μοι πρὸς τοῦτο προφάσεις τῇ τύχῃ ἐσχεδιάσθησαν· εἶχον καὶ ἐκ τῶν προςπιπτόντων πολέμων πορίζεσθαι χρήματα· εἶχον λαμβάνειν καὶ παρ' ὑμῶν αὐτῶν, ὡς ἀριστειῶν ἔπαθλα· ἀλλ' εἷς μοι πλοῦτος ἔδοξεν ἱκανὸς καὶ τοῖς ἐμοῖς αὐτάρκης, ἥ τ' ἐμὴ πρὸς τὸν δῆμον εὔνοια καὶ ἡ ἀπ' ἐκείνου πάλιν ἀγάπησις[2] πρὸς ἐμέ. Καὶ ταύτῃ συζῴην· εἴθε καὶ[3] ταύτῃ γε συναπέλθοιμι.

Ἐγὼ[4] δὲ δέδια μὴ οἷς ἀναγκάζομαι λέγειν καὶ περὶ τῆς δυνάμεως τῆς ἐμῆς, ἣν ὡς ὀχυρόν τι μηχάνημα κατὰ τῆς ἐμῆς προαιρέσεως ὁ κατήγορος ἵστησι, τούτοις καί τι τῶν ἀποῤῥητοτέρων φθέγξομαί[5], ὃ ᾔδειν μὲν πάντως γιγνόμενον ἐπ' ἐμοί, ἐπῄνουν δ' ἐς ἀεὶ τὴν ἐπίνοιαν ὡς οἵαν τε σώζειν τὴν τῆς ἡμετέρας κατάστασιν πόλεως, καὶ οὐχ, ὅτι δόξῃ τιμῆς παρὰ πολλῶν ἐτηρούμην, ἑκάκισα πώποτε, ἀλλ', ὅτι παρὰ πολλῶν εἶχον ἂν ὡς τὸ εἰκὸς μαρτυρεῖσθαι, μᾶλλον ἠγάπησα, καὶ φρονίμους ἐλογιζόμην τοὺς τὸ καλὸν παντὶ σθένει πολυωροῦντας[6] παρόν,

[1] Num ἂν εἴη?

[2] Gregorius D. Att. § 14, nomen ἀγάπησις Atticis tribuit. Sed viris criticis hanc non probavit regulam Gregorius. Exemplum ex Æsopia Fabula delevi ad Chorie. p. 335.

[3] Cod., συζώην εἴθε· καί....

[4] Schol.: δύναμις.

[5] Sic codex.

[6] Utitur et Declam. IV verbo πολυωρεῖν, atque Hist. M. Palæol. 4, 25, p. 307 : πολυωρῶν ἐκεῖνον συχνάκις. Ibi scholium : φροντίζων, ἐπιμελούμενος. Rursus Andron. 5, 32, p. 453 : τὸ πάθος καὶ αὐτὸν τῶν πρὸς τὸ ζῆν ἀποροῦντα θητείαις ἐδίδου, δι' ὧν ἐπωλυωρεῖτο τοῖς ἀναγκαίοις. Ibi scholium : θητείαις] ἐργάζεσθαι ἐπὶ μισθῷ. — ἐπωλ.] ἐπεμέλε-

ἤ[1], καταφρονήσαντας τὴν ἀρχήν, ἀπὸν ἐκζητοῦντας. Ὡσαύτως, ἵν' εἴπω καὶ περὶ ἐμαυτοῦ, ἐκεῖνός μοι καλλίων ἐδόκει καὶ δοκιμώτερος, ὃς ἄν, ἀρθεὶς ἐκ κατορθωμάτων μέγας, ἑαυτῷ χώραν κακῆς ὑποψίας παράσχοι[2] καὶ τοῦ νεωτερίσαι βούλεσθαι, ἢ ὁ μηδὲν ἄξιον πράξας ἐπαίνου μηδ' ἐπαρθείς, εἶτα μηδὲν εἰς φρονηματισμὸν μηδόλως ὑποπτευόμενος.

Πῶς τοίνυν ἔμελλον τυραννεῖν, ὦ καινῶν ἐπινοιῶν πλάστα καὶ συκοφάντα, ᾧ μηδ' ἐπὶ τῆς οἰκίας μόνῳ μηδ' ὥραν ἐξῆν ἐαθῆναι τῆς τῶν πολλῶν ἐνοχλήσεως; Δεῖξον ὑπασπιστὰς τοὺς ἐμούς, παράστησον τοὺς δορυφόρους, φέρε τοὺς κοινωνοῦντας τῶν ἀπορρήτων ἐμοί· καὶ δείξεις τότε, οὐ λόγους λέγων κενοὺς οὐδὲ σκιὰς ἐγκλημάτων, ἀλλ' ἄντικρυς δεικνὺς πράγματα. Εἰ δὲ στρατιώτας εὔνους εὑρήσεις τῆς πόλεως καὶ οἷς ὁ δῆμος ἐπὶ πᾶσι τεθάρρηκεν[3] ὡς πιστοῖς, αὐτόθεν κατάβαλλε[4], μή πού τι κατηγορῇς μὲν

το. Inferius etiam VI, 16, p. 507 : μηδὲν ἀνεῖναι καὶ αὖθις τὰ εἰκότα πολυωρεῖν· cum scholio, φροντίζειν, ἐπιμελεῖσθαι.

[1] Ellipsi adverbii μᾶλλον qua sæpe utitur; v. c. Progymn. c. 8, p. 369, 29 : καλὸν ταύτῃ μὴ πολισθῆναι ἢ οὕτω πολισθῆναι πονήρως. Vide Walz. vir. doct. ad p. 563.

[2] Quod olim in παράσχῃ mutaveram. Sed malo relinquere quod codex exhibet. Circa syntaxin ista ætate valde titubabatur. Pachymeres Hist. Andron. VI, 16 : μή πως ἐπαύροι καὶ αὐτὸς τῶν ἀπ' ἐκείνων κακῶν. Codex, ἐπαύρῃ, quod præferam a codice datum, cum scholio ἐπαπολαύσει· ἐπαπολαύσῃ potius.

[3] Editum fuit olim τεθαῤῥηκώς lapsu calami.

[4] Quam formulam, olim a me non intellectam, exhibet et Decl. IX. Illam sumpsit ex Aristide Orat. 46, p. 169: περὶ μὲν δὴ λάλων, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε. Ibi schol. p. 465 : πέπαυσο. Παροιμία ἐπὶ τῶν νικώντων λεγομένη πρὸς οὓς νικῶσι· δηλονότι τὸ πρόστιμον κατάθου τὸ περὶ τῆς νίκης. Λέγει οὖν τοῦτο Ἀριστίδης πρὸς Πλάτωνα, δεικνὺς αὐτὸν ἐντεῦθεν λίαν ψευδόμενον. Etsi formula sit perpetua, παροιμία ἐπί, nunc malim ἀπό, ob sequentia λεγομένη πρὸς οὕς. Arsenius, p. 85 : αὐτ. κατάβ.... ἐπὶ τῶν ἡττωμένων καὶ καταβαλλόντων τὰ ὀφειλόμενα. Conf. Proverbium Metricum 190. Laudatum modo Aristidis locum contulit ad Synesium, p. 411, Nicephorus Gregoras, verba Insomn. p. 147, ἅλις ἐγκωμίων, καὶ καταβάλωμεν, interpretaturus : τὸ καταβάλωμεν ἀντὶ τοῦ σιωπήσωμεν ληπτέον, ἀπὸ μεταφορᾶς τῶν κατατιθεμένων ὅνπερ ἐβάσταζον φόρτον. Φησὶ δὲ καὶ Ἀριστίδης.... Iterum : καὶ καταβάλωμεν· ἢ ὡς καὶ καταθῶμεν τὰ τοιαῦτα ἐγκώμια καὶ σιωπήσωμεν. Pro ἢ ὡς, quæ formula sæpius in Gregoræ Scholiis est obvia, reponendum erit ἤγουν, ex rationibus quas fuse explicuit Bastius Epistola ad Bredowium Lecapenus Gramm. p. 58 : ἀνίησιν ἡ γῆ τὰ φυτά, ἀντὶ τοῦ ἀναδίδωσιν, ἤως ἀναβλαστάνει. Imo ἤγουν. Libanius, t. I, p. 526: πόλις μεγάλη καὶ μεγάλην ψῆφον ἔχουσα. Glossa ad ψῆφον in cod. 963 : ἤως ἀπόφασιν. Imo ἤγουν. Maximus Conf. Defi-

ἐμοῦ, κρίνῃς δὲ τούτους πάντας, καὶ δόξῃς κοινὸς συκοφάντης, οὐκ ἴδιος.

Εἶδές ποτε — ἀλλὰ τί δεῖ μοι πρὸς τὸν χρηστὸν[1] τοῦτον, καὶ μὴ πρὸς ὑμᾶς, τοὺς λόγους ποιεῖσθαι; — Εἴδετέ ποτε, βέλτιστοι, δίχα βουλῆς[2] καὶ δορυφόρων καὶ τοῦ πλουτεῖν τύραννον; εἴδετε δημοτικὸν εἰς πάντα καὶ ἥμερον τοιαύτην αἰτίαν σχόντα ποτέ;

Ἀλλ' ὅμως[3] ἅπαξ μιᾶς γενόμενος προαιρέσεως, τὸ τἀμὰ κακίζειν, ὁ συκοφάντης οὐδέν, ἀλλ' ἄνω καὶ κάτω[4] « ὁ σκηπτός » λέγει, καὶ « αἱ φανερωθεῖσαι χίλιαι πανοπλίαι, » καὶ ταύταις τὴν τυραννίδα συνιστᾶν βούλεται, καὶ ὅτι μὲν πανοπλίαι καὶ ἐπὶ τῆς οἰκίας εὕρηνται τῆς ἐμῆς τρανῷ διέξεισι στόματι. Τί δ' ἐστι[5] τὸ κωλῦον[6] ἔχειν πανοπλίας τὸν στρατηγόν, καὶ τίς νόμος ἀπαγορεύει μὴ ὅπλα κεκτῆσθαι τὸν στρατιώτην, καὶ χρείας πέρα πολλάκις; οὐκ ἔχει δεικνύειν οὐδ' ὁπωσοῦν.

Ἐγὼ δ' ἐρήσομαι τοῦτον. Ῥήτωρ εἶ πάντως καὶ βίβλοις σχολάζεις, καὶ οὐκ ἔχεις οὐδαμῶς ἀντειπεῖν. Τί γοῦν; κέκτησαι καὶ πέρα τῆς χρείας πολλάκις βίβλους ἐκ περισσοῦ; ἢ συμμετρεῖς τῇ χρείᾳ τὴν κτῆσιν; κἂν διδῷ τις ἕτερος, οὐ λαμβάνεις; κἂν εὐώνῳ περιτύχῃς, οὐκ ἐξωνῇ; κἂν εἴ τις εἰς χεῖρας γένηται πο-

nitionibus: ἐνυπόστατόν ἐστι τὸ κατὰ τὴν οὐσίαν κοινόν, ἤως τὸ εἶδος, τό.... Ibi est varians lectio ἤγουν. Incertus scriptor apud Allatium Mens. temp. p. 171: οἱ Ἀλεξανδρεῖς ἄρχονται τοῦ ἐνιαυτοῦ κατὰ τὴν κθ' τοῦ παρ' ἡμῖν αὐγούστου, ἤως [imo ἤγουν] πρὸ τριῶν ἡμερῶν σεπτεμβρίου. Excerpta e Leonis Tacticis in codice 2540: πρώτη κεφαλὴ ὁ στρατηγός, καὶ μετ' αὐτὸν οἱ μεράρχαι, εἶτα οἱ δρουγγάριοι, εἶτα οἱ κόμητες, ἤως [et in marg. ἤγουν, eadem manu] οἱ τῶν λεγομένων βάνδων ἄρχοντες. Scholia ad Nubes. 34: δίκας ὤφληκα· ἤγουν καὶ δίκας προσώφληκα· ἤ, ὡς καὶ δίκας προσώφληκα. Est dittographia; prior sententia servanda, posteriore deleta. Bernardo ad Nonnum, c. 123, ἤως legitimum esse videbatur. Errabat vir d.

[1] Ironiam nominis χρηστός, qua nonnunquam utetur Pachymeres, illustrat Bremius ad Demosth. Ol. 3, 27, et ibi Vœmel. Libanius, t. IV, p. 655: ὅπερ μοι συμβέβηκε τὰ νῦν διὰ τὸν χρηστὸν υἱὸν τουτονί. Meminerat Aristophanici Strepsiadæ, qui dormire nequibat, δακνόμενος Ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν, Διὰ τουτονὶ τὸν υἱόν. Idem, p. 589, ὁ καλὸς ἐκεῖνος, cum varietate χρηστός in cod. 3017:

[2] Tyrannus sine senatu! quid mirum? Fortasse ἐπιβουλῆς.

[3] Schol.: τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους.

[4] Illa locutione ἄνω καὶ κάτω λέγειν, σοβεῖν, sæpius utitur. Libanius, t. IV, p. 431: Λαΐδα κατάγειν ἄνω καὶ κάτω συμφέρον δεικνύει. Aristides Orat. 46, p. 164: οὐ ταῦτα κυκλεῖς ἄνω καὶ κάτω.

[5] Schol.: ὡς ἀντίληψις ταῦτα.

[6] Cod., κωλύον.

θεν προςπεσοῦσα, ἅμα πυρὶ παραδίδως ταύτην, ὡς ἂν μὴ περισσὴ φαινομένη ἐμπιπλᾷν ἔχῃ πολλῆς ἀηδίας τὸν ῥήτορα; εἰ δέ τίς σου καὶ ἄλλος περὶ τῆς μιᾶς ἐκείνης βίβλου δεήσεται, τί ποιήσεις τότε; Ἀπόκριναι. Σκληρὸς φανήσῃ, καὶ οὐ παραδέξῃ τὴν αἴτησιν, καὶ τοῦτο οὐ φιλαλλήλου τρόπου καὶ φιλοπόλιδος[1]; ἀλλ' ἀνὰ μέρος χρήσεις, καὶ πάλιν ἐπὶ καιροῦ σοι ἔσται τὸ δάνειον;

Ἀλλὰ σὺ μὲν οὕτω λέξεις ἴσως, καὶ πιθανὸς δόξεις, χωροῦντος τοῦ πράγματος τὴν ἀπολογίαν. Τί δέ; ἔχω κἀγὼ ποιῆσαι τοῦτό ποτε, καί, καιροῦ πρὸς τὴν μάχην καλέσαντος, διδόναι τὴν πανοπλίαν ἑτέρῳ, καὶ ἐπ' οἰκίας καθέζεσθαι, ἕως οὗ, τοῦ δανείου μοι ἐπανασωθέντος, πολέμου καὶ μάχης ἀναμνησθῶ; ταχύ γ' ἂν ἀπέλιπέ μοι σὺν τῷ δανείῳ καὶ πᾶσα πόλις καὶ δῆμος καὶ πάντα πόλεως πράγματα.

Τέως δ' ὅμως, εἰ σὺ τοιοῦτος περὶ τὰς βίβλους, προαιρέσεως, εἰπέ μοι, πάθος, ἢ βούλημα νόμου, τὸ πρᾶγμα θήσομεν; καί, εἰ μὲν προαιρέσεως, οὐ πρὸς ἄλλους οὗτος ὁ λόγος, ἀλλὰ προςήκων σοί, καὶ μόνῳ παρὰ πάντας σοί, καὶ δικαίως σοί· εἰ δὲ βούλημα νόμου, δεῖξον τὸν νόμον αὐτίκ' ἐνεγκών, καὶ σὺ μὲν ἔσῃ κατὰ νόμους πράττων καὶ παρὰ πᾶσιν ἐπαινετός, ἄλλους δὲ μὴ οὕτω ποιοῦντας δικαίως αἰτιάσῃ, ὡς νόμον πόλεως παραβαίνοντας. Οὕτω καὶ περὶ τῶν ἐμῶν εἴποιμι. Εἰ νόμος ἐστὶν ὁ κωλύων πανοπλίας ἔχειν τὸν στρατηγὸν καὶ πέρα τοῦ δέοντος, δὸς ἀναγνῶναι θαῤῥούντως τῷ γραμματεῖ· κἀντεῦθεν ἄλλοι μὲν ἴσως, οἷς οὐκ ἦν ἔχειν ταύτας ἐκ περισσοῦ, ὡς φύλακες νόμου ἐπαινεθήσονται, ἐγὼ δ' ὑφέξω τὰς δίκας ἀξίως[2]. Πλὴν δ' οὐδὲ τότε, θαῤῥῶ, εἰς νεωτερισμὸν καταδικασθήσομαι· ἀλλ' ἔσται τὸ ἔγκλημα νόμου παράβασις, καὶ χαίρων ὑποίσω τὸ ἀπὸ νόμων[3] πρόςτιμον.

Ἔσχον[4] πανοπλίας ἐγώ, ἔσχον χιλίας καὶ πλείους, στρατηγὸς ὤν, καὶ ταῦτα, ὦ Ζεῦ, εἰ δὲ βούλει, καὶ Περικλῆς, ὃν δὴ καὶ Ὀλύμπιον εἰς Πνύκα κηρύττουσι. Τί τῷ Ὀλυμπίῳ τὸ ἴδιον, εἴπατε, παρακαλῶ· οὐ τὸ κοινωνικὸν πρὸς τοὺς ἄλλους θεούς, καὶ ὧν

[1] Fortasse φιλοπολίτου.
[2] Cod., ἀξίας. Scripsi ἀξίως.
[3] Olim scripsi νόμου, lapsu calami.
[4] Schol.: μετάθεσις τῆς αἰτίας.

αὐτῷ τὸ περιὸν τῆς θειότητος κατεκλήρωσε, τούτων τὸ μετέχειν τοῖς ἄλλοις, οὖσι καὶ τούτοις, εἰ καὶ καταδεεστέροις, θεοῖς; Τοῦτον ἐμιμησάμην, τολμήσας εἴπω, κἀγώ, καὶ τὴν ὑμῶν ψῆφον[1] διὰ τῆς ἐμῆς ἐκύρωσα προαιρέσεως, κἀπὶ τοῖς ὅπλοις τὸ κοινωνικὸν πρὸς τοὺς λοιποὺς ἐπενόησα. Ἐλογισάμην κατ' ἐμαυτὸν ὅτι πολλοῖς καὶ θέλουσιν ἀμύνειν ὑπὲρ τῆς πόλεως ἐμποδὼν ἡ πενία ἵσταται, καὶ γυμνοῖς σώμασι πρὸς ἐχθρὸν διακινδυνεύειν τούτοις ἥκιστα ἀσφαλές· « Κείσθων ὡς θησαυρὸς ἐπὶ τῆς ἐμῆς οἰκίας τὰ ὅπλα· κοινὸν ταμιεῖον ἔστω τοὐμὸν ταμιεῖον. Σχῆμα φέρω τῆς πόλεως, στρατηγῶν, ῥητορεύων, βουλεύων, πολιτευόμενος· ὅλος αὐτὸς ἀφιέρωμαι τῇ πατρίδι· τί ξένον, εἴπερ καὶ τὸ ἐμὸν οἴκημα κοινὸν τῆς πόλεως εἴη, καὶ τὰ ἐν αὐτῷ πάντα ἐπὶ καιροῦ τῇ πατρίδι φυλάττοιντο; εἰ δὲ καὶ χρημάτων περισσῶς εἶχον, οὐχ ἡγούμην ἂν καὶ ταῦτα τῷ δήμῳ κοινά, ἐπὶ χρείας συνοίσοντα; καὶ πῶς ἄν, ἄλλως ἔχων, δικαίως φιλόπολις ἤκουον; »

Ἐγὼ δὲ καὶ ὑμᾶς αὐτοὺς οὕτως ἔχειν λογίζομαι, ὡς μέχρι τούτου τῷ κεκτημένῳ λογίζεσθαι ἴδια ἅ τις ἔχοι, ἢ πατρόθεν πεσόντα, ἢ πόνοις κτηθέντα, ἢ καὶ τύχης διδούσης, πράγματα, ἕως οὗ μὴ τούτων ἡ χρεία ἀναγκαία γένηται τῇ πατρίδι· ζητούσης δὲ τῆς κοινῆς ἀνάγκης ταῦτα, παραυτίκα τούτων ἁπάντων τοὺς ἕως τότε κυρίους τῇ θρεψαμένῃ πόλει ἐξίστασθαι.

Οὗτος ὁ λογισμὸς δίκαιος νομιζόμενος ἐποίει κἀμὲ τὸ μέρος τῶν πανοπλιῶν φιλοκτήμονα· τοῦτον τὸν σκοπὸν ἔχων ἐπὶ νοός, καὶ οὐ κακίας τυραννικῆς ἐφιέμενος, ὅπλων πεπλήρωκα τὴν οἰκίαν, ὡς μάχης, ἂν εἴποιμι, τὴν ψυχήν. Δι' ἣν αἰτίαν, καὶ βλέπων αὐτὰ καθ' ἑκάστην, ὁρμῆς ἐπληρούμην ἀρεϊκῆς· εἰ δέ που καὶ ἁπτοίμην τούτων, ἀνακλητικὸν οἷον ηὔλουν πρὸς πόλεμον, λαμπρότερον σάλπιγγος. Τίς δ' ἄλλος ἀνδρὶ στρατηγῷ κόσμος ἀμείνων τῶν ὅπλων τοῖς ἔξωθεν παραβάλλουσιν; ὅθεν ἐκυδρούμην τοῖς ὅπλοις, ὁμολογῶ· καί, μονονοὺ[2] πόλεμον βλέπων καὶ παρατάξεις στρατιωτῶν, παρεθηγούμην εἰς ἀνδρίαν καί τι καὶ Ἐνυάλιον ἔμελπον[3]. Καὶ ἀλ-

[1] Vide n. 1, p. 8.

[2] Cod., μόνον οὐ. Sic p. 6, 12. Cf. p. 20.

[3] Scripseram olim ἐνυάλιον ἔμελπον. Sed, quum dixerit Declamatione septima μέλπων Ἄρη, nomen Ἐνυάλιον epitheto prætuli. Æschylus Theb. 52 :

κλέους οἰκία πολλοὺς ἐρεθίσει πρὸς μάχην καὶ ἱκανοὺς τῆς πατρίδος ὁπλίτας ἀποφανεῖ.

Τὴν γοῦν ἐμὴν περὶ τὴν πόλιν προμήθειαν καὶ τὸ ὑπὲρ τῆς πατρίδος κηδεμονικόν, πάντες μέν, ὡς εἰκός, καὶ μᾶλλον οἷς εὐγνώμων ἡ προαίρεσις καὶ φιλόπολις, οἶδα, θαυμάσονται. Καὶ αὐτὸς δὲ ὁ Φίλιος Ζεύς, ᾧ συνωνομάσθην ἐγὼ[1] ψήφῳ τῆς ὑμετέρας βουλῆς, τὸν σκοπόν, ὡς οἶμαι, ἀποδεξάμενος, κατήνεγκε τὸν σκηπτόν, οὐχ ἵν' ἐλέγξῃ κακίαν, ἀλλ' ἵνα φανερώσῃ τὴν ἐμὴν ἀρετήν, ἐπειδὴ καιρὸς οὐκ ἦν φανεροῦν ἐμὲ τὴν προαίρεσιν.

Μόνος δ' οὗτος ὁ βάσκανος καὶ φίλερις ἄνθρωπος περιτρέπει μοι τὸ καλόν, καὶ τυραννίδος ἐπίθεσιν ἐγκαλεῖ τῷ ὑπὲρ τοῦ πῶς ἂν συσταίη δῆμος προμηθουμένῳ. Καὶ ὅτι μέν ἐστι τυραννὶς λέγει, κἀμοὶ προςάπτει τὸ ἔγκλημα· τί δὲ τὸ παριστῶν με τὰ τῶν τυράννων φρονεῖν οὐκ ἔχει παράγειν, κἂν διαῤῥαγείη λέγων[2] ἐπὶ τοῦ βήματος. Εἰπὲ γάρ· μοι· ἔχεις[3] προβαλέσθαι τινὰ εἴτ' ἐλεύθερον, εἴτε καὶ δοῦλον, εἴτε τινὰ τῶν οἰκείων, εἴτε τῶν ξένων, ἔστω δέ γε καὶ τῶν ἐχθρῶν, ᾧ δή ποτε περὶ τυραννίδος ἐκοινολογούμην ἐγώ; Παρελθὼν οὗτος ἐλεγχέτω, λεγέτω ἐν τῷ ἐμῷ τούτῳ ὕδατι[4], κἀγὼ σιωπήσομαι. Καί τοι γε οὗτος ὁ τρόπος τῆς κατηγορίας, οὕτως ὑμεῖς κρίνειν ὀμωμόκατε, οὕτως εἰςάγονται τὰ ἐγκλήματα· ἔτυψέ μέ τις; καὶ ὁ μαρτυρήσων παρέστηκεν· οὗτος προδότης τῆς πόλεως; καὶ ὁ συνίστωρ ἰδού· οὗτος δύςνους; καὶ σύνοιδεν ὁ παρών. Σὺ δ' ὅμοιον ποιεῖς ὥςπερ ἂν εἰ καὶ προδοσίας ἐγράφου τὸν νυκτὸς τὴν πόλιν ἐπιτηροῦντα ἐξ εὐνοίας

[1] Theo Progymn. c. 8, 8 : Περικλῆς Ὀλύμπιος ἀπὸ τῆς ἐν τοῖς κατορθώμασι μεγαλειότητος ἐπικεκλημένος. Locos auctorum alios de Pericle Olympio adposui in Anecd. p. 359. Sed decreto publico id fuisse cognomen inditum non noveram. Infra pp. 14, 15, rursus memorat τὴν ψῆφον. Dux ei fuisse videtur Aristides Orat. 53, p. 630. De præmiis agens quæ populus civibus de patria bene meritis olim donabat, Περικλέα δέ, ait, τὸν Ξανθίππου τίς οὐκ οἶδε τῶν πάντων Ὀλύμπιον προςρηθέντα κατὰ ταὐτὰ τῷ Διί;

[2] Sic Noster Decl. III, VII. Demosthenes Ctes. § 8 : οὐδ' ἂν σὺ διαῤῥαγῇς ψευδόμενος. Ibi codd. διαῤῥαγείης, quod Pachymeres legisse videtur. Psellus Opusc. p. 179 : διαῤῥαγείη ψευδόμενος. Ibi nota. Aristides Orat. 49, p. 498 : ὥςπερ σὲ ῥηγνὺς ἐξεπίτηδες προςτίθησιν. Multa apud Gataker. ad Anton. 8, 4.

[3] Schol.: ἐλέγχων ἀπαίτησις.

[4] Vide n. 6, p. 4.

πολλῆς, μή πως λαθὼν ὁ ἐχθρὸς ἐντὸς γένηται, τῶν φυλάκων ἀμελησάντων. Ἀλλ' οὔτ', οἶμαι, δύςνους ἐκεῖνος ταῦτα ποιῶν· οὔτ' ἐγὼ τυραννικοῦ φρονήματος ἐγκληθείην, ὅτι πανοπλίας ἐκτώμην ὑπὲρ τῆς πόλεως.

Τί δὲ καὶ βουλόμενος[1] ἐπεχείρουν τῷ τυραννεῖν; ἵνα δόξαν καὶ τιμὴν προςλάϐω τινά; ἀλλ' ἵνα πλοῦτον προςκτήσωμαι; ἀλλ' ἵν' ἐπιδόξου ὀνόματος ἐπιϐῶ[2]; Καὶ ποίαν ὑπερϐολὴν ἐπὶ τούτοις ἄλλῳ παρῆκα[3] τῶν πολιτῶν; οὐχ ὑμεῖς ἐς τοσοῦτόν με τιμῆς κατεστήσατε, ὥςτε καὶ πατρὸς τάξιν ἐπέχειν παντὶ τῷ δήμῳ, καὶ ἄγειν ὑμᾶς δύνασθαι ὅπου δεῖ, καὶ μένειν παρασκευάζειν ὅπου μὴ δεῖ[4]; τίς ἄλλος ὑπὲρ ἐμὲ κολακείας ἠνέγκατο πρόςρημα καὶ τοῦ δημηγορεῖν πρὸς χάριν, οὐ πρὸς τὸ βέλτιστον, ἐκ τοῦ πολὺ παρ' ὑμῶν ἔχειν τὸ συγκεχωρηκός, καὶ μὴ νοσοῦντας ἐπέχειν καὶ νοσοῦντας πάλιν ἐξάγειν, καὶ πείθειν καθ' ὅ τι ἦν βουλομένῳ ἐμοί; τίς ὁ ἐπάρας ὑμᾶς πρεσβείαν ἀτιμάσαι Λακωνικὴν καὶ παρὰ τὴν παροῦσαν τύχην ἐξεννηοχέναι πρὸς Πελοπόννησον πόλεμον; πόσους ἄλλους στρατηγοὺς παριδόντες καὶ ῥήτορας τὰ πρὸς ῥᾳστώνην παραινοῦντας ὑμῖν[5], μίαν ἁπασῶν βουλὴν ἐδέξασθε τὴν ἐμήν,

[1] Schol. βούλησις.

[2] Locutio poetica ἐπιϐαίνειν ἐπιδόξου ὀνόματος quam illustravi ad hunc ipsum locum in Anecd. p. 360. Adde interpretes ad OEd. Col. 180. Exempla sunt et auctorum prosaicorum rariora. Lucianus Astrol. 8 : Λίϐυες ἐπέϐησαν τοῦ λόγου. Rursus Noster Declam. IV; et Hist. Andron. 2, 19, p. 155 : ἰδιώτιδος νομιζομένης ἐκ τοῦ τὸν ἐκείνης σύζυγον ζῶντα μηδενὸς ἐπιϐῆναι ἀξιώματος. Est ἰδιώτιδος pro vulgato ἰδιώτητος emendatio Bekkeri, quam confirmat codex. Choricius, p. 81 : ἀνέϐης ἐνταῦθα τῆς εὐσεϐείας.

[3] De formula loquendi ὑπερϐολὴν οὐ λείπειν ad Pachymeris hunc locum egi in Anecd. p. 360. Firmus Epist. 41 : γύναιον μοχθηρόν.... οὐδεμίαν ἐλλεῖπον μοχθηρίας ὑπερϐολὴν εἰς τὸ προςθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις.

[4] Vide Thucyd. 1, 127; 2, 65; Aristid. Orat. 46, p. 162, 163. Alia in Anecd. Gr. t. V, p. 360.

[5] Thucyd. 1, 139. — Codex ἡμῖν. Vocalium η υ pronunciatio parilis in causa est cur pronomina, sensu distantia tantum, passim permutent librarii. Poeta anonymus Eustathii, p. 1484 : Κίλιξ δὲ χώρα καὶ Σηρῶν ἐπιστροφαί. Pro Σηρῶν viro doct. legendum videtur Σύρων. Prius nomen vi quantitatis expellendum erat omnino, et suam tamen sedem in contextu servare sinitur. Cui bono bene conjecisti, si vitium remanere permiseris? Sunt critici paulo audaciores, sunt et timidiores. Quum glossator Pluti verbum μέλλε, v. 766, per βράδυνε esset interpretatus, Hemsterhusius, syllabam δι mutare in δυ veritus religiosius, monuit eum esse morem scribendi recentiorum Græcorum. Quod effa-

καὶ ὥςπερ ἀπὸ Πυθῶνος ἢ καὶ Δωδώνης μαντεῖα τοὺς λόγους εἴχετε τοὺς ἐμούς[1], παρορμῶντας καὶ ταῦτα πρὸς κίνδυνον; ποία μείζων ἄλλη ἐμοὶ τιμή, ἢ ἡ παρ' ἁπάσης ἑκούσης τῆς πόλεως, καὶ ἡ παρὰ παντὸς τοῦ δήμου δόξα, χαίροντος τῷ δοξάζειν ἐμὲ καὶ δόξαν οἰκείαν τὴν ἐμὴν δόξαν ἔχοντος; ἔστι τινὰ παρ' ἑκόντων τιμὴν ἔχοντα ζητεῖν παρ' ἀκόντων ἔχειν τινῶν; ἔστι παρὰ πάντων μεγαλυνόμενον παρὰ πάντων κατηγορεῖσθαι δέχεσθαι;

tum viri summi, velut oraculo missum, nuper repetitum importune vidi. Græci enim pronunciant quidem *vradinè*, sed βράδυνε scribunt, illi saltem qui grammatice scribere norunt. Sed qui verbum βραδύνω scribunt, scribunt βραδινή nomen; sic ταχύνω et ταχινή. Scribunt et τὸ βράδι, *vesperi*. Christopulus: Χθὲς τὸ βράδι βυθισμένος· et 'Σ τὸν ὕπνον χθὲς τὸ βράδι. Reperi etiam et τὸ βράδη, vitiose, etiam τὸ βράδυ et τὸ βραδύ. In his multum tribuendum est antiquitati, nisi prævaluerit omnino usus antiquitati contrarius. Sic invenio βραδιάζω, βραδειάζω et βραδυάζω. Hoc utique præferendum. Scriptum sæpe vidi τὸ τάχυ, *mane*. Nescio an placeat et nonnullis τὸ τάχι, ut τὸ βράδι. Licentia circa orthographiam nimia est. Iotacismus vix dici potest quantum in scriptione vocalium creet difficultatis vel eruditis hominibus, si forte non attenderint. Bacchicum est Christopuli odarium: Νὰ μεθύσω, νὰ μεθύσω. Τὴν καρδία μου νὰ δροσίσω, Καὶ τὸν νοῦν μου νὰ ζαλίσω. In celebri Anacreontis illius novitii editione, reperi, νὰ μεθήσω, νὰ μεθήσω. In alia libri ipsa frons exhibet, idque litteris majusculis: Λυρικὰ Χρηστοπούλου. Pariter erravit Faurielius primæ Popularium Cantilenarum nomen imponens, ΧΡΗΣΤΟΣ ΜΗΛΙΟΝΗΣ, pro ΧΡΙΣΤΟΣ ΜΙΛΛΙΟΝΗΣ. Populares illæ Cantilenæ mendis id genus scatent.

[1] Frequens illa hyperbola de sermonibus suasione plenis et veritate, esse oracula, esse missos velut oraculo, Delphis veluti dictum responsum, ac similia. Heliodorus, 2, 16: νικήσειεν ὁ παρὰ σοὶ τρίπους. Psellus Opusc. p. 144: πυθόχρηστος ὑμῖν γενήσομαι, μᾶλλον δὲ τρίπους Δελφικὸς αὐτοπύθιος. Ibi not. Synesius Calv. c. 22: Χρησμὸς γὰρ ἄντικρυς. Ibi Krabinger. Procopius Gaz. Ep. 90 Maianæ: εὐδαίμονες ὄντως οἷς διέπεις τὰ δίκαια, καθάπερ τινὸς τρίποδος τῆς σῆς ἐξηρτημένοι φωνῆς. Theocritus, 15, 63: Χρήσμως ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα. Ibi notula mea in altera editione. Nicephorus Gregoras Dialogo Florentio, cujus primam editionem Alb. Iahnio debemus viro doct., alteram commentario illustratam a Parisoto exspectamus, qui præclara de Cantacuzeni rebus diatriba ostendit quam strenue ac diligenter esset in illorum temporum historia versatus; Gregoras igitur p. 503: τοὺς σοὺς λόγους δόγματά τινα οἴονται, καὶ οἷον ἐκ Δελφικοῦ τρίποδος ἐξενηνεγμένα. Post οἴονται codex Paris. addit πάντες. Rursus Gregoras inferius: τῶν ἐνθάδε σοφῶν ὑπερέχω, καὶ πρός γε σοῦ τοῦ θαυμασίου, ὃς αὐτοῖς δοκεῖς κανὼν ἐν λόγοις ζῶν καὶ χρησμῳδῶν Ἀπόλλων. Nec desunt exempla recentiora. P. Cornelius Melita: « Un seul mot de ma part leur était un oracle. » Edgewortha Helena, de Sam. illo Johnsone: « They used to read to me, and, among other things, some papers of the Rambler, which I liked not at all; its tripod sentences tired my ear. »

ἔστιν, ἐξὸν ἀγαπᾶσθαι, τὸ μισεῖσθαι προκρίνειν, καὶ εὐφήμου δόξης ἀνταλλάττειν δύςφημον ὄνομα; Ζητήσατε τὸν παρήκοντα χρόνον, παρακαλῶ, εἰ τυραννικὸς ἐγὼ κατ' ἐκεῖνον καὶ βίαιος, εἰ μὴ δημοτικὸς καὶ φιλόπολις, εἰ μεῖζον ἔσχον κατά τινος φρόνημα, εἰ λαμπρὰν καὶ ὑπὲρ τὰς τῶν ἄλλων τὴν οἰκίαν ᾠκοδομούμην, καὶ πολλοῖς ἐθρυπτόμην τοῖς ἀκολούθοις, καὶ ἀνεσόβουν ἐν ταῖς ὁδοῖς διερχόμενος. Ταῦτα σημεῖα γνώμης τυραννικῆς, ταῦτα μοναρχίας δείγματα, καὶ τοῦ τὴν ὠδῖνα τῆς κακίας ἐπὶ καιροῦ ἐκρῆξαι βούλεσθαι τεκμήριον ἱκανώτατον.

Ἀλλὰ τί γε ἄλλο τὸ ἐπηρκὸς ἂν[1] πρὸς τυραννίδος ἐπίθεσιν; τὸ πλουτεῖν βούλεσθαι; καὶ μήν, εἴπερ πλουτεῖν ὠρεγόμην, οὐκ ὀλίγαι μοι πρὸς τοῦτο προφάσεις τῇ τύχῃ ἐσχεδιάσθησαν· εἶχον καὶ ἐκ τῶν προςπιπτόντων πολέμων πορίζεσθαι χρήματα· εἶχον λαμβάνειν καὶ παρ' ὑμῶν αὐτῶν, ὡς ἀριστειῶν ἔπαθλα· ἀλλ' εἷς μοι πλοῦτος ἔδοξεν ἱκανὸς καὶ τοῖς ἐμοῖς αὐτάρκης, ἥ τ' ἐμὴ πρὸς τὸν δῆμον εὔνοια καὶ ἡ ἀπ' ἐκείνου πάλιν ἀγάπησις[2] πρὸς ἐμέ. Καὶ ταύτῃ συζῴην· εἴθε καὶ[3] ταύτῃ γε συναπέλθοιμι.

Ἐγὼ[4] δὲ δέδια μὴ οἷς ἀναγκάζομαι λέγειν καὶ περὶ τῆς δυνάμεως τῆς ἐμῆς, ἣν ὡς ὀχυρόν τι μηχάνημα κατὰ τῆς ἐμῆς προαιρέσεως ὁ κατήγορος ἵστησι, τούτοις καί τι τῶν ἀποῤῥητοτέρων φθέγξομαί[5], ὃ ᾔδειν μὲν πάντως γιγνόμενον ἐπ' ἐμοί, ἐπῄνουν δ' ἐς ἀεὶ τὴν ἐπίνοιαν ὡς οἵαν τε σώζειν τὴν τῆς ἡμετέρας κατάστασιν πόλεως, καὶ οὐχ, ὅτι δόξῃ τιμῆς παρὰ πολλῶν ἐτηρούμην, ἐκάκισα πώποτε, ἀλλ', ὅτι παρὰ πολλῶν εἶχον ἂν ὡς τὸ εἰκὸς μαρτυρεῖσθαι, μᾶλλον ἠγάπησα, καὶ φρονίμους ἐλογιζόμην τοὺς τὸ καλὸν παντὶ σθένει πολυωροῦντας[6] παρόν,

[1] Num ἂν εἴη?

[2] Gregorius D. Att. § 14, nomen ἀγάπησις Atticis tribuit. Sed viris criticis hanc non probavit regulam Gregorius. Exemplum ex Æsopia Fabula delevi ad Choric. p. 335.

[3] Cod., συζώην εἴθε· καί....

[4] Schol.: δύναμις.

[5] Sic codex.

[6] Utitur et Declam. IV verbo πολυωρεῖν, atque Hist. M. Palæol. 4, 25, p. 307 : πολυωρῶν ἐκεῖνον συχνάκις. Ibi scholium : φροντίζων, ἐπιμελούμενος. Rursus Andron. 5, 32, p. 453 : τὸ πάθος καὶ αὐτὸν τῶν πρὸς τὸ ζῆν ἀποροῦντα θητείαις ἐδίδου, δι' ὧν ἐπωλυωρεῖτο τοῖς ἀναγκαίοις. Ibi scholium : θητείαις] ἐργάζεσθαι ἐπὶ μισθῷ. — ἐπωλ.] ἐπεμέλε-

ἢ[1], καταφρονήσαντας τὴν ἀρχήν, ἀπὸν ἐκζητοῦντας. Ὡςαύτως, ἵν' εἴπω καὶ περὶ ἐμαυτοῦ, ἐκεῖνός μοι καλλίων ἐδόκει καὶ δοκιμώτερος, ὃς ἄν, ἀρθεὶς ἐκ κατορθωμάτων μέγας, ἑαυτῷ χώραν κακῆς ὑποψίας παράσχοι[2] καὶ τοῦ νεωτερίσαι βούλεσθαι, ἢ ὁ μηδὲν ἄξιον πράξας ἐπαίνου μηδ' ἐπαρθείς, εἶτα μηδὲν εἰς φρονηματισμὸν μηδόλως ὑποπτευόμενος.

Πῶς τοίνυν ἔμελλον τυραννεῖν, ὦ καινῶν ἐπινοιῶν πλάστα καὶ συκοφάντα, ᾧ μηδ' ἐπὶ τῆς οἰκίας μόνῳ μηδ' ὥραν ἐξῆν ἐαθῆναι τῆς τῶν πολλῶν ἐνοχλήσεως; Δεῖξον ὑπασπιστὰς τοὺς ἐμούς, παράστησον τοὺς δορυφόρους, φέρε τοὺς κοινωνοῦντας τῶν ἀποῤῥήτων ἐμοί· καὶ δείξεις τότε, οὐ λόγους λέγων κενοὺς οὐδὲ σκιὰς ἐγκλημάτων, ἀλλ' ἄντικρυς δεικνὺς πράγματα. Εἰ δὲ στρατιώτας εὔνους εὑρήσεις τῆς πόλεως καὶ οἷς ὁ δῆμος ἐπὶ πᾶσι τεθάῤῥηκεν[3] ὡς πιστοῖς, αὐτόθεν κατάβαλλε[4], μή πού τι κατηγορῇς μὲν

το. Inferius etiam VI, 16, p. 507 : μηδὲν ἀνεῖναι καὶ αὖθις τὰ εἰκότα πολυωρεῖν· cum scholio, φροντίζειν, ἐπιμελεῖσθαι.

[1] Ellipsi adverbii μᾶλλον qua sæpe utitur; v. c. Progymn. c. 8, p. 369, 29 : καλὸν ταύτῃ μὴ πολισθῆναι ἢ οὕτω πολισθῆναι πονήρως. Vide Walz. vir. doct. ad p. 563.

[2] Quod olim in παράσχῃ mutaveram. Sed malo relinquere quod codex exhibet. Circa syntaxin ista ætate valde titubabatur. Pachymeres Hist. Andron. VI, 16 : μή πως ἐπαύροι καὶ αὐτὸς τῶν ἀπ' ἐκείνων κακῶν. Codex, ἐπαύρῃ, quod præferam a codice datum, cum scholio ἐπαπολαύσει· ἐπαπολαύσῃ potius.

[3] Editum fuit olim τεθαῤῥηκώς lapsu calami.

[4] Quam formulam, olim a me non intellectam, exhibet et Decl. IX. Illam sumpsit ex Aristide Orat. 46, p. 169: περὶ μὲν δὴ λάλων, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε. Ibi schol. p. 465 : πέπαυσο. Παροιμία ἐπὶ τῶν νικώντων λεγομένη πρὸς οὓς νικῶσι· δηλονότι τὸ πρόστιμον κατάθου τὸ περὶ τῆς νίκης. Λέγει οὖν τοῦτο Ἀριστίδης πρὸς Πλάτωνα, δεικνὺς αὐτὸν ἐντεῦθεν λίαν ψευδόμενον. Etsi formula sit perpetua, παροιμία ἐπί, nunc malim ἀπό, ob sequentia λεγομένη πρὸς οὕς. Arsenius, p. 85 : αὐτ. κατάβ.... ἐπὶ τῶν ἡττωμένων καὶ καταβαλλόντων τὰ ὀφειλόμενα. Conf. Proverbium Metricum 190. Laudatum modo Aristidis locum contulit ad Synesium, p. 411, Nicephorus Gregoras, verba Insomn. p. 147., ἅλις ἐγκωμίων, καὶ καταβάλωμεν, interpretaturus : τὸ καταβάλωμεν ἀντὶ τοῦ σιωπήσωμεν ληπτέον, ἀπὸ μεταφορᾶς τῶν κατατιθεμένων ὅνπερ ἐβάσταζον φόρτον. Φησὶ δὲ καὶ Ἀριστίδης.... Iterum : καὶ καταβάλωμεν· ἢ ὡς καὶ καταθῶμεν τὰ τοιαῦτα ἐγκώμια καὶ σιωπήσωμεν. Pro ἢ ὡς, quæ formula sæpius in Gregoræ Scholiis est obvia, reponendum erit ἤγουν, ex rationibus quas fuse explicuit Bastius Epistola ad Bredowium Lecapenus Gramm. p. 58 : ἀνίησιν ἡ γῆ τὰ φυτά, ἀντὶ τοῦ ἀναδίδωσιν, ἤως ἀναβλαστάνει. Imo ἤγουν. Libanius, t. I, p. 526: πόλις μεγάλη καὶ μεγάλην ψῆφον ἔχουσα. Glossa ad ψῆφον in cod. 963 : ἤως ἀπόφασιν. Imo ἤγουν. Maximus Conf. Defi-

ἐμοῦ, κρίνης δὲ τούτους πάντας, καὶ δόξης κοινὸς συκοφάντης, οὐκ ἴδιος.

Εἶδές ποτε — ἀλλὰ τί δεῖ μοι πρὸς τὸν χρηστὸν[1] τοῦτον, καὶ μὴ πρὸς ὑμᾶς, τοὺς λόγους ποιεῖσθαι; — Εἴδετέ ποτε, βέλτιστοι, δίχα βουλῆς[2] καὶ δορυφόρων καὶ τοῦ πλουτεῖν τύραννον; εἴδετε δημοτικὸν εἰς πάντα καὶ ἥμερον τοιαύτην αἰτίαν σχόντα ποτέ;

Ἀλλ' ὅμως[3] ἅπαξ μιᾶς γενόμενος προαιρέσεως, τὸ τἀμὰ κακίζειν, ὁ συκοφάντης οὐδέν, ἀλλ' ἄνω καὶ κάτω[4] « ὁ σκηπτός » λέγει, καὶ « αἱ φανερωθεῖσαι χίλιαι πανοπλίαι, » καὶ ταύταις τὴν τυραννίδα συνιστᾷν βούλεται, καὶ ὅτι μὲν πανοπλίαι καὶ ἐπὶ τῆς οἰκίας εὕρηνται τῆς ἐμῆς τρανῷ διέξεισι στόματι. Τί δ' ἐστι[5] τὸ κωλῦον[6] ἔχειν πανοπλίας τὸν στρατηγόν, καὶ τίς νόμος ἀπαγορεύει μὴ ὅπλα κεκτῆσθαι τὸν στρατιώτην, καὶ χρείας πέρα πολλάκις; οὐκ ἔχει δεικνύειν οὐδ' ὁπωσοῦν.

Ἐγὼ δ' ἐρήσομαι τοῦτον. Ῥήτωρ εἶ πάντως καὶ βίβλοις σχολάζεις, καὶ οὐκ ἔχεις οὐδαμῶς ἀντειπεῖν. Τί γοῦν; κέκτησαι καὶ πέρα τῆς χρείας πολλάκις βίβλους ἐκ περισσοῦ; ἢ συμμετρεῖς τῇ χρείᾳ τὴν κτῆσιν; κἂν διδῷ τις ἕτερος, οὐ λαμβάνεις; κἂν εὐώνῳ περιτύχῃς, οὐκ ἐξωνῇ; κἂν εἴ τις εἰς χεῖρας γένηται πο-

nitionibus: ἐνυπόστατόν ἐστι τὸ κατὰ τὴν οὐσίαν κοινόν, ἤως τὸ εἶδος, τό.... Ibi est varians lectio ἤγουν. Incertus scriptor apud Allatium Mens. temp. p. 171: οἱ Ἀλεξανδρεῖς ἄρχονται τοῦ ἐνιαυτοῦ κατὰ τὴν κθ΄ τοῦ παρ' ἡμῖν αὐγούστου, ἤως [imo ἤγουν] πρὸ τριῶν ἡμερῶν σεπτεμβρίου. Excerpta e Leonis Tacticis in codice 2540: πρώτη κεφαλὴ ὁ στρατηγός, καὶ μετ' αὐτὸν οἱ μεράρχαι, εἶτα οἱ δρουγγάριοι, εἶτα οἱ κόμητες, ἤως [et in marg. ἤγουν, eadem manu] οἱ τῶν λεγομένων βάνδων ἄρχοντες. Scholia ad Nubes. 34: δίκας ὤφληκα· ἤγουν καὶ δίκας προσώφληκα· ἤ, ὡς καὶ δίκας προσώφληκα. Est dittographia; prior sententia servanda, posteriore deleta. Bernardo ad Nonnum, c. 123, ἤως legitimum esse videbatur. Errabat vir d.

[1] Ironiam nominis χρηστός, qua nunquam utetur Pachymeres, illustrat Bremius ad Demosth. Ol. 3, 27, et ibi Vœmel. Libanius, t. IV, p. 655: ὅπερ μοι συμβέβηκε τὰ νῦν διὰ τὸν χρηστὸν υἱὸν τουτονί. Meminerat Aristophanici Strepsiadæ, qui dormire nequibat, δακνόμενος Ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν, Διὰ τουτονὶ τὸν υἱόν. Idem, p. 589, ὁ καλὸς ἐκεῖνος, cum varietate χρηστός in cod. 3017:

[2] Tyrannus sine senatu! quid mirum? Fortasse ἐπιβουλῆς.

[3] Schol.: τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους.

[4] Illa locutione ἄνω καὶ κάτω λέγειν, σοβεῖν, sæpius utitur. Libanius, t. IV, p. 431: Λαΐδα κατάγειν ἄνω καὶ κάτω συμφέρον δεικνύει. Aristides Orat. 46, p. 164: οὐ ταῦτα κυκλεῖς ἄνω καὶ κάτω.

[5] Schol.: ὡς ἀντίληψις ταῦτα.

[6] Cod., κωλύον.

θεν προσπεσοῦσα, ἅμα πυρὶ παραδίδως ταύτην, ὡς ἂν μὴ περισσὴ φαινομένη ἐμπιπλᾷν ἔχῃ πολλῆς ἀηδίας τὸν ῥήτορα; εἰ δέ τίς σου καὶ ἄλλος περὶ τῆς μιᾶς ἐκείνης βίβλου δεήσεται, τί ποιήσεις τότε; Ἀπόκριναι. Σκληρὸς φανήσῃ, καὶ οὐ παραδέξῃ τὴν αἴτησιν, καὶ τοῦτο οὐ φιλαλλήλου τρόπου καὶ φιλοπόλιδος[1]; ἀλλ' ἀνὰ μέρος χρήσεις, καὶ πάλιν ἐπὶ καιροῦ σοι ἔσται τὸ δάνειον;

Ἀλλὰ σὺ μὲν οὕτω λέξεις ἴσως, καὶ πιθανὸς δόξεις, χωροῦντος τοῦ πράγματος τὴν ἀπολογίαν. Τί δέ; ἔχω κἀγὼ ποιῆσαι τοῦτό ποτε, καί, καιροῦ πρὸς τὴν μάχην καλέσαντος, διδόναι τὴν πανοπλίαν ἑτέρῳ, καὶ ἐπ' οἰκίας καθέζεσθαι, ἕως οὗ, τοῦ δανείου μοι ἐπανασωθέντος, πολέμου καὶ μάχης ἀναμνησθῶ; ταχύ γ' ἂν ἀπέλιπέ μοι σὺν τῷ δανείῳ καὶ πᾶσα πόλις καὶ δῆμος καὶ πάντα πόλεως πράγματα.

Τέως δ' ὅμως, εἰ σὺ τοιοῦτος περὶ τὰς βίβλους, προαιρέσεως, εἰπέ μοι, πάθος, ἢ βούλημα νόμου, τὸ πρᾶγμα θήσομεν; καί, εἰ μὲν προαιρέσεως, οὐ πρὸς ἄλλους οὗτος ὁ λόγος, ἀλλὰ προσήκων σοί, καὶ μόνῳ παρὰ πάντας σοί, καὶ δικαίως σοί· εἰ δὲ βούλημα νόμου, δεῖξον τὸν νόμον αὐτίκ' ἐνεγκών, καὶ σὺ μὲν ἔσῃ κατὰ νόμους πράττων καὶ παρὰ πᾶσιν ἐπαινετός, ἄλλους δὲ μὴ οὕτω ποιοῦντας δικαίως αἰτιάσῃ, ὡς νόμον πόλεως παραβαίνοντας. Οὕτω καὶ περὶ τῶν ἐμῶν εἴποιμι. Εἰ νόμος ἐστὶν ὁ κωλύων πανοπλίας ἔχειν τὸν στρατηγὸν καὶ πέρα τοῦ δέοντος, δὸς ἀναγνῶναι θαῤῥούντως τῷ γραμματεῖ· κἀντεῦθεν ἄλλοι μὲν ἴσως, οἷς οὐκ ἦν ἔχειν ταύτας ἐκ περισσοῦ, ὡς φύλακες νόμου ἐπαινεθήσονται, ἐγὼ δ' ὑφέξω τὰς δίκας ἀξίως[2]. Πλὴν δ' οὐδὲ τότε, θαῤῥῶ, εἰς νεωτερισμὸν καταδικασθήσομαι· ἀλλ' ἔσται τὸ ἔγκλημα νόμου παράβασις, καὶ χαίρων ὑποίσω τὸ ἀπὸ νόμων[3] πρόστιμον.

Ἔσχον[4] πανοπλίας ἐγώ, ἔσχον χιλίας καὶ πλείους, στρατηγὸς ὤν, καὶ ταῦτα, ὦ Ζεῦ, εἰ δὲ βούλει, καὶ Περικλῆς, ὃν δὴ καὶ Ὀλύμπιον εἰς Πνύκα κηρύττουσι. Τί τῷ Ὀλυμπίῳ τὸ ἴδιον, εἴπατε, παρακαλῶ· οὐ τὸ κοινωνικὸν πρὸς τοὺς ἄλλους θεούς, καὶ ὧν

[1] Fortasse φιλοπολίτου.

[2] Cod., ἀξίας. Scripsi ἀξίως.

[3] Olim scripsi νόμου, lapsu calami.

[4] Schol.: μετάθεσις τῆς αἰτίας.

αὐτῷ τὸ περιὸν τῆς θειότητος κατεκλήρωσε, τούτων τὸ μετέχειν τοῖς ἄλλοις, οὖσι καὶ τούτοις, εἰ καὶ καταδεεστέροις, θεοῖς; Τοῦτον ἐμιμησάμην, τολμήσας εἴπω, κἀγώ, καὶ τὴν ὑμῶν ψῆφον[1] διὰ τῆς ἐμῆς ἐκύρωσα προαιρέσεως, κἀπὶ τοῖς ὅπλοις τὸ κοινωνικὸν πρὸς τοὺς λοιποὺς ἐπενόησα. Ἐλογισάμην κατ' ἐμαυτὸν ὅτι πολλοῖς καὶ θέλουσιν ἀμύνειν ὑπὲρ τῆς πόλεως ἐμποδὼν ἡ πενία ἵσταται, καὶ γυμνοῖς σώμασι πρὸς ἐχθρὸν διακινδυνεύειν τούτοις ἥκιστα ἀσφαλές· « Κείσθων ὡς θησαυρὸς ἐπὶ τῆς ἐμῆς οἰκίας τὰ ὅπλα· κοινὸν ταμιεῖον ἔστω τοὐμὸν ταμιεῖον. Σχῆμα φέρω τῆς πόλεως, στρατηγῶν, ῥητορεύων, βουλεύων, πολιτευόμενος· ὅλος αὐτὸς ἀφιέρωμαι τῇ πατρίδι· τί ξένον, εἴπερ καὶ τὸ ἐμὸν οἴκημα κοινὸν τῆς πόλεως εἴη, καὶ τὰ ἐν αὐτῷ πάντα ἐπὶ καιροῦ τῇ πατρίδι φυλάττοιντο; εἰ δὲ καὶ χρημάτων περισσῶς εἶχον, οὐχ ἡγούμην ἂν καὶ ταῦτα τῷ δήμῳ κοινά, ἐπὶ χρείας συνοίσοντα; καὶ πῶς ἄν, ἄλλως ἔχων, δικαίως φιλόπολις ἤκουον; »

Ἐγὼ δὲ καὶ ὑμᾶς αὐτοὺς οὕτως ἔχειν λογίζομαι, ὡς μέχρι τούτου τῷ κεκτημένῳ λογίζεσθαι ἴδια ἅ τις ἔχοι, ἢ πατρόθεν πεσόντα, ἢ πόνοις κτηθέντα, ἢ καὶ τύχης διδούσης, πράγματα, ἕως οὗ μὴ τούτων ἡ χρεία ἀναγκαία γένηται τῇ πατρίδι· ζητούσης δὲ τῆς κοινῆς ἀνάγκης ταῦτα, παραυτίκα τούτων ἁπάντων τοὺς ἕως τότε κυρίους τῇ θρεψαμένῃ πόλει ἐξίστασθαι.

Οὗτος ὁ λογισμὸς δίκαιος νομιζόμενος ἐποίει κἀμὲ τὸ μέρος τῶν πανοπλιῶν φιλοκτήμονα· τοῦτον τὸν σκοπὸν ἔχων ἐπὶ νοός, καὶ οὐ κακίας τυραννικῆς ἐφιέμενος, ὅπλων πεπλήρωκα τὴν οἰκίαν, ὡς μάχης, ἂν εἴποιμι, τὴν ψυχήν. Δι' ἣν αἰτίαν, καὶ βλέπων αὐτὰ καθ' ἑκάστην, ὁρμῆς ἐπληρούμην ἀρεϊκῆς· εἰ δέ που καὶ ἁπτοίμην τούτων, ἀνακλητικὸν οἷον ηὔλουν πρὸς πόλεμον, λαμπρότερον σάλπιγγος. Τίς δ' ἄλλος ἀνδρὶ στρατηγῷ κόσμος ἀμείνων τῶν ὅπλων τοῖς ἔξωθεν παραβάλλουσιν; ὅθεν ἐκυδρούμην τοῖς ὅπλοις, ὁμολογῶ· καί, μονονοὺ[2] πόλεμον βλέπων καὶ παρατάξεις στρατιωτῶν, παρεθηγούμην εἰς ἀνδρίαν καί τι καὶ Ἐνυάλιον ἔμελπον[3]. Καὶ ἄλ-

[1] Vide n. 1, p. 8.

[2] Cod., μόνον οὐ. Sic p. 6, 12. Cf. p. 20.

[3] Scripseram olim ἐνυάλιον ἔμελπον. Sed, quum dixerit Declamatione septima μέλπων Ἄρη, nomen Ἐνυάλιον epitheto prætuli. Æschylus Theb. 52 :

λοις μὲν αἱ κατ' οἶκον ἱστορίαι[1] καὶ αἱ πολυτελεῖς τράπεζαι, καὶ ἄμπελοι καὶ κῆποι φιλοκαλούμενοι παρὰ ταῖς οἰκίαις, τέρψιν ὁσημέραι παρεῖχον τὴν γιγνομένην[2]· Περικλεῖ δὲ μόνῳ τὸ πανοπλίας βλέπειν, καὶ πολέμους ἐνθυμεῖσθαι καὶ μάχας, τρυφή.

Σὺ δ', ὡς ἔοικε, καὶ μελετῶν ὁρῶν ἐπὶ τῆς οἰκίας σχεδάρια, ἐπειδή σοι ἅπαξ παρεχώρησεν ὁ σκηπτὸς ψηλαφᾷν τὰ ἐμά, ἕως νῦν ἀνεκδότων οὐσῶν, καὶ ἑτοίμων λεχθῆναι, εἰ καλέσει καιρός, ἄλλην εἰςάξεις δίκην, ὡς ἐκεῖνα μελετῶντος ἃ δὴ μήπω συνέβησαν, ἐγὼ δέ (ἀλλὰ μηδὲ συμβαῖεν ποτέ!) εὐξαίμην τῇ πόλει ὅσα φέρουσι κίνδυνον. Πλὴν πρὸς συμβούλου σοφοῦ, καὶ παρηκολουθηκότος πράγμασι πόλεως, προφυλακτικοῖς χρῆσθαι λόγοις πρὸς τὰ πολλάκις ἂν ἐκ τύχης παρεμπεσούμενα, τρόπον τὸν αὐτὸν ἰατροῖς, οἳ δὴ πολλάκις καὶ πρὸς ἐλπιζόμενα νοσήματα[3] ἵστανται, καὶ οὐχ, ὅτι προμελετῶσι τὴν φυλακήν, ἤδη καὶ προκαλοῦνται τὴν νόσον, ἀλλ', ὅτι προφυλάττονται ταύτην καὶ ἐλπιζομένην, κωλύουσιν. Οὕτως ἐγὼ περὶ τὴν πατρίδα.

Καὶ οὐδὲν ἕξεις λέγειν κατὰ τῆς ἐμῆς, κἂν πολλὰ συκοφαντῇς, προαιρέσεως, ὅτι μὴ τὰς πανοπλίας καὶ μόνας, αἷς ὡς σημείοις χρήσῃ τυραννίδος· καὶ πλέον οὐδέν. Ἐγὼ δ' ὅτι[4] μὲν δεῖ καὶ ὅπλων τῷ τυραννήσοντι ἐξ ἀνάγκης, ὁμολογῶ· καὶ βλέπεις ὡς

λεόντων ὡς Ἄρην δεδορκότων. Timocles Athenæi 6, 3, orationem imitatus tragicam, de Demosthene : ὁ Βριαρέως.... Ἄρη βλέπων.

[1] Sunt ἱστορίαι hic tabulæ pictæ; sicque id nomen intelligendum p. 7 : στήλαις καὶ ἱστορίαις τῶν ἐμῶν ἀνδραγαθιῶν. Erit ἱστορεῖν in sensu pingendi Decl. III, καθιστορεῖν pariter ibidem et ἱστορία. Quæ significatio est linguæ recentioris, et in ore oratoris Attici prorsus absona. Andreopulus Syntipa, p. 7 : ἱστόρησεν ἐν τοῖς τοίχοις τοῦ οἴκου ὅσα διδάξαι τὸν παῖδα ἔμελλε.... ἕως ἂν καλῶς ἐκμάθῃς ὅσα ἱστόρηται ἐν τοῖς τοίχοις.

[2] Τέρψιν τὴν γιγνομένην] id est, τὴν προςήκουσαν. Sic Declam. II : τὴν γιγνομένην ἀπονέμειν τιμήν. Aristides Orat. 13, p. 151 : τιμᾷν τοῖς γιγνομένοις τὴν πόλιν. Ibi Reiskius. Idem Panath. p. 205 : τὸ γιγνόμενον πεπληρωκέναι· « officii debitas partes implevisse; » collato H. Stephani Thesauro v. Πληρόω. Nicephorus Chumnus in meis Anecd. Gr. t. V, p. 328 : πᾶν ὅσον γιγνόμενόν ἐστιν ὑπὲρ αὐτῆς πράττουσαν. Ibi nota.

[3] De verbo ἐλπίζειν in sensu exspectandi et sperandi vel cum metu monebam olim ad hunc locum Anecd. Gr. t. V, p. 367. Adde Wolf. ad Leptin. § 140, et Buchner. ad Cicer. Pro Roscio, p. 159.

[4] Schol. : τὸ μὴ ἀντιστρέφον ἀντὶ τῆς πιθανῆς ἀπολογίας.

ἁπλῶς καὶ ἀληθῶς ποιοῦμαι τοὺς λόγους πρὸς σέ· ὅτι δὲ τυραννήσει πάντως καὶ ὁ κεκτημένος ὅπλα, οὐ συντίθεμαι πώποτε. Ἔστι γὰρ καὶ ἄλλου χάριν ὅπλα παρασκευάζειν τὸν προαιρούμενον. Καί, εἰ βούλει, σκόπει, καὶ παράλληλα τούτοις τὰ λοιπὰ θοῦ, καὶ τὸν λόγον εὑρήσεις ἀληθινόν.

Ὁ ἀλλοτρίαις ἐπιχειρῶν γυναιξί, καὶ τοῦτ' αὐτὸ διὰ σπουδῆς ἔχων πως ἂν τὰ παιδικὰ προς ἑαυτὸν ἐπισπάσηται, εἰκότως εἰδὼς τὸ ἀπὸ φύσεως δέλεαρ ὅτι τὸ κάλλος ἐστί, μὴ τυχὼν αὐτόθεν, ἐπιπλάστῳ χρᾶται καὶ καλλωπίζεται· οὐ μὴν διὰ ταῦτα καὶ πᾶς καλλωπιζόμενος ἔνοχος ἐσεῖται[1] τῷ τῆς μοιχείας ἐγκλήματι· ἔστι γὰρ καὶ ἄλλου χάριν αὐτὸν καλλωπίζεσθαι. Πολλοὶ γὰρ φιλόκαλοι ὄντες καὶ τῷ αἴσχει ἀπεχθανόμενοι, ἐπειδὴ οὐκ ἔτυχον ἀπὸ φύσεως, φιλητικῶς[2] ἐπισκευάζουσιν ἑαυτούς, καί, καλοὶ μὴ ὄντες, δοκοῦσι καλοί, καὶ τὸ δοκοῦν, κἂν ἀληθείας ἀπῇ[3], κρεῖττον ἔδοξεν. Οὕτω καὶ πᾶς νυκτιλόχος πλανᾶται νύκτωρ, ὡς μὴ τῆς ἡμέρας τῷ κλέπτῃ διδούσης ἄδειαν[4]· οὐ μὴν δὲ καὶ πᾶς πλανώμενος νύκτωρ κλέπτης ἐστίν· ἔστι γὰρ καὶ[5] ὡς ξένον πλανᾶσθαί τινα, καὶ αὖθις τῆς ὁδοῦ ἁμαρτόντα, κατά τινα τύχης δυςχέρειαν.

Σὺ δ' ὅμοιον ποιεῖς, ὥςπερ ἂν εἰ τὸ μέλι ξανθὸν ἔγνως καὶ τὸ ξανθὸν ἅπαν μέλι εἶναι διϊσχυρίζου, κακῶς εἰδώς, καὶ περὶ τὴν τῶν πραγμάτων ἁμαρτάνων διαίρεσιν. Τί τοίνυν ἀντιστρέφεις[6] κακῶς ὅπερ οὐκ οἶδεν ἀντιστροφήν, καί, ὅτι τύραννος χρᾶται τοῖς ὅπλοις, ἐμέ, τὸν ὅπλοις χρώμενον, τυραννεῖν βούλεσθαι ἀξιοῖς, καὶ τὴν ἐμὴν φιλοτιμίαν φαυλίζεις ἀδίκως, καὶ ψέγεις τὸ ἐπαίνων πολλῶν παρὰ τοῖς ἐχέφροσιν ἄξιον;

Ἀλλὰ πρὸς μὲν τοῦτον ἅλις τῶν λόγων, ἅπαξ[7] ἐχόμενον τῶν αὐτῶν, καὶ οὐδ', ἂν πλείω φήσειέ τις, μεταπεισόμενον. Τί γὰρ

[1] Illa futuri forma ἐσεῖται, quæ Pericleæ orationi non convenit, utetur et infra sæpius. Videsis n. ad Anecd. Gr. t. II, p. 426; t. V, p. 331. Eustathius Opusc. p. 193, 65 : οὕτως ἐσεῖται τὸ καλὸν τοῦτο παραμόνιμον.

[2] Cod., φυλετικῶς, et e correctione φιλ.

[3] Fortasse ἀλήθεια ἀπῇ.

[4] Paulus Epist. 2 ad Thess. 5, 2 : ὡς κλέπτης ἐν νυκτί. Alia ap. Duport. Gnomol. ad Il. 3, 1.

[5] Exciderat olim καί.

[6] Quid sit ἀντιστρέφειν exposui in Anecd. Gr. t. V, p. 369.

[7] Non tentandum videtur ἅπαξ. Cf. p. 13, 7; 27, 7; 29 f.

ψυχῆς συκοφάντου δεινότερον[1]; ἔχις ἄντικρυς δάκνων ἡ γλῶττα· κἂν ἀπείπῃ μόλις, ἀρκεῖται τῷ δήγματι καὶ τὸν ἰὸν ἀφίησι νέμεσθαι. Πρὸς δ' ὑμᾶς ἐρῶ τὸ δοκοῦν μοι καὶ λίαν παῤῥησιάσομαι, ἄνδρες δημόται καὶ συνερασταὶ τοῦ καλοῦ.

Ὑμεῖς[2] μὲν οὖν, τινὲς ἐξ ἔτι[3] με νηπίου ἐθρέψατε, ἄλλοι δὲ κἀπὶ πολεμικῆς παρατάξεως τὰ δυνατά μοι συνήρασθε, καὶ ἕτεροι μετέχετέ μοι βουλῶν τῶν ὑπὲρ τῆς πόλεως. Ἂν περὶ τοῦ πατρὸς εἴπω Ξανθίππου ὡς δημοτικὸς ἀεὶ καὶ φιλόπολις[4], οὐ τῆς ἔξωθεν μαρτυρίας δεήσομαι· ἂν περὶ τῶν ἐμῶν συγγενῶν, ὑμεῖς οἴδατε· ἂν περὶ τῆς ἐμῆς ἀρχῆθεν ἀναστροφῆς, οὐ τόνδε ἢ τόνδε, ἀλλὰ πάντας ὁμοῦ παραστήσομαι μάρτυρας. Ἀναξαγόρας[5] μοι μαρτυρήσει μᾶλλον καὶ ἡ ἐκείνου σχολή. Ἐκεῖνος τῆς ἐμῆς ἐς τὸ ἀκριβὲς ἐφίκετο προαιρέσεως, καί, μέτριον μαθὼν καὶ κοινωνικόν, τοῖς μετεωρολογικοῖς ἐνεγύμναζεν[6]. Εἰ τὰς πράξεις λέγοιμι τὰς ἐμὰς καὶ τοὺς πόνους οὓς ἔτλην τῆς πόλεως προϊστάμενος, καὶ ὡς χρημάτων διαφανῶς ἀδωρότατος γενόμενος, ἐλευθέρως κατεῖχον τὸ πλῆθος[7], τὸ πλῆθος ἅπαν μοι μαρτυρήσει. Εἰ δὲ καὶ πρὸς ὀργὴν ἀντεῖπον πολλάκις τισίν, οὐ δυςμεναίνων, ἀλλ' εὐνοῶν, ὕβρει θαρσοῦντας ἐπὶ τὸ φοβεῖσθαι κατέπλησσον, καὶ δῆλον ὅτι καὶ δεδιότας ἀλόγως πάλιν ὑμᾶς ἀντικαθίστων ἐπὶ τῷ θαρσεῖν[8].

Καὶ ὑμεῖς μὲν ταῦτα συνοίδατέ μοι, καὶ ἐπὶ καιροῦ μαρτυρήσατε· ἐγὼ δέ, τὸν συνήθη μοι τρόπον, μᾶλλον ὑπὲρ[9] τοὺς λόγους προβαλοῦμαι τὰ ἔργα, ἄγε ἐπὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπεδεικνύμην, τῆς ἐμῆς παῤῥησίας, ὡς αὐτὸς διϊσχυρίζομαι,

[1] Conf. declamationis initium de sycophanta.

[2] Schol.: ἐπίλογος.

[3] Cod., ἐξέτι una voce.

[4] De Xanthippo Plut. Per. 3.

[5] Qui fuit Periclis magister.

[6] Plut. Per. 5.

[7] Ex Thuc. 2, 65.

[8] Cod., κατέπληττον, superscripto σσ. Cf. Thuc. 2, 65.

[9] Sic codex. Velim legere ἤπερ. Permutantur propter soni parilitatem vocales η υ. Pachymeres Hist. Andr. Pal. 1, 27, p. 76 : κάγκανα ξύλα ἑτοιμασάμενος. Glossator ad κάγκανα adposuit ξυρά. Debuit scribere ξηρά. Rursus Hist. Mich. Palæol. 6, 21, p. 473 : καγκάνοις προςλιπαροῦντες τοῖς χείλεσι. Recte glossator, ξηροῖς. Obiter addam Hesychiani Lexici glossam, κάγκανον ὕλην referendam esse videri ad locum Gregorii Naz. t. II, p. 149 : καὶ ὡς πυρὶ κάγκανον ὕλην Βάλλουσ'.... Sed potuit Gregorius Nazianzenus antiquiorem poetam compilare, quem respexerit lexicographus.

ἄξια. Καὶ ἐμαυτὸν δείξω τῆς παρούσης κατηγορίας ἀνώτερον, οὐ ταπεινὸς φανοῦμαι, οὐχ ὑποπτήξω δοκιμαζόμενος· ὅλον παρέχω τὸν Περικλῆν εἰς ἐξέτασιν. Χρᾶσθε τῇ φίλῃ φρονήσει, ἐξ ἧς καὶ τοὺς ξένους κρίνοντες οὐχ ἁμαρτάνετε τοῦ προσήκοντος. Ἐρευνᾶτε τὴν ἐμὴν κατὰ λεπτὸν πολιτείαν, εἴτε τυραννικὸς ἐγὼ τοῖς ἄλλοις καὶ βίαιος, εἴτε καὶ μέτριος. Ἐρωτᾶτε τοὺς ἐγγύς, τοὺς πόῤῥω, τοὺς ἐντός, τοὺς ἐκτός· οὐχ ὑβριοπαθήσω τούτοις, οὐ περιαλγήσω, ὅτι, δέον ἑαυτοὺς ἐρωτᾷν, ἑτέρους ζητεῖτε μαθεῖν.

Εἰ μὲν οὖν ἐξ ἄλλων καταχρινεῖτέ με, ὡς δικαίαν τὴν ψῆφον δέξομαι, οὐ ζυγομαχήσω πρὸς τοὺς κριτάς, οὐ λόγον γρύξω, οὐ φίλοις χρήσομαι, οὐ παῖδας ἀναβιβάσομαι[1], οὐ πόνοις τοῖς ἐμοῖς ἐμαυτὸν ἐξαιτήσομαι· εἰ δ' ὅτι κατ' οἶκον αἱ πανοπλίαι μοι θησαυρός, οὐκ ἔγκλημα λογιοῦμαι τοῦτο, ἀλλὰ μᾶλλον ὡς καλὸν ἀγαπήσω· κἂν εἴ τι πάθω, στέρξω πλειστάκις ἐκεῖνο ἢ τῶν ὅπλων μιᾶς ἡμέρας ἀποστερήσομαι.

Δεῦτε, συστρατιῶται, δεῦτε, πολέμαρχοι. Εἰ ζῆν ὑμᾶς ὅπλων χωρὶς ἀσφαλές, κατ' ἐμοῦ συνεπιψηφίσασθε· εἰ δὲ βαρὺ λογίζεσθε τοῦτο, ὡς ὄντων ἀναγκαίων τῶν ὅπλων, καὶ οὐχ ἧττον ἢ ἀναπνεῖν, στρατιώταις οὖσι καὶ πολέμοις ἐξεταζομένοις[2] συχνάκις ὑπὲρ τῆς πόλεως, δότε μοι θάῤῥος τοῖς λόγοις. Χρήσατέ μοι τὴν κοινὴν φωνήν· διδάξατε τὴν φύσιν τῶν ὅπλων· εἴπατε τίσι στρατιώτης τεθάῤῥηκε[3]. Κἂν πείσητε[4]· εἰ δ' οὖν, δέξομαι τότε τὴν δίκην ἡδέως, ὅτι στρατιωτικῆς ἐμπειρίας ὑπέχω δίκας· κἂν ἀπαλλάξω κακῶς, οὔ τί μοι μέλει. Μόνον ὑμῖν παραινῶ ἕνα πλοῦτον νομίζειν τὰ ὅπλα, κἂν κατηγορῇ τις φθονῶν, κρεῖττον ἡγεῖσθαι στερεῖσθαι καὶ τῆς ζωῆς ἢ στρατιώτας ὑμᾶς ἀόπλους καὶ εἶναι καὶ λέγεσθαι.

[1] Fuit reorum mos παῖδας ἀναβιβάζεσθαι. Locos protuli olim p. 371. Pachymeres Progymn. p. 563, 22: τίνες οὖν αὐτὸν ἐξαιτήσονται; παῖδες; ἀλλ' ἡ πόλις ὡς μήτηρ ὑπὲρ τῶν παίδων ἀγανακτεῖ, καί, τούτων λοιδορουμένων, οὐ φέρει. Ὅτε γοῦν εἰςάγει παῖδας εἰς ἔλεον, πάρεστιν ἐννοεῖν τὴν πατρίδα ὅλην μετασκευαζομένην εἰς τὸ ἐλεεινόν, καὶ παίδων κακῶς ἀκουόντων λιπαρῶς ζητοῦσαν ἐκδίκησιν. Codex pro πατρίδα scripturam tenet memorabilem μητρίδα, omnino reponendam. Confer infra Declam. sextam sub finem.

[2] Conf. initium declamationis p. 1.

[3] Male scripsi olim τεθάῤῥηκα.

[4] De hac ellipsi olim monui in Anecdotis Gr. t. V, p. 372.

ΜΕΛΕΤΗ Β'.

Φιλόσοφος ἔπεισε τύραννον καταθέσθαι τὴν τυραννίδα, καὶ αἰτεῖ τὸ γέρας τῶν τυραννοκτόνων. Ἀντιλέγεται δὲ παρά τινῶν. Καὶ μελετῶμεν τὸν φιλόσοφον[1].

Τὰ μὲν[2] δὴ τῆς εὐχῆς πέρας ἔχει τῆς ἡμετέρας καὶ τῆς σπουδῆς· καὶ ἤδη τὴν πόλιν πᾶσαν στεφανηφοροῦσαν ὁρῶ καὶ δῆμον τυραννικῆς ἀχλύος ἀπηλλαγμένον, καὶ πανηγύρεις πάλιν συνισταμένας, καὶ δικαστήρια καὶ βουλευτήρια συγκροτούμενα[3], καὶ ταῦτα πάντα θεοῖς καὶ φιλοσοφίᾳ κατορθωθέντα, καὶ πάντας χαίροντας καὶ πάντας τὰ χαριστήρια θύοντας. Μόνος δ' ὁ τῶν καλῶν τούτων αἴτιος ἐγώ, σκυθρωπός, καὶ ὥςπερ ἂν εἰ κακῶν δίκας κατεγνώσμην ἀποτιννύειν, οὕτως ἐπὶ τὸ δικαστήριον ἀπαντῶ, καὶ μελετῶ πρὸς ἀντιλογίαν λόγους, οὔπω καλῶς τοὺς κατὰ τῆς τυραννίδος λογισμοὺς ἀποθέμενος· καὶ δέον συγχαίρειν τῆς ἐλευθερίας τῇ πόλει καὶ συναγάλλεσθαι, εἰ μή τί γε πλέον εἶχον εἰπεῖν, ἐγὼ δὲ καὶ τυραννούμενος τὸ μέρος, καὶ γέρας, ἀγαθῆς γνώμης καὶ σπουδῆς γνώρισμα, μονονοὺκ[4] εἰς χεῖρας ἔχων παρὰ πάσης

[1] Schol.: ἡ στάσις· ὅρος ἁπλοῦς.

[2] Schol.: τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ πράγματος.

[3] De locutione δικαστήριον συγκροτεῖν ad Choricium, p. 220, ubi Pachymeris verba adducebam. Infra p. 28 : πανηγύρεις συγκροτουμένας.

[4] Codex, μόνον οὐκ, et sic sæpius; qua de re jam verbo monebam p. 15. Nonnunquam syllabas jungit μονονού. Et in Græcis quidem libris utraque scriptura pariter reperitur usurpata. Sed quum possit aliquid alicubi difficultatis esse in negationis relatione, malim quum μόνον οὐ significat σχεδόν, ἐγγύς, jungi syllabas scribendo μονονού, μονονουχί· dividi autem, quum negatio habet vim omnino suam, veluti exordio Declamationis VII : ὅτι σέσωσται δι' ἐμοῦ, οὐ μόνον οὐκ ἀγαπᾷ σωζόμενος, ἀλλὰ καί.... « quod mea servatus fuerit ope, non solum non est salute contentus et incolumitate sua, sed etiam.... » Sic Latini formula « tantum non » pro adverbio « ferme » utuntur, et duorum divisa vocabulorum scriptura prævaluit, quæ tamen jungi Pithœus jussit ad Quintilianum Declam. XLVII; sed contradicente Burmanno, qui hanc formulam tractavit ad illum sophistam non semel. Locos auctorum tangam nonnullos obiter. Libanius, t. IV, p. 632 : ἔνδον ᾤμην ἔχειν τὰ χρήματα· μονονοὺχ ἑώρων, μονονοὺκ ἠριθμούμην. Codex 3017

τῆς πόλεως, ἀπολέσας, κινδυνεύω διὰ τουτονὶ τὸν χρηστόν, τὸν μόνόν, ὡς ἐγῷμαι, τραῦμα κατὰ καρδίας τὴν λύσιν τῆς τυραννίδος δεξάμενον. Εἰ δὲ δεῖ δυςνοίας τῆς πρὸς τὴν πόλιν καὶ φθόνου τοῦ πρὸς ἐμὲ δημοτικὴν ἐμὴν εὔνοιαν περὶ ἐλάττονος τίθεσθαι, σκοπεῖν ἀφίημι τοῖς παροῦσιν· ἐμοὶ δ' ἀρκέσει μόνον τὸ ἐπὶ τῆς χρείας φανῆναι συνεργὸν ἐλευθερίας τῇ πόλει, καὶ μετὰ θεοὺς αἴτιον.

bis ; μονονοὺ καί. Cleomedes, 1, c. 2, p. 57=71 : τοῦτο δὲ ἐκ πάνυ πολλῶν ἐλέγχεται, μόνον οὐχὶ γραμμικὰς ἐχόντων τὰς ἀποδείξεις. Balforeus a sententia erraverat, qui sic convertebat : « hoc ex multis verum esse convincitur, non solum ex iis quæ lineares demonstrationes admittunt; » imo, « quæ tantum non lineares continent demonstrationes, » ex optima Bakii viri d. interpretatione. In Theophrasti Charactere 18 e codice Palatino edidit Siebenkesius : ἂν δ' ἄρα τις οἰκεῖος ἢ καὶ ἀναγκαῖος (venerit pocula commodato rogaturus), μόνον ἐπυρώσας, καὶ στήσας, καὶ σχεδὸν ἐγγυητὴν λαβών, χρήσει. Tauchnitziana : ...ῇ.... μόνον οὐ πυρώσας κ. τ. λ., quæ correctio corrigenda est, quum sensu careat. Dubneriana :...ῇ.... ὄνομ' ἐντυπώσας· cujus de lectionis auctoritate non monuit vir doct. Porro videtur non facile ob id admittenda, quod nominis cælata impressio temporis plurimum nec non manum poscat artificem. Ductus vocalium η υ permutatione conjeci, recepto ῇ, legendum μονονοὺ πηρώσας. Homo iste modicæ fidei commodandum poculum fere mutilat, sublata aliqua parte, ornamento aliquo extypo-, cujus clavi facile queant retigi figique rursus; ita ut vas mutuitanti creditum amico, jam non integrum, vix potuerit retineri diutius venumve dari. Quintilianus Milite Mariano, § 3: « nec pudet accusatorem.... objicere militi quod vir sit, tantumque non durum ac rusticum, sed parum meretriciis artibus queritur educatum. » Puto « et » esse, non « sed » scriptum ab auctore. Male intellecta formula « tantum non » visa est oppositionem postulare. Quod quum adnotavissem usus editione Dussaltiana, diligentiæ causa inspicere volui Burmannianam, et intellexi virum d. proposuisse « et » codices sequutum plurimos, Vallamque jam olim « ac parum » legisse. Parum studii posuit Dussaltus, ceterum homo latinæ linguæ scientissimus, in edendis Quintiliani Declamationibus. Est ubi negationem, quod modo dicebam, ab adverbio sejungit sententiæ vis. Exemplum suppeditabit Valerius Flaccus, 1, 202 : « tantum non indignantibus undis Hoc caput accipias, » tantum scilicet undis non indignantibus. Sic Seneca Epist. 119, 7 : « an parum habet qui tantum non alget, non esurit, non sitit? plus Jupiter non habet; » ille scilicet qui nil habet amplius quam non egere, qui id tantum habet quod non algeat. Difficilior est locus Ciceronis Attic. 14, 5, a Ruhkopfio ad Senecam appositi : « vides eos.... qui orbis terræ custodiis non modo septi, verum etiam magni esse debebant, tantum non laudari atque amari, sed parietibus contineri. » Propono rescribendum : « non tantum non laudari; » οὐ μόνον οὐκ ἐπαινεῖσθαι, ut in loco Pachymeris, laudato p. 20, col. 2. Heynium ad Tibullum, 1, 1, 25, Ciceronis verba non morabantur; sed non dixit quo illa intellexerit modo.

Τοῦ μὲν[1] δὴ γέρως ἧττόν μοι μέλει, κἂν στέφανον εἴποι[2] τις ἐκ χρυσοῦ, κἂν ἐπ' ἀγορᾶς κήρυξιν, κἂν σίτησιν ἐκ πρυτανείου, κἂν ἄλλο τι, οἷς ἔθος ὑμῖν δωρεῖσθαι τοὺς εὐεργέτας τῆς πόλεως· μόνον δὲ τοῦτο δάκνει μου τὴν ψυχήν, εἰ τῇ στερήσει τοῦ γέρως συστερηθείην καὶ τὴν ὑπὲρ τῆς πατρίδος σπουδήν, καὶ ὅσα φθάσας ὑπὲρ ὑμῶν, ὡς εἶχον καὶ τρόπου καὶ τέχνης, ἠγώνισμαι, μιᾷ ῥοπῇ ἀφανισθείη ἀνδρὸς φθονεροῦ τε καὶ μισοπόλιδος. Ἐκείνως μὲν γάρ, κἂν τὸ γέρας ἀπῇ, ἀλλ' οὔπω τὰ τῆς ἐμῆς εὐνοίας ἐπικαλύπτεται· οὕτως δέ, εἰ μὴ κἀγὼ οἷς εἶχον ἐφάνην χρήσιμος τῇ πατρίδι, ὡς λίαν ἐλεεινόν, καὶ δεινὸν ἢ φέρειν[3] τὸν ὑπὲρ δύναμιν οἷς ἐχρῆν βοηθεῖν εἰργασμένον καὶ ὅλαις ὁρμαῖς κατὰ τοῦ δεινοῦ σπεύσαντα!

Μᾶλλον δὲ[4] καὶ μικρὸν ἄνωθεν ἄρξομαι, ὡς ἂν δῆλον ὑμῖν γένηται καὶ ὅσοις δεινοῖς τὴν πατρίδα τὸ συμβὰν περιέβαλε, καὶ ὁπόσον ἐγώ, πρὸς τὸ δεινὸν ἐκεῖνο ὡς εἶχον ἀντικαθιστάμενος, πάσαις προθυμίαις ἠγώνισμαι. Ἀλλ' ὤ! τί πάθω; ἐκείνων πάλιν ἀναγκαζόμενος μεμνῆσθαι τῶν δυςχερῶν, ἰλίγγου πληροῦμαι καὶ ἀθυμίας, κἀκεῖσε τῷ νῷ γίνομαι καὶ μονονοὺκ ἐν ὀφθαλμοῖς βλέπω τὰ τότε πραττόμενα· φοβερὸν[5] μὲν ἐπ' ἀκροπόλεως τύραννον, ἄγοντα καὶ φέροντα τὰ ἐνταῦθα μόνῳ τῷ βλέμματι, καὶ δορυφόρους αὐτοῦ ἄνω καὶ κάτω διερχομένους μετ' ἀγριότητος· τὸν εὐσεβῆ δὲ δῆμον ἐν λύπαις καὶ ἀθυμίαις μεγίσταις, καὶ μηδὲ τοῦ οἴκου μικρὸν ἔχοντας προκύπτειν τοὺς ἐν τῇ πόλει, ἀλλὰ παραβυομένους σκότῳ καὶ ἀφανείᾳ, ἐνίους δὲ καὶ τοῖς μνήμασιν, ὡς κρεῖττον ἔχοντας τὸ θανεῖν ἢ δουλεύειν τυραννικοῖς ἐπιτάγμασιν. Ἐῶ τὰς τῶν οἴκων σκυλεύσεις, τὰς τῶν παρθένων ἑλκύσεις, τῶν χρημάτων τὰς ἁρπαγάς[6], τὰς καθ' ἡμέραν πληγάς, τούς, κἂν

[1] Scholium : δεύτερον προοίμιον.

[2] Fortasse εἴπῃ. Sed talia vix tangenda in scriptore ejus ætatis.

[3] Intelligo : δεινὸν μᾶλλον ἢ τοῦτον φέρειν δύνασθαι, ὃς εἴργασται ὑπὲρ δύν. οἷς ἐχρῆν βοηθεῖν, καὶ ἔσπευσεν. Mallem non bis posuisse δεινόν sensu non eodem.

[4] Schol.: προκατάστασις.

[5] Schol.: κατάστασις.

[6] Hector ad Andromachen : Ἀλλά με τεθνειῶτα χυτὴ κατὰ γαῖα καλύπτοι, Πρίν γ' ἔτι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι. Et Il. 22, 62 : ἑλκηθείσας τε θύγατρας. Procopius Gazæus in Villoisoni Diatriba, p. 34 : ἑλκομένην νεότητα, καὶ παρθένους ἀγομένας.... πρὸς ὕβριν

γρύξῃ τις, κἂν τολμήσῃ λέγειν ὡς κακῶς ἔχει τὰ κατὰ πόλιν, πικροὺς καὶ ἀπαραιτήτους θανάτους. Ἐῶ τὴν περὶ θείους οἴκους ἀμέλειαν, τὴν τοῦ δικαστηρίου κατάλυσιν, τὴν ἐν βουλαῖς ἀπραξίαν, τὴν τῆς πόλεως σύγχυσιν. Τί δεῖ τὰ τότε καταλέγειν, καὶ μόνῃ συγχεῖσθαι τῇ μνήμῃ τῶν δυσχερῶν; καὶ ἄλλως ὅτι καὶ πᾶς βουλόμενος λέγειν τῶν πραγμάτων ἐκείνων ἡττήσεται. Τίς γὰρ ἐφίκοιτο λόγος τῶν φόβων, τῶν ταραχῶν, τῶν ὅπου τις φανείη κινδύνων; ὅτε καὶ τὰ γένη τινὲς ἐξετίθουν, ὡς ἂν μὴ τῆς αὐτῆς τοῖς πατράσι δυσκληρίας ἐφ' ἡλικίας γενόμενα τύχοιεν· ὅτε φυγῆς ἑκουσίου προσετίμα[1] ἕκαστος ἑαυτῷ, καὶ ταύτην προῃρεῖτο χαίρων ἢ δουλείαν τυραννικὴν ἐπὶ τῆς οἰκίας καθήμενος· ὅτε κενὴ τῶν οἰκητόρων ἡ πόλις, καὶ ταλαίπωροι μὲν ἐπὶ ξένης οἱ ἐξελθόντες, στυγνοὶ δὲ καὶ κατηφεῖς οἱ μένοντες ἐξ ἀνάγκης ἐφαίνοντο.

Πρὸς ταῦτα τοίνυν ἐγὼ (καὶ σκοπεῖτε τὸν ζῆλον, παρακαλῶ) πολλάκις ηὐξάμην κατ' ἐμαυτὸν στρατιωτικὴν ἐμπειρίαν ἔχειν καὶ πρὸς δόρυ καὶ πόλεμον οἰκείως τυχεῖν διακεῖσθαι. Οὕτω γὰρ μόνως ἡγούμην ἄν, εἰ ἐπιχειροίην, περιγενέσθαι τυραννικῆς αὐθαδείας τε καὶ ὠμότητος. Πολλάκις οἴκοι καθήμενος καὶ πρὸς τῇ βίβλῳ σχολάζων τὸν νοῦν, ἐννεὸς ἐγινόμην ἐξαίφνης, καὶ μόνον βίβλος ἡ βίβλος ἀνὰ χεῖρας ἐφαίνετο, καὶ μόνον ὀφθαλμοὶ ἐπέτρεχον τὰ γραφόμενα· ὁ νοῦς δ' ἦν ἐκεῖσε, πῶς ἂν ἐλευθερίαν ἴδοιμι τῆς πατρίδος, καὶ πῶς ἐκποδὼν ὁ τύραννος γένοιτο. Εἶδεν ἄν τις ἐμὲ παραστὰς τότε ζάκοτόν τινα, ἔνθουν, καὶ οἵους τοὺς νυμφολήπτους βλέπομεν. Πολλάκις μετέμελέ μοι καὶ τῆς ἐπὶ τῇ φιλοσοφίᾳ σπουδῆς καὶ τοῦ ἐξ ἔτι νέου[2] ἐπιτηδεύματος. Καί « Τί μοι ἡ τῶν ὄντων ἐπιστήμη χρήσιμος; » ἔλεγον, « εἰ μὴ συνενεγκεῖν ἔχοι τοῖς οὖσι τῆς πόλεως. Ἐῤῥέτο γνῶσις καὶ θείων καὶ ἀνθρωπίνων πραγμάτων, εἰ μὴ τῇ πατρίδι βοηθοίη καμνούσῃ.

ἐχθροῦ καὶ βαρβάρου. Virgilius : « Ecce trahebatur passis Priameia virgo Crinibus. » Et conferendus secum Pachymeres Hist. Andron. 5, 21, p. 415 : βίοι γὰρ ἡρπάζοντο, καὶ γυναῖκες ὑβρίζοντο, καὶ κόρια διεφθείροντο.

[1] Cod. προσετίμων. Rescripsi numerum singularem propter προῃρεῖτο, et tot vocabula singularis numeri.

[2] Cod. ἐξέτι νέου. Malui dividere ob genitivum νέου. Non dividam ἐξέτι absolute positum. Cf. p. 18, n. 2.

Μία γνῶσις ἀρίστη, περὶ πατρίδος ἀμύνεσθαι[1]· ἓν ἐπιτήδευμα κάλλιστον, ὠθεῖν ἐκ τῶν δυνατῶν τῇ πόλει τὸν κίνδυνον.»

Τούτοις νυκτὸς καὶ ἡμέρας συνειχόμην τοῖς λογισμοῖς. Ταῦτ' ἔπασχον καθ' ἡμέραν, καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τὸ πάθος ἐμοί, ὅτι τε πάσχοιμι, καὶ ὅτι, συνειδὼς ἐμοὶ πάσχων, τρόπον ἐζήτουν ἀπαλλαγῆς. Ἐποτνιώμην θεούς[2], εὐχὰς ἐποιούμην τοῖς κρείττοσιν, οὐ κατὰ τοῦδε ἢ τοῦδε τινὸς τῶν ἐμῶν, ἀλλὰ κατὰ παντὸς τοῦ βίου, κατ' αὐτοῦ σώματος, κατ' αὐτῆς ψυχῆς ἐσαεί. «Τί γάρ» ἔλεγον, «τῶν ἀπίστων, εἰ θεὸς βουληθείς, συναραμένης καὶ τύχης τῆς πόλεως, καὶ τὸν μηδὲν ἐμὲ δοκοῦντα πρὸς τοιαύτην κακοδαιμονίας ἐπήρειαν γενναῖον καὶ χρήσιμον δείξειε. Καὶ οὕτως ἂν ἐσοίμην κἀγὼ τῇ πατρίδι θρέμμα ἥκιστα παρορᾶσθαι ἄξιον, οὐδ' ὡς ἄν τις καὶ περιττός, οὐδὲ μάτην τὸ ἐμὸν ἔργον καὶ εἰς κενόν· ἀλλὰ γέρας ἔσοιτο καὶ φιλοσοφίᾳ, ὅτι πρὸς αὐτὸ τὸ τῶν ὅλων κεφάλαιον τῇ πόλει συνήρατο. Καὶ ῥήτορες φιλοσόφοις τὰ ἐς πολιτείαν οὐκ ἀποσεμνυνοῦνται, εἰ καὶ παρ' αὐτῶν συμβαίη πρὸς τὴν ὑπάρχουσαν τύχην τὸ χρήσιμον[3]; »

Ἐπέρχεταί μοι τοιγαροῦν λογισμὸς ἐκ θεῶν· πόθεν γὰρ καὶ ἄλλοθεν εἴποιμι; Ἐλογιζόμην ὡς ἐν ἄλλοις μὲν ἴσως τέχνη διασταίη ἂν προαιρέσεως, καὶ θέλων τις τὰ κοινὰ πράττειν κωλυθείη ἂν τῷ ἐπιτηδεύματι, οὐ πρότερον τελεσθεὶς τοῖς κοινοῖς· ἐπὶ δὲ τοῖς παροῦσι κειμένης τῆς προαιρέσεως, καὶ πᾶσα τέχνη καὶ πᾶν ἐπι-

[1] Meminerat Homerici versus nobilissimi : Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

[2] Iterum infra : ἐποτνιώμην θεούς. Scholiastes Euripidis Or. 203 : ποτνιᾶσθαι δὲ ἐστὶ τὸ προςπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων. Philo V. M. 3, § 25 : ποτνιᾶται δὲ τὸν θεόν. Synesius Ep. 4, p. 162 : ἅπαντες ἐθεοκλύτουν, ἐποτνιῶντο. Quem fortasse recordabatur Theodorus Prodr. Rhod. 6, p. 250 : Ἐποτνιῶντο πάντες οὐκ ἀδακρύτως, Κοινῇ θεοκλυτοῦντες ἐν κοινῷ πάθει Ἐποτνιῶντο. Pachymeres De Mich. Palæol. 6, 36, p. 531 : τὰ εἰκότα ποτνιασάμενος πρὸς τὸν ὕψιστον· ubi schol.: μετ' οἰμωγῆς παρακαλέσας. Idem De Andron. 1, 22, p. 62, ποτνιωμένων, cum scholio, μετ' οἰμωγῆς παρακαλούντων. Vide quæ ad Synesium apposui in Delectu Sinneriano, p. 467, et ad Anecd. Gr. t. IV, p. 35; collato Krabingero ad Synes. Calv. p. 84. Ποτνιᾶν activum usurpavit Marcus Eremita, p. 268 : ὁ δὲ γέρων προπέμψας αὐτὸν καὶ στραφεὶς ἐποτνία. Lexicon in meis Anecd. Gr. t. IV, p. 400 : ποτνιῶ, τὸ παρακαλῶ.

[3] Codex sine interrogatione.

τήδευμα ὅπη ἂν αὕτη ἄγοι κἀκείνῃ[1] ἕψεται. Ὁ γὰρ ἴσους στεφάνους ἀποληψόμενος ἄν, κἂν κατορθώσῃ κἂν μή, ἐκ μόνης αὐτῆς προαιρέσεως, οὐχ ἕξει πάντως ἀφαρμόζον τὸ ἐπιτήδευμα πρὸς τὸ βούλημα.

« Ἐπιχειρητέον » εἶπον « τῷ ἔργῳ σὺν τοῖς θεοῖς. Ἔστι καὶ φιλοσοφίᾳ ὅπλα πρὸς τυραννίδος καθαίρεσιν. Γνῶσιν ἔχει τῶν ὄντων· προβαλεῖται ταῦτα· ἐπιστημόνως διαιρήσει, διδάξει ἅ τε οἶδεν ἀεὶ μένειν καὶ ἃ παρέρχεται· θήσει πρὸ ὀφθαλμῶν τὸ τοῦ βίου βραχύ. Θήσει δυναστείαν, ἀλλ' ἀντιθήσει καὶ ὄνομα κάλλιστον. Θήσει πλοῦτον, ἀλλ' ἀντιθήσει καὶ εὔφημον μνήμην. Θήσει δορυφόρους καὶ φαντασίαν καὶ τὸ παρὰ τῶν συνόντων θαυμάζεσθαι, ἀλλ' ἀντιθήσει καὶ τυραννουμένους ἀδίκως, καὶ μῖσος παρ' ὅλων, καὶ τὸ παρὰ πάντων κακίζεσθαι. Ταῦθ' ὅπλα φιλοσοφίας, ταῦτ' ἐπιστήμης πεῖρα. Τούτοις ἔχω τὸν τύραννον δυςωπεῖν· τούτοις ἐκμαλάσσειν τὸ οἰδαῖνον αὐτοῦ τοῦ φρονήματος. Καταλήψομαι τὴν ἀκρόπολιν· φιλοσοφήσω περὶ κόσμου παντός, ὡς ὄναρ ἅπας, ὡς σκιὰ μὴ κρατουμένη, ὡς ἐξεγειρομένων ἐνύπνιον[2]· καὶ ὅτι δημοτικοὶ μέν, καὶ ζῶντες καὶ ἀπελθόντες, καὶ θεοῖς φίλοι καὶ ἀνθρώποις τίμιοι· τύραννοι δέ, ζῶντες μὲν δημοσίαις ἀραῖς ὑποκείμενοι, ἀπελθόντες δὲ ἐπὶ κακίᾳ μόνῃ τεθρυλλημένοι, καί, ὅπως φύγοι τις ἄλλος τὴν ἐκείνων

[1] Cod. κἀκείνη. Dativum scripsi adverbiascentem : τέχνη καὶ ἐπιτήδευμα ἕψεται ἐκείνῃ ὅπη ἂν ἡ προαίρεσις ἄγοι. De ἐκείνῃ in notis ad Eunapium, p. 225, 505.

[2] Pachymeri obversabatur Pindari dictum apud Stobæum tit. 111, 12, inde receptum a Bœckhio inter Lyrici fragmenta, p. 669, ab eoque illustratum : τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια· quod Aristoteli tribuit Diogenes Laert. 5, 18; Platoni Ælianus H. V. 13, 29. Id respexit, indicante Colomesio ad Quintiliani, et ipsius respicientis, verba Inst. 6, 2 : « spes inanes et velut somnia quædam vigilantium; » respexit, inquam, Basilius M. Epistola quadam ad Nazianzenum Delectus Sinneriani, p. 388 : ἐπαινῶ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια. Nicephorus Gregoras Hist. 4, 1, 4 : ἦσαν ἄρα τὰ τῶν τοιούτων ἐλπίδων αὐτῷ γρηγορούντων ἐνύπνια. Niceph. Chumnus Epist. 112 : τὰς ἐλπίδας ἔφη τις ἐγρηγορότων ἐνύπνια, καὶ μάλ', ἔμοιγε δοκεῖν, εὖ καὶ καλῶς ἔφη. Ibi fui brevior. Steph. Jovius Cecilia : « Quant à l'avenir, il n'en fait pas plus de cas que de l'espérance; c'est pour lui, comme dit *saint Paul*, le songe de l'homme éveillé. » Sic sæpius peccavit scriptor ille in quo plus fuit ingenii quam litterarum, et qui nec Paulum legerat nec Pindarum.

μοχθηρίαν, εἰς τοῦτο μόνον μνημονευόμενοι. Ταῦτ' εἰπὼν εἰ μὲν πείσω, χάρις θεοῖς, καὶ σωτηρία ἐντεῦθεν μεγίστη τῇ πόλει· εἰ δ'οὖν, οἶδα πεσὼν αὐτίκα. Καὶ ἔστω τοῦτο τῆς ἐμῆς γνώμης σημεῖον καὶ τῆς πολιτείας σφραγίς. Οὐκ ἄτιμον ἡγοῦμαι τὸ οὕτω θανεῖν. Ἐπαινέσονταί μου τὸν ζῆλόν τινες, ἀποδέξονται καὶ μὴ κατορθώσαντος τὸν σκοπόν. Τυραννοκτόνον θερμός τις εἴποι καὶ πόλεως εὐεργέτην, ἐκτόπως τὴν πόλιν φιλοῦντα[1]: Ὀστᾶ τἀμά, μετὰ χρόνον, μετὰ τιμῆς συγκομίσονται φιλοπόλιδες ἄνθρωποι, καὶ τύμβον φιλοτίμως ἐξαναστήσουσι, καὶ γέρας ἔσται τυραννοκτόνου καὶ μετὰ θάνατον, καὶ στέφανος ἀνδραγαθίας διαιωνίζων ἐμοί. Εἰ δὲ μὴ ζῶν τιμηθήσομαι, ἀπελθόντα τιμήσουσιν ἐπιγράμμασι. »

Ταῦτ' εἶπον. Καὶ παρευθὺς μόνῃ τῇ βακτηρίᾳ θαῤῥῶ, καὶ πρὸς τὴν ἀκρόπολιν γίνομαι. Καὶ τοὐντεῦθεν τί ἂν καὶ λέγοιμι τὴν ἀσφαλῆ φυλακήν, τοὺς ἀγρίους ὑπασπίστας, πῶς ἐμοὶ προσεφέροντο; Ὁ μὲν παρασύρων τὸ βλέμμα καὶ σχῆμα θυμουμένου δεινῶς σχεδιάζων, σοβαρῶς ἠρώτα· « Τίς ὁ γέρων οὗτος; καὶ πόθεν ἥκει; καὶ τί βούλεται; » ὁ δὲ τὸν προσηνῆ καὶ ταπεινὸν ὑποκρινόμενος, ὑπούλως ἠρεύνα τὴν ἐμὴν ἄφιξιν. Ἄλλος ὁρῶν κατεφρόνει, καὶ ὡς ἀνθρώπου σκιὰν ἡγεῖτο μόνην ἐμέ, καὶ σιγῶντός μου κατημέλει, καὶ ἐρωτᾷν τολμῶντι ἧττον προσεῖχε τὸν νοῦν. Ἄλλος εἰκαίως παρώθει· ἄλλος δεινῶς ἠπειλεῖτο. Ἔστι δ' ὅς, καὶ φοβερός τις θελῶν δοκεῖν, ἢ σπάθην ἣν κρατῶν ἔτυχεν, ἢ ῥάβδον, ἢ καὶ χεῖρα μόνην ἀνέτεινεν. Ὡς δὲ μόλις καὶ ὁ ἐπὶ τῶν ἀναμνήσεων[2] ἐφάνη σοβῶν, καὶ πέμψας ἠρώτα μετ' ἀγριότητος, καὶ μαθὼν ὡς ἀναγκαῖον ἔχω τῷ ἐπὶ τῆς ἐξουσίας ἀπόῤῥητον ἐξειπεῖν, ἔτι καὶ μᾶλλον[3] ἐμοὶ λέγων εἶπεν· « Οὐκ εἰςιτά[4] σοι τὰ πρὸς τὸν δεσπότην ἀρτίως. » Ἐγὼ δ' εἰπόμην δυςωπῶν, καὶ ἦθος οἰδαῖνον

[1] Cod., τυραννοκτόνον θερμός τις.... φιλῶν. Est τυραννοκτόνον e correctione; fuit prius τυραννοκτόνος. Correctionem absolvere mihi visus sum, rescripto φιλοῦντα.

[2] Esse videtur ὁ ἐπὶ τῶν ἀναμνήσεων idem τῷ εἰςαγγελεῖ, ὁ μηνύσων, « Magister admissionum. »

[3] Sic codex. Periit nonnihil, σκυθρωπῶς fortasse, vel ἀγρίως....

[4] Videtur esse εἰςιτά forma dicendi recentior, quæ sophistæ atticissanti exciderit. Ea usus est infra Declamatione VII, et Hist. M. Palæol. 6, 23, p. 478 : μέλεοι, εἶτα ὑμῖν μὲν ἐφεῖτο ἐς ὅ τι χρήσασθαι δόγμασι, καὶ εἰςιτὰ ἐς

μαλάττων[1] παντὶ σχήματι πρὸς τὸ ἡμερώτερον. Τί τὰ πολλά; ὑπομιμνήσκει τὸν λόγον· δοκεῖ τῷ τυράννῳ, καὶ παρευθὺς εἰςάγομαι.

Ὁπόσην γοῦν κἀκεῖνος πρὸς εὐτελῆ γέροντα τὴν δεινότητα ἐσχεδίαζε, καὶ ὅπως ἄγριον ἦθος ἐξ ἀρχῆς ἐδείκνυ καὶ ἀπαραίτητον, καὶ πόσας αὖθις μορφὰς ἐπὶ τοῦ προςώπου, τοὺς λόγους ἀκούων, ὑπέφαινε, τί χρὴ λέγειν; ἀλλ' ὅμως ἐγὼ ἑνὸς ἅπαξ σκοποῦ γενόμενος, τὸ τὴν πόλιν, εἰ δυνηθείην, ἐλευθεροῦν, κἂν εἴ τι συμπέσοι μοι ἀηδές, οὐκ ἀνῆκα πάντας κινῶν λογισμοὺς πρὸς τὸ πεῖσαι, κἀκ πάντων ἐπιχειρῶν πρὸς τὸ μαλάξαι τὸ σκληρὸν τῆς γνώμης, καὶ τυραννικῆς αὐτονομίας περιγενέσθαι, καὶ κατορθῶσαι τὸ σπουδαζόμενον.

Εἶδέ τις τότε μάχην παρ' ἀμφοτέρων καὶ πόλεμον ἄντικρυς. Ὕβριζεν ἐκεῖνος, καὶ μωρὸν ἀπεκάλει εἰ τούτοις αἱρήσειν ἤλπισα. Παρεκάλουν ἐγώ, ἀντετίθουν τὸ ταπεινόν· ὑπεμίμνησκον θανάτου, καὶ ἀδοξίας, εἰ οὕτως ἔχων ἀπέλθοι, καὶ δόξης αὖ, εἰ μεταβληθήσεται. Κατεφρόνει γελῶν ἐκεῖνος; ἐγὼ δέ, τὸ κηδεμονικὸν ἐμφαίνων[2], ἐδάκρυον. Ἀπέπεμπε σοβαρῶς; ἐγὼ δὲ ταπεινῶς προςεφυόμην τοῖς γόνασι. Τέλος ἐγύμνου τὸ ξίφος; ἐγὼ δ' ὑπεῖχον τὸν τράχηλον εἰς σφαγήν. Καὶ τί δεῖ με λέγοντα παρενοχλεῖν; μόγις καὶ μετὰ μακρὸν χρόνον μαθὼν ὡς οὐ καθυφήσω, κἂν εἴ τι πάθω, κἂν εἴ τι καὶ γένοιτο[3], κρείττονος γίνεται λογισμοῦ, θεῶν ἀψαμέ-

οἶκον κυρίου· « miseri, vobis igitur permissum fuit pro libitu dogmatis uti, et patet aditus in domum domini. » Editio ἐς ὅ τι χρήσασθε, codice non variante. Est χρήσασθαι conjectura Bekkeri v. d. Meum est ἐς ὅ τι. Forsan ἐς ἔτι vel ἐςέτι, « adhuc, amplius; » quæ compositio non obvia multum est. Gregorius Naz. t. II, p. 209 D, de Aristide illo Justo: ἔσχε τοὔνομ' ἐκ τῆς πράξεως Δίκαιος ὢν τε καὶ καλούμενος εἰς ἔτι. Symeon Sethi Ichnel. p. 438: οὐ χρή με εἰς ἔτι σοι ὑπουργεῖν. Strato Anth. 11, 117: Ἂν δὲ προςεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα Οὐκέτι μήποτ' ἴδῃ πλησίον ἑστάοτα. Nonnihil οὐκέτι impedit orationem. Fortasse εἰςέτι, vel, repetito οὐδέ, οὐδ' ἐλέφαντα οὐδέ τι.... Simili modo quo Pachymeres εἰςιτά, Procopius adhibuit vicinam vocem εἰςιτητά, Goth. 3, 18, p. 351, 14: ὡς μηκέτι ἀκάτοις.... ἀναγομένοις ἐς τὴν πόλιν ἐςιτητὰ εἴη.

[1] Οἰδαῖνον ἦθος μαλάττων] Similis metaphora p. 25 m.

[2] Polybius, 32, c. 13, 12: τὸ κηδεμονικὸν ἐμφανίζοντες.

[3] Est debilius κἂν εἴ τι γένοιτο, post κἂν εἴ τι πάθω. Eadem abundantia Nic. Chumni Epist. 163, p. 183. Ibi nota.

νων τῆς ἐκείνου καρδίας, καὶ ταπεινὸς ὁρᾶται, καὶ χρόνον ἐπισχὼν ὀλίγον, φησίν· « Ἀλλ' ἐγγυᾷ τὴν ἐμὴν ἀσφάλειαν, εἰ τῆς ἀκροπόλεως ἐκστήσομαι; » κἀμοῦ συνθεμένου, καὶ θεοὺς ἐπιδιδομένου[1] ἦ μὴν φυλαχθῆναι τὰ ἐς ζωήν, (καὶ τί γάρ, εἰ μὴ τὸ ἀληθές, λέγοιμι;) ἀναστὰς ἐκεῖνος αὐτίκα, ῥίπτει[2] τὰ ὅπλα, κἀμοὶ συνταξάμενος[3] ἅμα δὲ καὶ ἀκροπόλει, πάσῃ καὶ τυραννίδι, καὶ τοῖς τῆς πόλεως πράγμασι, μετὰ τῶν οἰκείων ἐκποδὼν γίνεται.

Καὶ νῦν[4] σὺν θεῶν συνεργείᾳ[5] κενὴ μὲν τυραννικῆς ὠμότητος ἡ ἀκρόπολις, κενὴ δὲ θορύβων ἡ πόλις καὶ ταραχῶν. Οὐ τύραννος ἐπιτάττει· οὐ ξένοι τινες καὶ ἐπήλυδες τὰς οἰκίας ἡμῶν ἐπιτρέχουσιν· οὐχ ὑβρίζονται νόμοι· οὐ παρορῶνται τὰ πάτρια· οὐ γνώμῃ δουλοῦταί τινος, καὶ ἄλλα θέλων ἄλλα βάζει[6], ἐξ ἀνάγκης τῷ καιρῷ χαριζόμενος· οὐχ ὅ τι τις εἴποι πράττεται τῶν δεινῶν. Πάντα γαλήνης μέστα, πάντα χαρᾶς πλήρη. Δικαστὰς ὁρῶ καθημένους ἐπὶ τοῦ βήματος, κοινὴν βουλὴν συναγομένην εἰς τὸ βουλευτήριον, πανηγύρεις κατ' ἔθος συγκροτουμένας[7] τὸ πάτριον, ῥήτορας δημηγοροῦντας, ἀντιλέγοντα τὸν βουλόμενον, πάντας ἐν παῤῥησίᾳ τοῦ λέγειν, πάντας ἐν ἐλευθερίᾳ μεγίστῃ, τοὺς ἐπ' ἀγρῶν, τοὺς ἐπὶ τῆς πόλεως, πάντας φιλοσοφίᾳ καὶ τόλμαις ἐμαῖς ζωάγρια θύοντας.

Μόνος δ' οὗτος, οὐκ οἶδ' ὁπόθεν ἐλθών — οὐδὲ γὰρ ἄν, ὢν ἐνταῦθα καὶ πεῖραν σχὼν τῶν δεινῶν, ταῦτ' ἐμελέτησε λέγειν — μόνος οὗτος[8] τὴν ἐμὴν ἀνδραγαθίαν φαυλίζει, καὶ γέρως ἀποστερεῖν

[1] Homerica locutio ex Il. 22, 254 : Ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα. Ibi schol.: ἐπιμαρτυρώμεθα. Vide Heynii Observationem.

[2] Sic cod. Mox alio accentu ὅπλα ῥιπτεῖ p. 31.

[3] « Quum mihi vale dixisset. » Nicephorus Chumnus in meis Anecdotis Gr. t. V, p. 236 : συνταξάμενος αὐτοῖς· ubi nota.

[4] Schol.: προβολή.

[5] Σὺν θεῶν συνεργείᾳ] Aristænetus, 1, 13 init.: αἱ μὲν γάρ (ἐπιστῆμαι) ἀτελεῖς μὴ συνεργοῦντος τοῦ θείου. Ibi notæ. Joannes monachus Vita Barlaami in meis Anecdotis Gr. t. IV, p. 5 : τοῦ Κυρίου συνεργοῦντος. Ibi nota. Nicephorus Gregoras, 7, 3, 3 : τῆς ἄνωθεν δεξιᾶς συνεργούσης. Scholiastes Theocriti, 3, 40 : Ἱππομένης συνεργὸν ἔχων τὴν Ἀφροδίτην. Lucianus Demosth. Enc. 38 : τῇ παραδόξῳ ῥοπῇ τῆς Τύχης, τῇ πολλὰ πολλάκις ἡμῖν συνειργασμένῃ.

[6] Respectu ad Homeri versum : Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει.

[7] Vide p. 20, n. 3.

[8] Schol : ὅρος.

ἐθέλει καὶ τιμῆς, καὶ ζητεῖ σφαγὴν τοῦ τυράννου καὶ αἵματα, καί, ὅτι οὐ ταῦτα συνέβη, οὐκ ἀνέχεται λέγειν τυραννοκτόνον τόν, τύραννον[1] αὐταῖς σκευαῖς καὶ δορυφόροις πᾶσι τῆς ἀκροπόλεως ἀπελάσαντα.

Ἀλλ', ὦ τάν[2], ἔδει[3] βουλεύσασθαι τὸν φιλόπολιν, πῶς ἂν καταλυθείη ἡ τυραννίς; ἐβουλευσάμην ὡς οἷόν τε. Ἔδει τολμῆσαι τὴν ἐπὶ τῇ καταλύσει τῆς κακίας, ὡς εἰκός, ἐπιχείρησιν; ἐτόλμησα μάλα· ἀνῆλθον, συνέστην τῷ πάντ' ἀπολουμένῳ τυράννῳ, πάντα κάλων ἐκίνησα[4] ὠθῆσαι τὸ δεινὸν τῇ πόλει[5]. Ἔδει κενὸν[6] καταστῆσαι τυράννου καὶ δορυφόρων τὸ φρούριον; γέγονε τοῦτο πάντως. Καὶ νῦν ἀνίτω πᾶς ἐκεῖσε, εἴπερ ἐστὶν αὐτῷ βουλομένῳ· ἀπολαυέτω καθαρᾶς ἐλευθερίας, κἂν ὅπου ἴοι, μὴ δειλιάτω. Ἰδοὺ γὰρ ὃ συνέβη ἂν σφαγέντος ἐκείνου, τοῦτο γέγονεν ἀποδράντος. Καὶ ὥςπερ, ἂν νοσῶν τις ὑγίανεν[7], οὐκ ἔχει τὸν τρόπον καθ' ὃν ὑγίανε μέμφεσθαι, ἀλλ' ἀγαπήσει τῆς νόσου ἀπαλλαγεὶς καὶ τῷ αἰτίῳ εἰδήσει τὴν χάριν, οὕτω λογίσαι καὶ ἐπὶ τοῖς παροῦσι. Τί τὸν τρόπον ζητεῖς καθ' ὃν ἀπηλλάγης τῆς τυραννίδος, ἅπαξ ἀπαλλαγείς;

[1] Cod. τόν, τύραννον. Divisione sic facta post articulum, ut monstretur pertinere non ad nomen τύραννον, sed ad participium ἀπελάσαντα. Noluit auctor vel librarius, repetito articulo, scribere τὸν τὸν τύραννον, cujus tamen repetitionis, non suavis quidem, multa sunt exempla, multa congessi ad Anecdota Gr. t. II, p. 296. Interposita virgula est insolita quidem, sed lectorem quæ commode moneat.

[2] Exhibeo codicis scripturam.

[3] Schol.: ἀνθορισμός.

[4] Manuel Palæologus in meis Anecdotis Gr. t. II, p. 280: πάντα κάλων, τοῦτο δὴ τοῦ λόγου, κινοῦσιν. Ibi nota, collato Theodoro Hyrt. p. 434. Theodorus Prodr. Rhod. 8, p. 354: Κινοῦσα πάντα τῆς παροιμίας κάλων. Idem, 3, p. 118: Καὶ πάντα πάντως συνεκίνησας κάλων· prout scripsi ad Theophylactum Simoc. p. 224. Julianus Ep. 52, p. 100: πάντα κινοῦσιν ἀκοσμίας κάλων. Ibi Heiler. Gregorius quidam apud Iahn. virum doct. ad Glycam, p. 130: Θεοδώριτος.... πάντα κάλων, τὸ τοῦ λόγου, κινῶν. Plato Sisypho, p. 233: σκοπῶμεν, νὴ Δία, ὑπερφυῶς μὲν οὖν, τὸ λεγόμενόν γε, πάντα κάλων ἐφέντες. Ibi scholium. Crinagoras de Callimacho Epigr. 15, τοὺς Μουσέων πάντας ἔσεισε κάλως. Ibi scholium et Jacobs. Philo De Insomniis, p. 162: πάντα μὲν οὖν ἀνασείειν κάλων ἀχαλίνου στόματος. Ibi Hœschelius, p. 255. Anonymus in Georgidæ Gnomologio, p. 98: πάντα σείοντας κάλον. Sic restitui pro scriptura codicis πάντας ἰόντας καλόν.

[5] Sic p. 24, 2: ὠθεῖν τῇ πόλει τὸν κίνδυνον.

[6] Codex, κενήν.

[7] Sic codex. Malim εἰ quam ἄν, cum ὑγίανεν. Sed nil tentandum, quum sit eadem syntaxis, p. 30: κἂν μὴ κατώρθωσεν; et inferius κἂν ἀπέδρα.

Εἰ μὲν οὐκ ἀπηλλάγης τῶν χαλεπῶν, ἔχεις ὡς ἀτελὲς τὸ πραχθὲν αἰτιᾶσθαι· εἰ δ' ἀπηλλάγης τέλεον τῶν κακῶν, καὶ πᾶσα γαλήνη καὶ πᾶσα κατάστασις τῇ πόλει ἐπιγελᾷ, καὶ λαμπρότερος νῦν ὁ ἥλιος καθορᾶταί σοι ἢ ὅτε τὰ πάντα κατεῖχεν ἡ τυραννίς, τί τῆς μὲν χάριτος ἀπολαύεις, τὴν δ' ἐπὶ τῇ χάριτι εὐγνωμοσύνην οὐ δίδως; τί τὸ ἔργον ὡς καλὸν ἐνστερνίζῃ, τῷ δ' εἰργασμένῳ ἀγνωμονεῖς[1];

Ἄρόν σου κύκλῳ τοὺς ὀφθαλμούς· ἴδε πανταχοῦ τὴν ἐλευθερίαν τῆς πόλεως· ἴδε πῦρ χαριστήριον τοὺς πάντας κατ' οἶκον ἀνάπτοντας· ἴδε σεμνότητα πολιτείας· ἴδε παῤῥησίαν γερόντων, ἴδε νεότητος θάῤῥος ἐς τὰ καλά. Ἀλλ' ἀφίημι τἄλλα. Τὸ γοῦν ἐπὶ δικαστηρίου σε ἵστασθαι καὶ ἀντιλέγειν δύνασθαι, πόθεν ἔσχες εἰπέ μοι, καὶ τίς σοι δέδωκε τοῦτο; Ἔχεις εἰπεῖν ἄλλον παρ' ἐμὲ καὶ τὴν σπουδὴν τὴν ἐμήν; τί πλέον ἐπισυνέβη ἂν τῶν παρόντων, εἰ ἀνῄρηται[2] ὁ τύραννος; Εἰ μὲν ἔχεις, δεῖξον τοῦτο τοῖς δικασταῖς, κἀγώ σοι ἐμαυτὸν ὑφιστῶ πρὸς τὴν τοῦ ἐλλείματος ἀναπλήρωσιν· εἰ δ' οὐκ ἔχεις λέγειν, τί τηνάλλως παρενοχλεῖς;

Ἐγὼ δὲ καὶ ἐξ αὐτῆς τῆς τοῦ νομοθέτου βουλήσεως[3] δείξω ὅτι τυραννοκτόνος ἐγώ, καὶ ὅτι προςῆκον τὸ γέρας ἐμοί.

Ἀνάγνωθί μοι τὸν νόμον, ὁ γραμματεύς.

Ἐπίσχες.

Ἀκούεις, ὁ ἀντιλέγων, ὅτι τυραννίδα φησὶν ὁ πράξας κατέλυσεν; φόνου τοιγαροῦν χάριν τὸ γέρας δίδωσιν, ἢ καταλύσεως τυραννίδος; Πάντως τῆς τόλμης ἕνεκα, ἀλλ' οὐ τῆς σφαγῆς τὸ γέρας ἐστίν. Ὅτι δὲ τὸ πᾶν τῆς τόλμης ἐστὶ καὶ τῆς προαιρέσεως, λόγισαί μοι, ἔνθεν μὲν τολμήσαντά τινα καὶ μὴ κατορθώσαντα, ἐκεῖθεν δ' αὖθις μὴ προαιρεθέντα καὶ φονεύσαντα (ὥςπερ, φέρε, εἴ τις ἔβαλε διερχόμενον, μὴ θέλων, τὸν τύραννον καὶ πεφόνευκε)· τίνα τοῖν δυοῖν τιμήσεις καὶ τίνι δώσεις τὸ γέρας; οὐ τῷ τολμήσαντι μᾶλλον, κἂν μὴ κατώρθωσεν; εἰ δὲ βούλει[4], παράλληλα θές, θέλοντά τινα καὶ μὴ δυνάμενον, καὶ δυνάμενον καὶ μὴ θέλοντα, εἰ δέ τί

[1] Schol.: συλλογισμός.
[2] Fortasse ἀνῄρητο.
[3] Cod. θελήσεως, superscripto βου et θε punctis notato. Schol.: γνώμη τοῦ νομοθέτου.
[4] Dixit παράλληλα θοῦ p. 17, 4.

γε καὶ ποιήσαντα, ἀλλ' ἔξω γνώμης ποιήσαντα· τιν' ἐπαινέσεις μᾶλλον καὶ τίν' ἀγαπήσεις πλέον; οὐ τὸν θέλοντα, κἂν μὴ δύνηται;

Τοῦτον ἔχων τὸν σκοπόν, κἂν[1] τοῖς παροῦσιν ὁ νομοθέτης τὴν προαίρεσιν ἀποδέχεται, καὶ τῇ τόλμῃ τὸ γέρας δίδωσιν. Ἐφ' οἷς ἐμὲ καὶ μᾶλλον εὑρήσεις τὸ πλέον ἔχοντα, ἄνδρα[2] σύντροφον ἡσυχίας, καὶ βίβλοις προστετηκότα καὶ μηδὲν πλέον εἰδότα τοῦ ἀναγνῶναι, καὶ μελετᾷν, ἔστι δ' οὗ καὶ παισὶ προςλαλεῖν καὶ τὰ δυνατὰ μετ' ἐκείνων φιλοσοφεῖν, ἄνδρα ἀπραγμοσύνῃ συγγεγηρακότα καὶ μονῇ[3], κινδύνοις ἐπιῤῥίψαντα ἑαυτὸν τοῖς μεγίστοις, καὶ παριδόντα μὲν ἀσθένειαν σώματος, παριδόντα δὲ ψυχῆς ἡσυχίαν καὶ γῆρας καὶ οἰκουρίαν, καὶ μόνου γεγονότα τοῦ ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι καὶ τυραννίδος ταύτην ἐλευθεροῦν. Μεταστήσατε τὸν νοῦν πρὸς τὰ τότε, παρακαλῶ. Ἀναλογίσασθέ με, πῶς ἐπεχείρουν τῷ πράγματι. Θέσθε, ὥςπερ ἐπὶ σκηνῆς, ἐπὶ λογισμῶν τὰ τότε τελούμενα. Ἀνατυπώσασθε ταῖς φαντασίαις ἔνθεν μὲν καθήμενον τύραννον σοβαρόν, ἐπηρμένον, ἄγριον, ἐκεῖθεν δ' ἱστάμενον γέροντα ἀσθενῆ, περιδεῆ, ταπεινόν. Ποῖος, τῶν οἷος οὗτος ὁ σοβῶν ἐνταῦθα καὶ ἀντιλέγων, ὑπέστη τὸ ὅραμα; τίς οὐκ ἔφριξε βλέπων; τίς οὐκ ἀπεῖπε πρὸς τὰς ἀπειλάς; ποῖος ἐπήρκεσεν ἀντιλέγων πρὸς τοσαύτας γλώσσας κινουμένας μετ' αὐθαδείας, προςέτι δὲ καὶ τοῦ δύνασθαι; Ἀλλ' ὅμως, θεῶν διδόντων ἰσχύν, (καί τι γὰρ ἂν εἴποιμι;) περιγίνομαι πάντων ἐκείνων μόλις, καὶ καθαιρῶ τὴν ὀφρύν, καὶ ὁ φοβερὸς ἐκεῖνος καὶ μηδὲ τὴν ἀρχὴν προςιτός, ὡς ἀσπὶς ἡμεροῦται τοῖς τῆς φιλοσοφίας κηλήμασι καὶ ταῖς ἐπῳδαῖς ταῖς ἐμαῖς[4], καὶ ὁ, μηδ' ἄν, εἴ τι συμβαίη, ὡς ἐνομίζετο, πεισθησόμενος, πειθήνιος παραυτίκα γίνεται, καὶ ὅπλα ῥιπτεῖ κατὰ γῆς, ταυτὸν δ' εἰπεῖν καὶ πᾶν τυραννικὸν φρόνημα, καί, ὥςπερ ἂν ἀστραπόβλητος ἐγεγόνει, οὕτως ἀπέδρα, καὶ ᾤχετο αὐτοῖς δορυφόροις καὶ συνεργοῖς. Καί, καθώςπερ νέφους παρελθόντος ὃ τέως τὸν ἥλιον συνεκά-

[1] Cod. κᾷν.

[2] Schol.: πηλικότης.

[3] Cod. μόνῃ. Correxi μονῇ. Mox junget γῆρας καὶ οἰκουρίαν. Est μονή, est οἰκουρία deses et placida pacifici senis parietes inter domesticos commoratio.

[4] Nazianzenus, qui e Psalmo 57, 5, profecit, Orat. 1, p. 10 : τὰς ἀκοὰς ἀποφράξαντες, ἀσπίδος κωφῆς καὶ τὰ ὦτα βυούσης τρόπον, μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων φιλονεικοῦμεν, μηδὲ φαρμακευθῆναι σοφίας φαρμάκοις.

λυπτεν, ὁ φωςφόρος εὐθὺς ἐμφανής, καὶ πάντα πλέα φωτός, τὸν αὐτὸν τρόπον καί, ἅμα τῷ παρελθεῖν ἐκεῖνον, ἀνὰ τὴν πόλιν πᾶσαν αἰθρία ἐπέλαμψε. Καὶ οὔπω φθάσας καλῶς ἐκεῖνος ἀπέδρα, καὶ φήμη θεόθεν εὐάγγελος περιεκτύπει τὰς τῶν πολιτῶν ἀκοάς, καὶ ἄλλος ἄλλῳ συνέχαιρε διηγούμενος, καὶ πάντες· « Ὁ φιλόσοφος » ἔλεγον « ὁ δημότης, ὁ γέρων, ὃν ἡμεῖς οἴδαμεν, τούτου κατόρθωμα τὸ παρρόν, τούτου πρᾶξις ἀρίστη· τοῦτον στεφανοῦν δεῖ, τοῦτον σιτίζειν, τοῦτον κηρύττειν ἐπὶ τοῦ βήματος. »

Καὶ ταῦτα μὲν ἡ πόλις μαθοῦσα τὸ γεγονός· οὐ μὴν δὲ καὶ οἱ ἐπ' ἀγρῶν οἰκοῦντες τῷ τέως [1] τῶν συμβάντων γεγόνασιν ἀπευθεῖς. Ἀλλ' ἅμα κἀκεῖνοι συντρέχουσι, καὶ γίνεται πάλιν δευτέρας πολιτείας ἀρχή, καὶ νέα τάξις δημοτικῆς καταστάσεως. Ἀνοίγονται ναοὶ καὶ θεῶν ἀνάκτορα καλλωπίζονται, καθαίρονται ξόανα [2], καὶ πάντες μεθ' ἡδονῆς τὰ χαριστήρια θύουσι. Καὶ οὐδεὶς ὅςτις οὐ τυράννου φόνον τὴν ἐκείνου φυγὴν ὀνομάζει καὶ τυραννοκτόνον ἐμέ· παρ' ἣν αἰτίαν καὶ γέρως ἐπαξίου τεθέληκεν [3] ἀξιοῦν.

Μόνος δ' οὗτος αἵματα καὶ φόνους θρυλλεῖ, καὶ ὅτι μὲν ἐλευθέρα ἡ πόλις καὶ ἄκων ὁμολογεῖ· ὅτι δ' οὐ τὸν τρόπον ὃν ἀξιοῖ ἡ ἐλευθερία τῇ πόλει ἐγένετο, τὸ πᾶν ἐκφαυλίζει τῆς πράξεως, μὴ συνετῶς [4] ἐννοῶν ὅτι μεῖζον τὸ δίχα σφαγῶν καὶ θορύβων, ἢ τὸ μεθ' αἱμάτων καὶ κινδύνων, ἀπωθεῖν τυραννίδα καὶ πόλιν ἐλευθεροῦν. Ἐκείνως μὲν γὰρ οὐ καθαρῶς τὸ νικᾷν ἔχει καὶ μόνον, ἀλλ' ἔστιν οὗ καὶ ὁ διακινδυνεύων ἡττήσεται, καὶ κοινῶς μὲν ἴσως θυμηδία ἔσται καὶ τερπωλή, τισὶ δ' ἰδίως καὶ λύπη τῶν οἰκείων ἀποβαλοῦσί τινας, καὶ τοῦτο δὴ κλαυσίγελως [5] τοῖς πολίταις σταθήσεται, καὶ χαρήσεται μὲν ὁ πολίτης διὰ τὴν ἐλευθερίαν τῆς πόλεως, διὰ δὲ τὸ υἱὸν ἢ κασίγνητον ἢ ἄλλον τινὰ τῶν οἰκείων ἀποβαλεῖν, νοθευθήσεται ἡ χαρά· οὕτως δὲ ἀθόρυβον τὸ καλόν, τὸ ἀγαθὸν ἀκολόβωτον, καὶ ἡ χαρὰ πᾶσα κοινή. Ὥςπερ τῆς ἐλευθερίας, οὕτω δὴ καὶ ταύτης καταπολαύουσι.

[1] Cod. τωτέως. De hac formula ad Choricium, p. 342. Sic inferius τῷ τότε.

[2] Cod. καθαίροντα ξόανα.

[3] Non recordatur Pachymeres personam se gerere oratoris Attici. Et redibit τεθέληκε Declam. III

[4] Schol.: πρός τι.

[5] Κλαυσίγελως nomen est Xenophonteum, de quo Morus ad Hellen.

Σὺ δ' ἐβούλου ἐξ ἡμισείας ἐπισυμβῆναι τῇ πόλει τὴν ἀγαλλίασιν, καὶ ἔχειν μέρος χαρᾶς τοὺς τοῖς ἡμετέροις φθονοῦντας, καὶ λέγειν τοὺς ἀστυγείτονας, ὡς « Ἀπηλλάγη τῆς τυραννίδος ἡ πόλις, ἀλλὰ κακῶς ἀπήλλαξεν. Καὶ μεμνήσονται μὲν τῶν κακῶν, μεμνήσονται δὲ καὶ τῶν μετὰ ταῦτα καλῶν· ἀλλ' ὅμως ἀμιγῆ μὲν τὰ κακά, τὰ δ' ἀγαθὰ τοῖς κακοῖς συμμιγῆ. Τί συνήνεγκε τούτοις ἡ τῆς τυραννίδος κατάλυσις; ἠγάπησαν ἄν, εἰ ἐτυραννοῦντο· ἠθέλησαν, εἰ ζῶντες ὄντες ἐνείχοντο τῇ δουλείᾳ ».

Πῶς ἐδέχεσθε τούτων ἀκούοντες; πῶς ἐνεφανίζεσθε τοῖς ἀπαγέλλουσι τὰ ἐκείνων;

Ἐγὼ μὲν οὖν τυραννίδος βαρύτερα ταῦτα κρίνω, δορυφόρων κακίας ἀναισχυντότερα, ὑπασπιστῶν πονηρῶν αὐθαδέστερα. Τὸ γὰρ τυραννεῖσθαι τύχῃ συμβαίη ἄν, καὶ οὐχ ἁμαρτίᾳ πόλεως· τὸ δὲ πρὸς ταύτην συστάντας, ὅμως τινὰς στερηθῆναι τῶν γενναίων ἀνδρῶν, καὶ ζημία καὶ ἁμαρτία τῆς πόλεως.

Χωρὶς δὲ τούτων, εἰ μέν, ἄλλου παρατάττεσθαι μέλλοντος πρὸς τὸν τύραννον, εἶτ' ἐγὼ προλαβὼν ἐκποδὼν τοῖς λόγοις ἐκεῖνον ἐποίουν, τυχὸν ἂν ἴσως[1], ἐπαινούμενος τὴν προαίρεσιν, χώραν ἐδίδουν κἀτ' ἐμαυτοῦ τοῖς θέλουσι μέμφεσθαι. Εἰ δ' ἐγὼ μὲν ἄλλως οὐκ εἶχον ποιεῖν, οὕτω τοῦ τρόπου διδόντος, ἄλλος δέ τις οὐδεὶς προῃρεῖτο διακινδυνεύειν τῶν ἐκ τῆς πόλεως, τί λοιπὸν ἦν ἢ τὸ ἡσυχάζειν μὲν ἐμὲ καὶ οἴκοι καθῆσθαι, κἂν εἴ τι καὶ συνέβαινε[2] μὴ φροντίζειν, ἀμελεῖν δὲ τοὺς ἄλλους, ἢ καὶ φοβεῖσθαι (τοῦτο γὰρ εἰπεῖν εὐσχημότερον), τὴν δὲ πόλιν τυραννεῖσθαι, μηδενὸς ἐκποδὼν ἱσταμένου τυραννικαῖς ἐπιθυμίαις καὶ ἀγριότησι;

Τί δέ; εἰ, καὶ[3] πρὶν ἐπεβαλόμην τῷ ἔργῳ, εὑρὼν ὑμᾶς που συγκαθημένους καὶ τὸ δεινὸν ὀλοφυρομένους τῆς πόλεως — οὐδὲ γὰρ ἦν εἰπεῖν ἐν δικαστηρίῳ ἢ ἐν βουλευτηρίῳ συνηθροισμένους — εἰ γοῦν ὑμῖν ἐνέτυχον καθημένοις ἅμα, καὶ κλαίουσι τὰς τῆς πόλεως συμφορὰς ἐπιστὰς εἶπον· « Ὦ ἄνδρες πολῖται καὶ συνδημόται, ἅπτεται κἀμοῦ τὸ δεινόν· οὐ φέρω μετὰ τῶν λοιπῶν τυραννούμενος. Ἐπέρχεταί μοι οὐκ ἀγεννὴς λογισμός, καί, εἰ πολε-

[1] De formula τυχὸν ἴσως ad Choricium, p. 344.

[2] Decl. IV: κἂν εἴ τι καὶ γέγονεν.

[3] Schol.: πλαστόν.

μεῖν οὐ δίδωσι χώραν τὸ ἐπιτήδευμα, ἀλλ' ἡ προαίρεσις προφάσεις ὑπὲρ τῆς πατρίδος παρέχει. Ὁρμῶ πρὸς τὸν τύραννον ἀπελθεῖν, γυμνὸς φανῆναι σκευῆς, καὶ οἷς ἔχω πρὸς ἐκεῖνον ἐπὶ συμφέροντι χρήσασθαι. Εἰ γοῦν ζητεῖτε ἀνῃρημένον ἐκεῖνον ἰδεῖν, οὐ δεξιᾶς τῆς ἐμῆς τὸ ἔργον. Γλώσσῃ μόνῃ τεθάρρηκα, καί, οἶμαι, διὰ ταύτης ἀνταγωνίσομαι· κἂν μὴ φονεύσω, ἀλλὰ πείσω φυγεῖν. Εἰ γοῦν, οὕτως ἐμοῦ πράξαντος, τῆς τυραννίδος ἐλευθερωθήσεσθε, μεμνήσεσθέ μου ἐπὶ τῆς δωρεᾶς, ὅτ' ἐπὶ τοῦ δικαστηρίου καθίσετε »; εἰ γοῦν οὕτως ἔλεγον, καὶ ἀπῄτουν τὰς ὑμετέρας ἀσφαλείας ἦ μὴν τυραννοκτόνον[1] ἡγεῖσθαι καὶ γέρας παρέχειν, τί ἂν ἐλέγετε τότε; ἆρα καὶ σκέψει τινὶ πρὸς τὸν λόγον ἐνέδοτε; καὶ οὐκ εὐθὺς ἐπεψηφίζεσθέ μοι τὰ γέρα καὶ δωρεὰς οὐ μικράς; Ἐγὼ μὲν οὐκ οἶμαι πολλῷ[2], ἀλλὰ καὶ πρὸ τῶν ἔργων με ἐκαλεῖτε ἂν εὐεργέτην, καὶ μονονοὺκ ἐς χεῖρας τὸ γέρας παρείχετε.

Δεινὸν τοιγαροῦν καὶ πέρα δεινῶν[3], εἰ ἐπαγγελλομένῳ μὲν ὃ προὐθέμην ποιήσειν εὐθὺς ἐμέλλετε τὴν ψῆφον τῆς τυραννοκτονίας

[1] Fortasse, ἦ μήν με τυρ.

[2] Sic codex. Fort., οὐκ οἶμαι· πολλῷ δέω. Vel, οὐκ οἶμαι· πολλῷ μᾶλλον, ἀλλά.

[3] Sic et Declamatione IX: δεινὸν γὰρ ἂν εἴη καὶ πέρα δεινῶν. Et Progymnastis inter Rhetores Walzii, t. I, p. 587, 32: πῶς οὖν οὐκ ἄλογον πάντη καὶ πέρα δεινῶν; Theodorus Prodr. Rhod. 6, p. 274: Ὡς δεινὰ μὲν τὰ πάντα καὶ δεινῶν πέρα. Idem, 7, p. 317: Καλὸν νομίζων καὶ καλοῦ παντὸς πέρα. Chio Epist. 16, 7: ἱκανή, μᾶλλον δὲ πέρα τοῦ ἱκανοῦ ἀπολογία: quæ sententia cum simili comparanda Epist. 3, 16: ταῦτα μὲν οὖν οὐ τοῦ ἱκανοῦ μόνον, ἀλλὰ καὶ τοῦ πάνυ πέρα. Mediceus et Mazarineus codex, τοῦ πάνυ πολλοῦ πέρα, et in Regio πολλοῦ, sed ex additione. Coberus πολλοῦ repudiat, et ex Epistola 16 intelligendum putat ἱκανοῦ. Sed debuit ἱκανοῦ non mente intelligi, sed omnino repeti. Malim recipere πολλοῦ tribus datum codicibus. Aristides Orat. 49, t. 2, p. 492. Chumnus in Anecd. Novis meis, pag. 16: ἀδικήματα τὰ ἔσχατα καὶ δεινά τινα καὶ πέρα δεινῶν. Ibi in nota exempla nonnulla illius formulæ proferens, proferre in mente habui et Aristophaneum Thesm. 705: Ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαιτέρω; Sed, currente calamo et vicinis locis oculos decipientibus, finem versus corrupi scribens: πράγματα καὶ δεινῶν πέρα. Angli pariter loquuntur: « it is strange, he went on repeating, *passing* strange. » Superest quod moneam de loco Theodori Prodr. Rhod. 7, p. 305: ἡ δὲ ξανθότης Τεράστιον τὸ κάλλος! ἡ δὲ λευκότης λόγον τὸ θάμβος. Ex nota Gaulmini suspicor λόγον esse mendum typorum pro λόγου, qui supplet defectum legendo πέρας λόγου. Sed πέρα non πέρας legendum fuit. Cum πέρα primus pes brevior est, quod mendum in codice repertum relinqui potuit, non debet auctori obtrudi. Propono μεῖζον λόγου, vel ὑπὲρ λόγου.

ἐπενεγκεῖν, καταπραξαμένῳ δὲ μὴ προςέχειν, ἀλλ' ἑνὶ καὶ δευτέρῳ ἐναντιουμένῳ προςκεῖσθαι θέλειν, καὶ τὴν ἐμὴν ὡς οὐδὲν ἡγεῖσθαι προαίρεσιν, καὶ ὅτι μὲν προῃρούμην ποιεῖν ἐπαινεῖν, ὅτι δ' εἰς τέλος τὸ βουλητόν μοι κατώρθωσα μὴ φροντίζειν. Ἄτοπον δὲ καὶ ἀποῦσαν μὲν ἐπιζητεῖν τὴν ἐλευθερίαν, κἂν ὅπως συμβαίη καταμελεῖν, παροῦσαν δὲ μὴ λογίζεσθαι, κἂν ἀπέδρα καὶ μὴ ἀνῄρηται[1] διαιρεῖν, καὶ οὕτως μὲν ἀγαπᾷν ἐλευθέρους ἀκούειν, οὕτως δὲ μή· καὶ εἰ μὲν[2] περί τινος ἄλλου, πλὴν κοινοῦ καὶ τῆς πόλεως ἠγωνιζόμην, ἀποδέχεσθαι, κἂν ναῦν μίαν σώζειν, κἂν ἐπισκευάζειν νεώριον, κἂν τεῖχος ἀνιστᾷν, κἂν ἄλλο τι ποιεῖν ἡ σπουδή[3]· ἐπειδὴ δὲ αὐτὸ τὸ τῶν ὅλων ἀνεκαλεσάμην κεφάλαιον, καὶ ἤδη τῶν ἐπικειμένων τῆς τυραννίδος κακῶν ἀπηλλάγητε, καὶ βουλαὶ καὶ κρίσεις ἐφ' ὁτῳοῦν εἰσὶ παρ' ὑμῖν, καὶ ἕκαστος κύριος τῶν ἰδίων, αὐτὸς ἐπιτάττων, οὐ τύραννος, αὐτὸς ἄρχων, οὐ δορυφόρος· ἐπειδὴ ταῦτα κατώρθωται σὺν θεοῖς, παρ' οὐδὲν κεῖσθαι τὴν χάριν, καὶ μηδὲν ἡγεῖσθαι τὸ γεγονός.

Ἐγὼ μὲν οὖν, εἰ δεῖ καὶ φιλοσόφων ἅπτεσθαι λόγων, παντὶ διακελεύομαι, καὶ νέῳ καὶ γέροντι, καὶ πλουσίῳ καὶ πένητι, ἀστικῷ[4] τε αὖ καὶ ἀγροίκῳ, καὶ παντὶ τῷ τῆς πολιτείας πληρώματι[5], πρῶτον μὲν χάριν ἔχειν θεοῖς τοῖς σεσωκόσι τὴν πόλιν, καὶ θυσίαις αὐτοὺς δεξιοῦσθαι, παντοίαις καὶ ἀναθήμασιν εὐσεβοῦντας, καὶ μὴ κακίας ἐς τοσοῦτον ἐλθεῖν, ὥςτε μηδ' εἰδέναι πόσον εὐηργετήθημεν· ἔπειτα δὲ δευτέρως καὶ τοῖς ὑπηρετησαμένοις τῷ ἐκείνων βουλήματι τὴν γιγνομένην[6] ἀπονέμειν τιμήν, καὶ μὴ ὥς τινας μικρολόγους νομίζειν τούτους καὶ κέρδους ἥττονας γέρας ζητοῦντας καὶ ἀμοιβάς, ἀλλ', εἰδότας ὡς ἔστι μὲν καιρὸς ὅτε καὶ κέρδος οὐκ ἐπαινεῖται, ἂν ἐξ ἁπάντων κερδαίνειν τις θέλοι καὶ τῆς τυχούσης πράξεως ἕνεκα, ἔστι δ' ἐν ἄλλοις καὶ λίαν ἐπαινετὸς ὁ τῶν πραχθέντων μισθός, ὅτε τὴν τοῦ πράξαντος εὔνοιαν συνιστᾷ ἂν

[1] Excidisse puto verba ὁ τύραννος.

[2] Schol.: ἐργασία ἐκ τοῦ ἐλάττονος.

[3] Fortasse, ἡ σπουδὴ ᾖ.

[4] Sic codex, ἀστικῷ, non ἀστυκῷ. In vocalis scribendæ electione variatur. Vide n. ad Theocr. Id. 20 editionis meæ alterius.

[5] De πληρώματι ad Phil. Her. p. 556.

[6] De sensu participii γιγνόμενος vide p. 16, n. 2.

ὑπὲρ τῶν κοινῶν σπουδάσῃ τις, καὶ γέρας ἔχει τὸ διδόμενον ὄνομα, ἑτοίμους πρὸς τὸ διδόναι γίνεσθαι.

Μὴ γοῦν, ὅτι γέρας ζητῶ καὶ οὐκ ἀμισθὶ προαιροῦμαι τὴν πόλιν εὐεργετεῖν, κατάγνωτε. Ἀλλ' ὅτι τὸ ἐμὸν μέγα, καὶ βούλομαι μὲν νῦν, βούλομαι δὲ καὶ μετέπειτα τὴν χάριν κηρύττεσθαι καὶ παλαιαῖς ἀνάγραπτον κεῖσθαι κύρβεσι. Διὰ τοῦτο, κἂν ὅ τις καὶ οἷον εἴπῃ[1], τὸ γέρας ποθῶ. Τί γὰρ ἂν καὶ δοίη τις ἄξιον ἀνθρώπου ζωῆς, ἧς ἅπαξ ἠφείδηκα; κἂν ὅ τι καὶ οἷον δώῃ, δίχα τοῦ γέρας εἶναι, ἀνδράσι τιμὴν περὶ πλείστου ποιεῖν[2] εἰωθόσιν, οὔμενουν οὐκ[3] εὐκαταφρόνητον;

Εἰ γάρ, ἔτι τῶν τῆς τυραννίδος κακῶν μονονοὺκ ἐν ὀφθαλμοῖς ὄντων, πολλῶν ἀπιστούντων ἔτι πρὸς τὸ ξένον τοῦ πράγματος, μὴ δυναμένων ἁλμυρὰν ἀκοὴν τῶν δεινῶν ὡςπερεὶ ποτίμοις νάμασι τοῖς ἀπ' ἐμοῦ καὶ τῆς ἐμῆς τόλμης ὁλοσχερῶς ἀποκλύσασθαι[4], ὁ πάντα κακὸς οὗτος καὶ φθονερὸς ἀντιλέγειν τολμᾷ καὶ τὴν ἀνδραγαθίαν ἐξουθενεῖν, ὁ μετ' αὐτὸν ἴσως ἢ καὶ μετ' ἐκεῖνον ἐλθών, ὅςτις ἂν γένοιτο τότε, περὶ τῶν παρόντων ἀκούων ὅτι τε τυραννὶς ἐτολμήθη τῇ πόλει ποτέ, καὶ ὅτι ὁρμαῖς φιλοσόφου ἀνῄρηται τέλεον, ἆρα φροντιεῖ καὶ καλέσει τὸν εἰργασμένον μακάριον; οὐκ ἔστιν εἰπεῖν οὐδαμῶς. Εἰ δὲ καί τις εὐγνώμων εἴη καὶ ἐπαινοίη τὸν δε-

[1] Fortasse, κἂν ὅ τι τις κ. ο. εἴπῃ. Sic statim loquetur. Cod. εἴποι, quod hic mutavi ob sequens tempus δώῃ.

[2] Ποιεῖν περὶ πλείστου usui adversatur, qui forma media gaudet ποιεῖσθαι. Locus est Lysiæ memorabilis De cæde Erat. 26 : νόμος ὃν σὺ παραβαίνων περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποίησας. Bremius, conjecturalem lectionem Bekkeri ἐποίησω recepit, cui præibat Corayus. Mirum est in hoc mendo conspirare Lysiæ codices, qui noti sunt, omnes. Epistolæ Socraticæ 31 finis pariter laborat : περὶ πλείστου δὲ δεῖ σε ποιῆσαι σώφρονά τε εἶναι.... Codex 3054 recte, ποιεῖσθαι.

[3] Sic inferius οὔμενουν οὐκ.

[4] A Platone Phædro, § 45, sumsit ἁλμυρὰν ἀκοὴν ποτίμοις νάμασιν ἀποκλύσασθαι. Inde profecit et Zacharias Mitylenæus, p. 112 : ἆρά σε.... πείθομεν ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι. Ibi mea nota. Et Libanius, t. I, p. 528 : ἁλμυρὰν ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λόγῳ. Gregorius Naz. Epist. 43, ἱερὰς βίβλους vocat ποτίμους. Symeon Metaphr. V. Joannis Ev. p. 20 : τὸ τῆς ἀπάτης ἁλμυρὸν ἀποπτύσας, τοῦ ποτίμου τούτου καὶ γλυκυτάτου νάματος ἐμφορήθητι. Quem Symeonem laudans Oratione Panegyrica Psellus, p. 231 : τῷ δέ γε σαφεῖ καὶ ποτίμῳ τὰς ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο. Procopius De Justiniano Anecd. p. 57, 14 : τῶν δὲ δὴ ἀγαθῶν καὶ αὐτήν που τὴν ἀκοὴν ἁλμυρὰν οἰόμενος. Adde Iahnii Symbolas, p. 70 sq.; Kayser. ad Philostr. V. S. p. 189.

δρακότα, μάθοι δ' ὑμᾶς ἀμελήσαντας τοῦ πραχθέντος[1], καὶ τοῦ γέρως ἀποστερήσαντας, τὴν γνώμην ὑμῶν ἐπαινέσεται; Καὶ τίς ἂν πιστεύσειεν; Ἐρεῖ γὰρ ἴσως[2] — Ἀλλὰ ψευσθείην ἐγώ, καὶ μὴ τοσοῦτον ἀδοξήσοιτε πώποτε! — ὡς « Τί ἂν καὶ φρονοῦντες ἐκεῖνοι τῆς τιμῆς ἀπεστέρουν τὸν εὐεργέτην; Ἢ γὰρ οἷ κακοῦ ἦσαν οὐδόλως ἐγίνωσκον πρότερον, καὶ τὸ πρᾶγμα εὐχερῶς ἔφερον μὴ συνιέντες ὧν ἔπασχον· ὅθεν, καὶ μεταβληθέν, οὐ μετεβλήθησαν τὴν ψυχὴν ὡς ἀνεθῆναι, καὶ τὸν μεταβάλλοντα[3] τιμῆσαι· ἢ » — Ἀλλ' οὐ δύναμαι ταῦτα λέγειν, ἵνα μὴ λυπήσω τὸ μέλλον προμαντευόμενος. Ἔστω δέ. — « καὶ φθονῶν τις ἀντεῖπε, καὶ δεύτερος ἀπηγόρευκε[4]. Διὰ τοῦτο καὶ πᾶς ὑπήχθη, καὶ ἀδοξίαις ταῖς ἐσαεὶ τὴν πόλιν αὐτῶν περιέβαλον. Τί δὲ τοῖς ἄλλοις εἰς πληροφορίαν ὑπελιμπάνετο; καὶ τίς ἠθέλησεν ἂν κινδυνεύειν καὶ[5] πάλιν ἐπιστάντος καιροῦ; Καλῶς ἄρα ἐτυραννοῦντο, εἰ οὕτω καὶ πρότερον εἶχον περὶ τοὺς εὐεργέτας τῆς πόλεως, καὶ καλῶς ἐκίνησαν τὴν τοῦ δεῖνος ὁρμήν. Ἤδει γὰρ μὴ πεισόμενος ἔκ τινος, ᾔδει μηδένα κινηθησόμενον κατ' αὐτοῦ. Διὰ τί γὰρ ἄρα; φήσει· Νὴ Δία, διὰ τὸ γέρας. Ἀλλ' εἶδον ἄλλους ἐκ φθόνου τῆς τιμῆς ἀστοχήσαντας καὶ ἑαυτοὺς γνόντας ματαίως ὑπὲρ τοῦ κοινοῦ σπεύσαντας. Οὐκ ἐπιλείψουσι καὶ πάλιν συκοφανταὶ καὶ φθονεροί· ἐκεῖνοί μοι συνεργήσουσι τυραννοῦντι. Εἰ δέ τι καὶ πρός τινος πάθοιμι, στήσεταί τις ἐπὶ τοῦ βήματος καὶ τοῦ γέρως ἀποστερήσει, καὶ νεκρὸς ἀμυνοῦμαι διὰ τούτου τὸν ἐμέ τι διαθέντα τῶν ἀνηκέστων ».

Οὕτως ἐκείνοις ἐροῦσιν οὐκ ἄλλος τις αἴτιος τοῦ κακῶς ἔχειν, ἀλλ' αὐτοὶ ἑαυτοῖς· οὕτως αἱ πόλεις πάσχουσι πανταχοῦ,

> Ὅταν τις[6] ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
> μηδὲν φέρηται τῶν κακιόνων πλέον.

[1] Fortasse, τοῦ πράξαντος.
[2] Schol.: ἠθοποιΐα.
[3] Malim μεταβαλόντα.
[4] Duo fuerunt adversarii. Jam ἑνὶ καὶ δευτέρῳ p. 35, 1.
[5] Videtur deesse verbum.
[6] Euripides Hec. 310 : Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ Μηδὲν φέρηται τῶν κακιόνων πλέον.

Ταῦτ' ἐροῦσί ποτε, καὶ τοὺς παρ' ἑαυτοῖς προθύμους πληροφορεῖν, ὡς εἰκός, θέλοντες, πικρῶς αὐξήσουσι τὰ ἐγκλήματα.

Καὶ ἡ μὲν πρόφασις τούτων ἐκ τούτου τοῦ φιλοπόλιδος καὶ χρηστοῦ[1]. Ἐμοὶ δὲ εὐρεῖα μὲν χάνοι τότε χθὼν[2] οὐκ εἴποιμι, ἀναστρεφομένῳ πάντως παρὰ τοὺς πλείονας· ἀλλά γε δὴ λύπη καὶ σύγχυσις προςγίνεται νῦν, εἰ τάδ' ἀκούσεσθέ ποτε χάριν ἐμοῦ καὶ τῆς εἰς ἐμὲ παροινίας τῆς ὑμετέρας. Θέλω στερεῖσθαι καὶ γέρως καὶ τῆς ζωῆς, εἰ μόνον μὴ ταῦτ' ἀκούειν ὑμᾶς παρ' ἐκείνων συμβῇ. Προὐνοήθην τῆς παρούσης εὐδοξίας ὑμῖν, προνοοῦμαι καὶ τῆς μελλούσης. Ἀλλ' ἐγὼ μὲν ταῦτα, καὶ οὕτως ἔχω, νὴ τὴν ὑμετέραν καύχησιν· ὑμεῖς δὲ ἀλλὰ σκοπεῖτε εἰ εἰς καλὸν ἀπαντήσει καὶ δόξαν τὸ ταῦτα ποιεῖν.

Ἐγὼ[3], κἂν ἐμοὶ τιμὴ μὴ γένοιτο[4] ἐξ ὑμῶν, ἕτοιμός εἰμι καὶ πάλιν, ὁσάκις καλέσοι καιρὸς κἀγὼ δύναμαι, συνεργεῖν, καὶ τῆς ζωῆς ἀφειδεῖν, εἰ τύχοι. Οἶδα τοῦτο μαθὼν ἐξ ὑμῶν. Ἕκαστος ὡς δύναται βοηθεῖ, κἂν ἐκείνῳ μέλοι[5] τοῦ γέρως οὐδέν. Ἀλλ' ὑμεῖς πρᾶξιν ἀρίστην οὐ δικαιοῦτε, διὰ τοῦ μηδὲν ἀντιχαρίζεσθαι, ἀφανίζεσθαι. Τίς χρεία στεφάνων τῇ πόλει χρυσῶν; ἀλλ' ὅμως Ῥόδιοι καὶ Βυζάντιοι[6], καὶ πᾶς εὐεργετηθεὶς παρ' ὑμῶν ἑκάστοτε πέμπουσι τούτους· κἂν πρὸς τὰ δῶρα μελλήσωσι[7], δεινὰ

[1] Schol.: εἰρωνικόν. Vide de nomine χρηστός, p. 13, n. 1.

[2] Hom. Il. 4, 182 : τότε μοι χάνοι εὐρεῖα χθών. Poetaster in Crameri Anecd. Paris. 4, 335 : οὐ χανεῖν μοι τὴν χθόνα, Καὶ δὴ βαθεῖαν, εὔξομαι παραυτίκα; Niceph. Gregoras Dialogo quem Iahnius v. d. edidit p. 533 : ἐζήτει βρόχον, ἐζήτει βύθους θαλάσσης· χανεῖν αὐτῷ δι' εὐχῆς ἐποιεῖτο τὴν γῆν. Theodulus Mag. in meis Anecd. Gr. t. II, p. 251 : οὐδ' ηὔξατ' αὐτῷ χανεῖν ὑπὸ δέους τὴν γῆν. Ibi nota. Pannychis Lucianea : τίς γένωμαι; πῶς ἄν με ἡ γῆ καταπίοι!

[3] Schol.: ἐπιλογικὴ ποιότης καὶ γνώμη.

[4] Cod. τιμὴ γένοιτο. Addidi μή.

[5] Sic cod. Fortasse, καὶ ἐκείνῳ μέλει, vel κἂν ἐκείνῳ μέλει.

[6] Exstat in Demosthenis Ctesiphontea Byzantiorum decretum de corona Populo Atheniensi donanda. De Rhodiis ipsis jam non memini locum quem potuit sophista respicere, hic et infra. Testis interim producatur Aristides Orat. 13, p. 237 : οἱ μὲν ἄλλοι πάντες Ἕλληνες, post ingentia de Græcia Atheniensium in Persico bello merita, ἀσμένως ἀναπεπνεύκεσαν.... καὶ τὴν πόλιν ἐστεφάνουν, ἐθαύμαζον, πᾶν ὅ τι εἴποιεν αὐτὴν μικρὸν ἡγοῦντο.

[7] Codex, μελήσωσι. Verba μέλει et μέλλει sic passim confunduntur. Nihilque omnino vulgarius est quam omissa male vel addita male littera. Themistocles Epist. 9, 16 : τὰ μὲν χρήματα μὴ φυλάττοντα ἐμοὶ μηδὲ τοῖς ἐμοῖς παισίν,

ποιεῖτε[1] καὶ ἀποστρέφεσθε. Καλῶς γε, ἄνδρες, καὶ χρή[2]. Διὰ τί; ὅτι οὐχ οὕτως ὑμεῖς ἐνδεεῖς καὶ φιλόχρυσοι, ἀλλὰ δόξαν, ἧς πάντα ὕστερα, τῇ πόλει θέλετε σώζεσθαι. Καὶ νῦν πολλοὶ καὶ ποικίλοι τῇ πόλει στέφανοι κρέμανται. Οὗτος τῶνδε, καὶ τὸ ἐπίγραμμα, « Ῥόδιοι » τυχόν « Ἀθηναίοις ὑπὲρ τῆς κατὰ Περσῶν συμμαχίας »· ἐκεῖνος τῶνδε, καὶ τὸ ἐπίσημον « Οἱ δεῖνες τοῖς δεῖσιν ὑπὲρ τῶν καὶ τῶν »· οὕτως οἱ ἐφεξῆς. Καὶ παλαιοῦται μὲν ἡ χάρις ἐντεῦθεν, νέα δὲ κατ' ἔτος τοῖς ἀναθήμασι γίνεται. Οὐχ ὁρᾶτε καὶ τοὺς Ὀλυμπιᾶσιν ἢ Πυθοῖ, ἢ ἀλλαχοῦ, πῶς ἀντιποιοῦνται κοτίνου καὶ δάφνης καὶ μήλων καὶ σελίνων[3], καὶ τοῦ κηρύττεσθαι; Διὰ τί, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ τί ταῦτα; ὅτι πάντως δόξης μεῖζον οὐδέν.

ἀλλὰ καιρίως ταῦτα καὶ δεξιῶς ὑπὲρ τῶν παίδων καὶ τῆς μητρὸς αὐτῶν ἀπολύοντα. Codex, cujus varietatem ad Bremerianæ marginem excerpsit Hasius (ejus enim manum agnosco), ἀπολλύοντα· additque vir doct., « optime ». Heliodorus, 1, 13: οἱ μὲν λίθοις βαλεῖν, οἱ δὲ τῷ δημίῳ παραδιδόναι καὶ ὠθεῖσθαι εἰς τὸ βάραθρον ἐδοκίμαζον. Melius βάλλειν in codice Veneto 409. Sic male scriptum ἔασσιν pro ἔασι vel ἔασιν in Epigrammate Gregorii Naz. Anth. 8, 10; qua de re monui ad Theophylactum Simoc. p. 235. Obiter aliud mendum ex eodem epigrammate tollam : Ὀκταέτης λαοῖο θεόφρονος ἡνία τείνας, Τοῦτο μόνον τῶν σῶν, ὦ Βασίλει', ὀλίγον. Si Basilius octennis puer populi pii tenuisset habenas, id inter ejus vitæ acta non foret ὀλίγον, sed in miraculo prorsus. Codex vetustus optime exhibet ὀκτάετες, octennio. Formam adverbium ἑπτάετες similem habet.

[1] Locutio δεινὰ ποιεῖν placuit sophistæ. Dicet Declamatione septima : οἱ ἐχθροὶ δεινὰ ἐποίουν. Et sic alibi. Vide n. ad Choricium p. 120. Pachymeres Hist. Andronici, 1, 2 : ἄμφω τὰς αἰτίας πρὸς τὸν πατριαρχοῦντα ἀνάγοντες, δεινὸν κατ' ἐκείνου ὡς δόξαντος τὴν αἰτίαν εἰληφέναι τῆς ἐπ' ἐκείνους ἀγανακτήσεως. Animadvertit doctissimus editor verbum deesse. Propono legendum : δεινὸν κατ' ἐκείνου ἐποίουν, ὡς δόξ.

[2] Eadem clausula in Menexeni loco nobili, § 5 : ὅ τε νόμος προστάττει.... καὶ χρή· ac magna cum vi; judicium enim Dionysii severius, De Dem. c. 24, non moror. Pariter in Theage, § 1 : ἔξεστί τε καὶ χρή.

[3] Cod. σελήνων. Idem mendum σελήνου pro σελίνου notavi ad Zachariam Mityl. p. 422. Passim ob pronuntiationem η ι permutari quis ignorat? Heliodorus, 2, 34 : τῷ Μαλιακῷ κόλπῳ. Cod. Ven., μιλιακῷ. Inde recipiendum videtur Μηλιακῷ. Theodorus Prodr. Tetrast. p. 206 : Τὸν Αἰνέαν ἤγειρεν ἐν Λύδᾳ Πέτρος, Ἐν Ἰόπῃ δὲ τὴν Ταβιθὰ δορκάδα· Τὸν μὲν τὸ σῶμα παντελῶς παρειμένον, Τὴν δ' εἰσιεῖσαν τοῦ θανάτου τὰς πύλας· Codex 2831, Ταβηθά, quod scriptum est casu fortasse, vel propter metrum; sed in nomine barbaro syllaba non curanda nimium fuit. Vertit Suvignius, « Tabitham, quæ Dorcas dicta, » non accurate satis. In Actis 9, 36 : Ταβιθά, ἣ διερμηνευομένη λέγεται δορκάς. Non ἐλέγετο δορκάς. Est δορκάς græca vocabuli barbari conversio, non alterum mulieris nomen. Sunt et aliæ editoris culpæ qui scripserit εἰσιεῖσαν, pro εἰσιᾶ-

Ταύτην κἀγὼ ζητῶ σήμερον παρ' ὑμῶν, ταύτης ἐξέχομαι· κἂν ἐγὼ λάβω, οὐκ ἐμοὶ τὸ κέρδος, ἀλλὰ τῇ πόλει πάλιν ἐσεῖται[1], καὶ πολλοὺς τοὺς τοῦ καλοῦ ζηλωτὰς ἕξετε. Λυπήσει στρατιώτην φιλοσόφου γέρας, καὶ νέον τιμὴ γέροντος, καὶ ἰδιώτου ἀποδοχὴ τὸν πολιτευόμενον. Πάντες ἀναθαῤῥήσουσι παραυτίκα, πάντες ἀντιφιλοτιμήσονται· ἕκαστος θήξει τὸ ξίφος, ἄλλος τὴν γλῶτταν, ἄλλος ἄλλο τι προευτρεπίσει τῆς χρείας. Καὶ εὔχομαι μὲν τοῖς πολιούχοις θεοῖς μηδέ ποτε τοιαύτην πεῖραν ὑμᾶς λαβεῖν δυςχερῶν· εἰ δὲ[2] καὶ πάλιν, οἷα δὴ τὰ ἀνθρώπινα, πταῖσμά τι γένηται καὶ καλέσοι καιρός, ἴδοι τις ἂν τότε καὶ πρεσβύτην ὑπερνικῶντα ταῖς προθυμίαις, καὶ τὸν ἀπόλεμον ἀνδριζόμενον, καὶ οὐδὲν καθυπερτερήσει δεινόν, σὺν θεῷ λέγω[3], τῆς πόλεως.

σαν, quod corrigere volebat. Codex bene εἰςιοῦσαν. In oraculo non integro Anth. 14, 149, jubetur qui deum consulebat Timocrates includere pelli capræ Ἑρπηστὰν πολύπλαγκτον ἐϋῤῥήνου ἀπὸ κόρσης. Absurdum videtur epithetum ἐϋῤῥήνου. Legerim ἐϋῤῥίνου. Vide scholium ab editore doct. e codice additum, sed non in omnibus bene lectum. Corrigo: τοῦτον τὸν χρησμὸν διεσάφισε (f. διεσάφησε) Θεόγνωστος ὁ Δημοκρίτειος ϛη' ἔτος ἐλαύνων οὕτως· τῶν ἐν τοῖς ποιμνίοις αἰγῶν φυσικῶς ἔγκυος γίνεται ἡ κεφαλὴ κατὰ τὴν τοῦ ἐγκεφάλου βάσιν πολλῶν σκωλήκων· ἐπερχομένῳ οὖν (ed. δέ· sed codex ipse et alius, τοῦν) πταρμῷ τῷ ζῴῳ ἐπάλλονται (sic cod., non ἐπαλλάττονται, quod vidisse putavit v. d., corrigens ἀπαλλάττονται (πολλοὶ ἐκ τῶν ῥωθώνων) sic cod., non ῥωθῶν quod fert editio) τῆς αἰγὸς σκώληκες, κ. τ. λ. Et adverbium φυσικῶς non totis litteris exhibuit editor, sed infelici conanime ipsam compendii, quod est in codice, formam exhibere sibi visus est. Sæpissime nunc peccant editores codicum nexus et compendia, eaque nonnunquam facillima, diligentiore quidem cura repræsentantes, sed quæ plerumque successu caret. In Nicephori Gregoræ Florentio editor accuratissimus compendii formam satis nitide exhibuit pp. 503, 533, 534, quod explicat adscripto γνώμη, quum manifesto sit adscribendum γνωμικόν. Peccarunt et alii pariter. Vide n. ad Nicetam Eugen. p. 68. Gregoras rursus p. 502: Πάλαι μὲν ἡ παροιμία γλαῦκα εἰς Ἀθηνᾶς ἔφασκεν, εἴ τις Ἀθήναζε λόγους τινὰς καὶ σοφίαν καινὴν ἐφιλοτιμεῖτο κομίζειν, καὶ πόῤῥω τοῦ Διός τὲ καὶ κεραυνῶν ὁ τοιοῦτος ἀπεωθεῖτο ὅςτις ποτὲ ἦν. Scripsi κεραυνῶν e codice Parisino. Maluit editor exhibere compendium libri sui, quod lectorem male impedit.

[1] Et hic ab antiqua scribendi norma sophista recedit. Futuri forma ἐσεῖται non semel usus est; usus est et legitima ἔσται. De forma ἐσεῖται superius jam monui p. 17.

[2] Schol.: ἀντίληψις.

[3] Σὺν θεῷ λέγω] exemplis ejus dicendi formulæ, quæ apposui p. 2, n. 3, addo Aristideum, Or. 51, p. 578: καὶ ταῦτα οὐκ ἐνδείᾳ δόξης· σὺν γὰρ θεοῖς εἰπεῖν, τοσαύτη γεγένηται, ὥςτε....

ΜΕΛΕΤΗ Γ'.

Ζωγράφος[1], ναυάγια γράψας καὶ πρὸς τοῖς λιμέσι στήσας, μὴ καταιρόντων ναυτῶν, κρίνεται δημοσίων ἀδικημάτων[2]. Μελετῶμεν τὸν ζωγράφον.

Ἔδει ποτὲ[3] καὶ ζωγράφον δημοσίων[4] ἐγκεκλημένον παρέλθεῖν ἐνθαδί, καὶ συνηγόρους μισθοῦσθαι καὶ ῥήτορας ἐς ἀπολογίαν καινοῦ τινος ἀδικήματος. Ἐγὼ δὲ οὐ τοῦτο δυςχερὲς ἡγοῦμαι, ἵνα καί τίς με κρίνοι[5] δεινοπαθοῦντα, ὅτι πρώτως σχεδὸν ὁρῶ δικαστήριον καὶ δικαστὰς καθημένους καὶ συνηγόρους καὶ κατηγόρους, καὶ τοὺς ἐπὶ τῆς τάξεως[6], οὓς οὐκ ἐξεγένετό μοι βλέπειν συχνάκις· τοῦτο μὲν καὶ διὰ τὸ τοῦ τρόπου γαλήνιον, καὶ τὸ θέλειν φέρειν καὶ ἀδικούμενον ἢ ἔχειν[7] πράγματα· τοῦτο δὲ καὶ διὰ τὸ τῆς τέχνης ἡσύχιον τῆς ἐμῆς, ἣν εἴπερ τις ὀχλήσεσι διδοίη καὶ τυρβασμοῖς, ἀφῃρηκὼς ἔσται ταύτην τὸ ἴδιον. Οὐ τοῦτο γοῦν δυςχεραίνω, εἰδὼς ὡς οὕτως ἂν καὶ μόνως πολίτης εἴη τῇ πόλει γνήσιος καὶ τῷ δήμῳ, εἰ παρ' ὑμῖν πρὸς τὰ συμπίπτοντα δοκιμάζοιτο, ἀλλ' ὅτι φθάνει κἀμὲ κατηγόρου γλῶσσα λαβοῦσα, ἐφ' οἷς οὔτ' ἔπραξα πώποτε καὶ τόσον ἁμαρτὼν εὑρεθείην, ὅσον εἰ ἐν Περσίδι τυραννίδος ἐνεκαλούμην παρά τινων. Πλὴν (τί γὰρ δεῖ[8] καὶ παθεῖν;), ὡς ἂν οἷός τε ὦ, πρὸς τὴν κατηγορίαν ἀπολογήσομαι, ἀξιῶν ὑμῶν, ἄνδρες, μὴ τοῖς λόγοις προσέχειν γυμνοῖς, ἂν μὴ

[1] Schol.: ἡ στάσις, ἀντίληψις.

[2] Quæ vocentur δημόσια ἀδικήματα docet sophista p. 47 et in Declamationibus IV, XII. Converterem verba κρίνεται δημοσίων ἀδικημάτων latine verbis Senecæ Controv. 5, 33 : « reipublicæ læsæ accusatur ». Quintilianus Decl. XII, § 11 : « habetis tamen, si vultis, unum et pro omnibus nocentem; reipublicæ læsæ accuso ».

[3] Schol.: τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ προςώπου. Conf. p. 2, n. 2, et Ernesti Lexicon in Ὑπόληψις.

[4] Ex hoc loco poterit addi ellipsium catalogo nomen ἀδίκηματα. Conf. et p. 46, 47.

[5] Fortasse, ἵνα καί τις μή με κρίνοι.

[6] Significare videtur cohortem apparitorum, qui tribunalibus assistebant, ac speculatorum Scytharum.

[7] Fit ellipsis adverbii comparativi μᾶλλον. Atque sic passim.

[8] Cod. τὶ.... παθεῖν, sic sine interrogatione. Sed sæpissime vel in interrogatione manifesta, librarius τὶς scribit. — Schol.: ἀξίωσις.

δύνωμαι λέγειν μετ' ἐπιστήμης, καὶ τρόπον ὃν οἱ ῥήτορες οἴδασιν, ἀλλά, δεχομένους οἷον ἐκ τῶν λόγων τὰς ἀφορμάς, ἀναπληροῦν μοι τὸ λεῖπον καὶ τοῦ ἐμοῦ δικαίου συλλήπτορας φαίνεσθαι. Οὕτω γὰρ ἂν καὶ θαῤῥήσω, καὶ λέγειν ἰσχύσω, καὶ πρὸς τὸ ἔγκλημα στήσομαι.

Ὁ μὲν[1] οὖν κατήγορος, ὦ δικασταί, βαρὺς κατ' ἐμοῦ· τὸ δ' ἔγκλημα μεῖζον ἢ κατ' ἐμέ· ὁ δὲ[2] παρὼν ἀγὼν οὐκ ἐξ ἴσων[3] αὐτῷ τε κἄμοι. Ἀλλ' αὐτὸς μέν — οὐ δύναμαι[4] δὲ δυςχερὲς[5] εἰπεῖν ἀρχόμενος τοῦ λόγου· πλὴν ἅπαν ἐπαίρει τὸ πλῆθος κατὰ τοῦ μηδὲν ἀδικήσαντος, καὶ γλώσσαις συγκροτεῖται πολλαῖς, ἓν ἐχούσαις ἁπάσαις βούλημα καὶ σκοπόν, τὸ ἑαυτοῖς βοηθεῖν καὶ τῷ δήμῳ, καὶ τὸν ἐμὸν θάνατον τοσοῦτον ἡγεῖσθαι τὸ δίκαιον ἔχειν, ὅσον καὶ λύτρον νομίζειν ψυχῶν ταλαιπωρουμένων ἐκ τοῦ συμβάντος λιμοῦ. Ἐμοὶ δὲ καὶ μόνῳ καὶ ἰδιώτῃ, καὶ τόσον ἐγκεκλημένῳ κακόν, τίς ἂν γένοιτο γλῶσσα πρὸς λόγους αὐτάρκης, εἰ μὴ[6] παρευθὺς καταπέσοιμι καὶ τὴν δίκην ἐφελκυσαίμην κατ' ἐμαυτοῦ; Καὶ γὰρ οὕτω δεινὸς ὁ κατήγορος, ὥςτ' ἀναγκάζειν ἐμὲ μὴ πρὸς αὐτὸν ἀπολογεῖσθαι καὶ μόνον, ἀλλὰ πρὸς ἅπαντα τὸν δῆμον καὶ πᾶσαν τὴν πόλιν, ἣν ἀδικοίην ἂν εἰκότως, ὁμολογῶ, εἴ τί που συνέβη βαρύ, κἂν ἐμοῦ μὴ θέλοντος, καὶ διὰ τὴν τέχνην τὴν ἐμὴν πάσχουσι. Πλὴν ἀλλ', ἐπειδὴ ἔγκλημα καὶ πρᾶγμα, σύνεγγυς ὄντε τοῖς ὀνόμασι, τῇ δυνάμει διΐστανται, καὶ ἔγκλημα μὲν ὅ τις ἂν ἑκὼν ἐπίτηδες πράξῃ[7] κατά τινος γνώμῃ κακῇ, πρᾶγμα δὲ ὅπερ τις ἐπ' εὐμενείᾳ πολλάκις πράξοι, κἂν τοὔμπαλιν γένηται, κἀκεῖνο μὲν μισητόν, τοῦτο δὲ συγγνώμης ἐντός, τὸ μὲν πλῆθος ἀρτίως παραιτοῦμαι τῆς πόλεως μὴ δυςμεναίνειν ἐμοί, κἂν που καὶ συνέβη τῶν ἀβουλήτων[8] καὶ ἀηδῶν· τούτῳ δὲ τῷ

[1] Schol.: δεύτερον προοίμιον ἐξ ὑπολήψεως τοῦ προςώπου.

[2] Malim, ὁ γάρ· ὅ τε.

[3] Cod. ἐξίσων. Codex infra habet, ἐξ ἴσου. Plerumque talia composita disjungam.

[4] Schol.: ἀποσιώπησις. Eadem figura utitur Declamatione XIII.

[5] Fort., δυςχ. οὐδέν, δυςχερές τι.

[6] Fortasse, ἢ μή.

[7] Codex, πράξῃ, superscripto οι. Elegi subjunctivum.

[8] Puto omissum τι : κἂν πού τι καὶ συν.... Talis monosyllabarum vocum acervus Pachymeri non displicuit, placuit et melioribus. Cf. p. 47, 1.

δημοσίων ἀδικημάτων πικρῶς ἐμὲ κρίνοντι, ὡς ἂν οἷός τε ὦ, χαίροντος καὶ τοῦ δικαστηρίου, ἀπολογήσομαι.

Μᾶλλον δὲ[1] ὀλίγον τι δίκαιον προειπεῖν καὶ δεῖξαι τὴν ἡμετέραν ἐπὶ τῇ πόλει καὶ τῷ δήμῳ προαίρεσιν.

Ἐγώ[2], παρόντες, ὁποῖος ἐφάνην ἐπὶ τῶν ἔργων τοῖς γείτοσιν αὐτοὶ μαρτυρούντων, εἰ μοχθηρὸς ἐγὼ καὶ αὐθάδης, εἰ τρόπον ἔχων πλεονεκτικὸν καὶ φιλόχληρον, εἰ πρὸς γραφὰς καὶ κατηγορίας ἕτοιμος, εἰ φιλοκερδής, εἰ δύσνους τινὶ τῶν τῆς πόλεως, εἰ αὐτὸ τοῦτο λέγων ἀδικηθεὶς ὅτι ἠδίκημαι, εἰ φιλοπράγμων ἐγώ, ἤ, τὸ κουφότερον, πολυπράγμων, εἰ ἄλλο τι περιεργαζόμενος τῶν τῆς πόλεως. Καὶ τοῦτο ἔφερε μὲν καὶ ὁ τρόπος οὑμὸς ἁπλοῦς ἐξ ἀρχῆς ὢν καὶ ἀσύμβατος πρὸς περίνοιαν· οὐκ ὀλίγα δὲ πρὸς τοῦτο συνελάμβανε καὶ τὸ ἐπιτήδευμα, ᾧ καὶ ἐγγεγήρακα ἤδη, κἀντεῦθεν ἐποριζόμην τὸ ζῆν.

Καὶ οὐ τοῦτο μὲν ἐφεῖτό μοι γράφειν, ἐκεῖνο δὲ μή, οὐδὲ τοῦτο μὲν εἰκονίζειν, τούτου δ' ἀπέχεσθαι· ἀλλ' ἦν ἅπασα πρᾶξις ἄλλοις ἐνεργουμένη ὑποκειμένη τῇ τέχνῃ τῇ 'μῇ. Ἠρίστευσέ τις ἐπὶ πολέμου; κἀμοὶ γράφειν ἦν καὶ συντάξεις καὶ παρατάξεις καὶ πόλεμον, καὶ ἄνδρας πίπτοντας καὶ νικῶντας ἄλλους, καὶ τέλος τὸν νικητήν. Ἄλλος δημηγορῶν ἐθαυμάζετο; καὶ ὁ ἐκείνου λόγος ἐμὴ πρᾶξις ἐγίνετο, καὶ ἦν ὁρᾶν ἐπὶ χρωμάτων καὶ βουλευτήριον πόλεως καὶ βουλευτὰς καθημένους καὶ ῥήτορας λέγοντας, κἀκεῖνον ἱστάμενον μέσον ἁπάντων[3] καὶ μονονοὺ κἂν ταῖς γραφαῖς ῥητορεύοντα. Ἤθελον συμβουλεύειν τὸ ποιητέον τινί; καὶ καθὼς ἡ τέχνη ἐδίδου, οὕτως ἐποιούμην τὴν συμβουλήν. Ἐδείκνυν ἐπ' εἰκόνος ταπεινοῦ σχῆμα, καὶ τεθηπότας ἄλλους παρίστων ἐκεῖ·

[1] Schol.: προκατάστασις.

[2] Schol.: κατάστασις.

[3] Syntaxis adjectivi μέσος cum genitivo non infrequens est. Antipater Anth. 9, 309 : ἦν ἄρα μέσση Γήρως καὶ θανάτου λειπομένη πρόφασις· verbis quidem bonis, non recta sententia, quod facile patebit epigramma legenti. Agathias Anth. 5, 269 : Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσος ἐκείμην. Babrius F. 71 : Ἄνεμοι δὲ πάντες ὧν ἐγὼ μέση κεῖμαι. Plutarchus Bruto, 1 : ὃν ἀνέστησαν μέσον τῶν βασιλέων. Athen. 13, 58. Aristænetus, 1, 25 : παρακαθέζεται μέση ἐμοῦ τε καὶ Παμφίλου. Ibi nota mea p. 561. Sic et Latini. Vide Crusium ad Ovid. M. 5, 564. Eumenes Paneg. c. 9 : « Apollo medius Camœnarum ».

ἐδείκνυν ἀλαζονείας γνωρίσματα, καὶ τῷ μὲν συνεβούλευον ταπείνωσιν ἀγαπᾷν, τὸν δ' ἀπέτρεπον μὴ ἐπαίρεσθαι. Διεσκαριφούμην[1] ἔριδος τρόπους οὐκ ἀγαθῆς, ὅπως ὀλίγη πρώτη, ἀτὰρ κορύσσεται ἄνω καὶ οὐρανῷ κάρα στηρίζει, ἀλλὰ καὶ ἐπὶ χθονὶ βαίνει, καὶ ὅπερ Ὁμήρῳ περὶ ταύτης ἐπῆλθεν εἰπεῖν[2], τοῦτ' ἐγὼ καθιστόρουν[3]. Καὶ ἁπλῶς οὐκ ἦν, ὅπερ τῶν ἀγαθῶν ἔδοξε, καὶ ἐλέχθη τοῖς παλαιοῖς, μὴ καὶ παρ' ἐμοῦ γράφεσθαι κατὰ τὸ προσῆκον· ἔτυχον γάρ, οὐκ οἶδ' ὅπως, καὶ ἀγαθὰς χεῖρας ἔχων πρὸς τὸ ποσὸν ἐπιτήδευμα. Ἐπεὶ δὲ καὶ θάλασσαν ἔδει καθιστορεῖν, καὶ κύματα γράφειν καὶ κλύδωνας καὶ ναυάγια (καί, εἰ λέγοιμι δι' ὃν τρόπον, ἴσως τέως οὐ πιστευθείην τισί), γράφω καὶ ταῦτα. Καὶ δεινῶς μὲν ἀγριουμένην εἶδέ τις θάλασσαν, καὶ ἄνεμον ἐκεῖσε σφοδρὸν ὃν καὶ γραφεῦσιν ἔθος ποιεῖν, καὶ κύματα καταιγίζοντα, καὶ νηὸς σκεδασμοὺς καὶ ναυάγιον. Καὶ ἰδὼν εὖ ἔχουσαν τὴν εἰκόνα τῶν ἐφ' ἑκάστῳ σχημάτων καὶ ἱκάνην ἑλκύσαι πρὸς θέαν ὄμματα, γίνομαί τινος λογισμοῦ· καὶ σκοπεῖτε εἰ ἀγαθοῦ, καὶ ἀνδρὶ πολίτῃ πόλεως ἡμετέρας πεπαιδευμένης προσήκοντος.

Ἐλογιζόμην γὰρ ὡς ἄλλοις μὲν ἢ πατρόθεν ἢ οἴκοθεν ἄλλα τὰ ἐπιτηδεύματα, καὶ ἔχοι πᾶς ἐνταῦθα καὶ ἑαυτὸν ὠφελεῖν καὶ τὸν πέλας· λοιπὸν ἔστω κἀμοὶ ἡ εἰκὼν ἀγαθῆς παράστασις γνώμης, ἔστω δὲ καὶ χειρός. Στήσω ταύτην ὅπου καλόν· εἰ μὲν ἔνδον τῆς πόλεως, ἐπαινέσονται μὲν οἱ πολῖται τὴν αὐτουργὸν τῆς εἰκόνος χεῖρα, οὐ ξένον μοι δέ τι γενήσεται, εἰ παρ' αὐτῶν ἐπαινοίμην παρ' ὧν πολλάκις εἰδότων[4] ἐδεχόμην τὸν ἔπαινον. Στήσω παρὰ λιμένας, ἔνθα καὶ ξένοι καταίρουσιν. Ἐφέλξεται καὶ τούτους ἡ

[1] Ex hac imperfecti forma patet thema verbi esse non διασκαριφάω, lexicorum, sed διασκαριφέω vel διασκαριφόω, et illam potius, quum citentur aoristi διεσκαριφησάμεθα, διασκαριφήσασθάι, et ex ipso Pachymere De Andron. 6, 3, p. 482 : Πλάτων ἐν Νόμοις τὸ μισθοφορικὸν διεσκαριφήσατο. Ibi scholium, διελύσατο. In utroque Pachymeriano loco significat διασκαριφεῖσθαι perstringere et leviter attingere, describere leviter.

[2] Homerus Il. 4, 442, Eridem Martis sororem describens : Ἥτ' ὀλίγη μὲν πρῶτον κορύσσεται, αὐτὰρ ἔπειτα Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

[3] Vide p. 16, n. 1, de καθιστορεῖν, quod et mox iterabitur. Sequetur et ἱστορία pro tabula picta.

[4] Fortasse ἰδόντων.

ἱστορία· παραστάντες θεάσονται, ἀγάσονται ὡς εἰκός, ἐρωτήσουσι τὸν πατέρα, γνώσονται, καὶ ἐπανιόντες μεγαλυνοῦσιν ἐπὶ τῶν οἰκιῶν τὸ ἔργον. Καί μου μηδεὶς καταγνώτω, παρακαλῶ· οὐ γὰρ μέχρι τούτου τὸ βούλημα τὸ ἐμόν, ἀλλ' ἵνα καί, συχνάκις βλέποντες τὴν εἰκόνα, φυλάττοιντο θάλασσαν, καὶ μὴ παρὰ καιρὸν πλέοντες ναυαγοῖεν. Καὶ οὕτω ἔσται μὲν καὶ τῷ ἐπιτηδεύματι ἔπαινος, ἔσται δὲ καὶ τοῖς ὁρῶσι καὶ ἐπαινοῦσιν ὠφέλεια.

Γέγονε τοῦτο. Κἀκεῖνοι τόσον, ὡς ἔοικεν, ἑάλωσαν τῇ γραφῇ, καὶ τόσον αὐτὴν ᾐσχύνθησαν καὶ ὡς ἀληθευούσῃ προςέσχον, ὥςτε καὶ τὴν ἐκ παιδὸς συνήθη θάλατταν ἀπαρνήσασθαι καὶ πλοῦν ἀπειπεῖν πάντα, καί, πάσαις ἐμπορίαις χαίρειν εἰπόντας, ἀλλαχόθεν ζητεῖν οἷς ἐκεῖνοι[1] τραφήσονται.

Εἰς στενὸν δὲ τῇ πόλει τὰ ἀναγκαῖα, ὁμολογῶ, καὶ λιμὸς εὐθὺς ἐπεποίητο, ὃν οὐκ ἐγὼ θέλων ἐπήνεγκα, οὔτε μὴν ὀρεχθεὶς τὴν ἐπιθυμίαν ἀπέπλησα· ἀλλά τις τύχη βαρεῖα, τῆς πόλεως μὲν οὐκ ἂν εἴποιμι (ἀγαθὴ γὰρ αὕτη), ἐμὴ δὲ καὶ μόνου.

Τοῦτο τὸ συμβὰν ἀπὸ τύχης ἐμῆς (οὐδὲ γὰρ ἂν εἰς βῆμα καὶ δικαστήριον ἀπαντᾷν ἠναγκαζόμην ἀρτίως), τὸ γοῦν συμβὰν τοῦτο εὑρὼν ὁ χρηστὸς οὗτος καὶ τῇ πόλει δημοτικὸς εἰς κατηγορίας αὔταρκες πρόφασιν, καὶ κατηγορίας μὴ προςηκούσης ἐμοί, δημοσίων ἀδικημάτων εἰςάγειν τεθάῤῥηκε[2], καὶ λιμὸν ἄνω καὶ κάτω[3] στρέφει καὶ ἔνδειαν πολιτῶν, καί, ὅτι οἱ πάσχοντες δῆμος, δημόσιον τίθησι καὶ τὸ ἔγκλημα, καὶ ὅτι μὲν[4] δημόσιον τὸ ἀδίκημα λέγει. Τί δ' ἐστὶ τὸ δημόσιον, καὶ οἵπερ ἐνέχονται τούτῳ, τέλεον ἀγνοεῖ. Καὶ ὅτι μὲν εἰκὼν ναυαγίων ἐπὶ λιμένος ἐστάθη,

[1] Improprium est omnino pronomen ἐκεῖνοι, quum αὐτοί exspectaretur. Æsopia Fabula, p. 356, Corayanæ: Γαλῆ ἠράσθη ποτὲ ἀνδρὸς εὐπρεποῦς, καὶ τὴν Ἀθηνᾶν ἐδυςώπει ταύτην μεταμεῖψαι εἰς γυναῖκα, καὶ τὸν ἐρώμενον καὶ ἄκοντα ταύτης ἐπιθυμῆσαι. Est ταύτην pro αὐτήν vel αὑτήν, ταύτης pro αὐτῆς vel αὑτῆς. Alia Fabula p. 365 Cor.: ἔλαφος ἐπὶ ὕδατος τὴν σκιὰν αὐτῆς (cod. αὑτῆς) κατιδοῦσα, τῶν σκελῶν αὐτῆς (cod. αὑτῆς) ὡς ἀσθενῶν κατεμέμφετο, ἐπῄνει δὲ μᾶλλον τὰ ἐν τῷ μετώπῳ ταύτης κέρατα. Et pro ταύτης fuit iterandum αὐτῆς vel αὑτῆς. Fabulæ epimythium deest editis propter Rochefortii indiligentiam, qui id omisit, ac tacuit. Mutilum quidem est, sed reliquias exhibere debuit, saltem lectorem monere.

[2] Schol.: προβολή.

[3] Conf. p. 13, n. 4 de ἄνω καὶ κάτω.

[4] Sic codex. Nonnihil deest.

καὶ ἤργησαν οἱ καταίροντες, καὶ λιμὸς ἐντεῦθεν καὶ ἔνδεια, ἄνω καὶ κάτω σοβεῖ· τίς δ' ὁ νόμος[1] ὁ μὴ ταῦτα ποιεῖν ἀπαγορεύων, καὶ πόθεν ἐμοὶ τὸ κωλῦον[2], οὐκ ἔχει δεικνύειν, κἂν ὅ τι καὶ λέξειεν.

Εἰπὲ τοιγαροῦν, ἄνθρωπε. Χρᾷ καὶ σὺ τέχνῃ τινί, ἵν' ἔχοις ἐκεῖθεν τὰ πρὸς τὸ ζῆν πορίζεσθαι· ναυπηγὸς εἶ σύ; ἀλλ' οἰκοδόμος; ἀλλά τις ἐπ' ἐργαστηρίου καθήμενος; εἰ δὲ δεῖ λέγειν ἐμέ, ἀφέντα τἄλλα, ῥήτωρ εἶ σὺ πάντως. Καὶ τοῦτο δῆλον ἐξ ὧν ἀπεδύσω πρὸς λογικοὺς ἀγῶνας τοὺς κατ' ἐμοῦ.

Τί γοῦν; ἐφεῖταί σοι γράφειν καὶ συμβουλεύειν περὶ ὅσων ἐθέλεις, καὶ ἐπὶ βουλευτηρίου καὶ ὁπουδήποτε;

« Πάντως » ἐρεῖς.

Τοῦτο λόγισαι καὶ ἐπὶ πάσαις ταῖς τέχναις, κἂν βάναυσός τις ᾖ, κἂν μή. Ἐξαίρω μέντοι τὰ κατὰ τῆς πόλεως ἄντικρυς· οὔτε γὰρ σοὶ γράφειν οὕτως, οὔτ' ἐκείνοις ποιεῖν[3], ἀσφαλές. Ἔστω κατὰ τρόπον[4] τὸ κατὰ τέχνην, κἂν ἀπαντήσῃ πταῖσμα, ἀπέστω τὸ κατὰ γνώμην· καὶ λόγος οὐδείς.

Πῶς γοῦν ὃ πᾶσι τεχνίταις ἐφεῖται καὶ οὐ κεκώλυται ἐμοὶ προςσταίη[5], ὡς καὶ δημοσίων ἀδικημάτων καταδικάζεσθαι; τί δή; ἐμοὶ προςήκει[6] ἔγκλημα τοῦτο καὶ τοῖς οἷος ἐγώ; οὐ στρατηγοῖς; οὐ πολεμάρχοις; οὐ βουλευταῖς; οὐ πρέσβεσιν; οὐ πρυτάνεσιν; ἐκεῖνοι γάρ, ὡς ἐγῷμαι καὶ δημοσίων ἐγκληθήσονται, οἱ πάντως δημόσια μεταχειριζόμενοι. Ἰδιώτῃ δὲ πῶς ἂν ἐφαρμόσοι τὸ ἔγκλημα; Ὅρα μή, συγχέων τὰ πάντα καὶ μὴ ἐπὶ τῆς οἰκείας τάξεως ἀφεὶς ἕκαστον, λάθῃς ἐμπαρεὶς ἐγκλήματι, ὃ οὐ προςήκει σοι, μηδ' ὄναρ ἤλπισας δέξασθαι. Ὡς γὰρ οὐκ ἂν ὁ δημόσια πράττων, εἴ πού τι περὶ τὴν ἐμὴν ἁμαρτήσει τέχνην, εὐθύνας δοίη ποτέ, οὕτως οὐδ' ἐγώ, ὡς καὶ ἄλλος τις ἰδιάζων, ἐπὶ δημοσίοις ἁλώσομαι. Σὺ δ' ὅμοιον[7] ποιεῖς, ὥςπερ ἂν ἰατρόν τις ἔκρινε δημοσίων, ὅτι, κερασαμένου τὸ πόμα καὶ δόντος τισὶν εἰς ὠφέλειαν, ἄλλοι, συνόντες

[1] Schol.: μόριον τοῦ δικαίου.
[2] Codex, κωλύον. Conf. p. 13, n. 6.
[3] Codex, ποιεῖς.
[4] Formulam κατὰ τρόπον tractavi ad Anecd. Nova p. 70. Redibit nec semel.
[5] Codex, προσταίη.
[6] Schol.: πρόςωπον.
[7] Schol.: ἐργασία ἀπὸ παραβολῆς.

ἐκείνοις καὶ δυςφοροῦντας ἰδόντες, ἔπαθόν τι τῶν ἀβουλήτων, καὶ ναυτιάσαντες κακοσιτοῦσι[1] τὸν στόμαχον. Ἀλλ', ὦ τάν, οὔτε κακοσιτεῖν ἐκείνους ἔγκλημά τις εἴποι τοῦ ἰατροῦ, ἀλλὰ περιπετείας τινὸς σύμβαμα, κἂν ἐκ τοῦ πόματος ἔσχον τοῦ κακῶς ἔχειν τὰς ἀφορμάς· οὔτε τὸ τοὺς πολίτας λιμώττειν ἐμὸν ἔγκλημα θήσει τις εὐγνωμονῶν, κἂν ἐκ τῆς εἰκόνος οἱ καταίροντες ἐκωλύθησαν.

Ἠδίκησα, φής[2], δημοσίᾳ τὴν πόλιν. Λέγε καὶ τί πράξας, καὶ τί βουλευσάμενος. Τοῖς πολεμίοις προὔδωκα φρούριον; ἀλλὰ ναῦς ἐπιβάταις ἅμα κατέδυσα ἐξεπίτηδες; ἀλλὰ τοῖς ἀντιπάλοις τὰ ἀπόῤῥητα τῆς πόλεως κατεμήνυσα; ἀλλὰ πρεσβεύων προηκάμην δώρων τὴν πατρίδα; ἀλλὰ στρατηγῶν ἥττης ἐξ ἀμελείας τοῖς ἡμετέροις πρόξενος γέγονα; Ταῦτα γνώμης κακίστης τῆς πρὸς τὴν πόλιν σημεῖα, ταῦτα δημοσίων ἀδικημάτων ἐγκλήματα. Τούτων ἑνί τινι δεῖξον ἔνοχον τὸν ζωγράφον ἐμέ. Ἐπὶ τούτῳ προβαλοῦ τὸ δημόσιον. Ἕως δ' ἂν μὴ ἔχοις δεικνύναι δημοσίαν τὴν ἐμὴν μεταχείρισιν, μὴ λέγε, κἄν τι πταῖσμα συνέβη παρ' ἄλλων, οὐκ ἐξ ἐμοῦ, δημόσιον τὸ ἀδίκημα.

Ἐπὶ τίσι[3] γάρ με καὶ κρίνεις; ἐφ' οἷς ἐγὼ πεποίηκα μόνοις, ἢ ἐπὶ τοῖς συμπεσοῦσιν ὕστερον; Εἰ μὲν ἐπὶ τοῖς ὕστερον συμβᾶσι, τί ζητεῖς ἀπολογίαν ἐμὲ ἐφ' οἷς οἱ πλέοντες πεποιήκασιν; Ἐκείνων τὸ ἔργον· ἐκείνων ἔστω καὶ ἡ ἀπολογία. Ἐκείνοις ἐγκάλει καὶ κρίνε, εἴτε δημοσίων ἀδικημάτων, εἴτε καὶ μή. Ἐκεῖνοι ἐροῦσι πῶς οὐ καταίρουσιν, ὅτι καὶ μόνοι συνοίδασιν ἑαυτοῖς πράξαντες. Ἐμοὶ δὲ τί καὶ μέλοι τούτου; οὔτ' ἔπραξα γάρ, οὔτ' ἂν δίκαιος εἴην ἀπολογεῖσθαι πρὸς τὸ πραχθέν. Εἰ δ' ἐφ' οἷς ἐγὼ πεποίηκα καὶ τὴν τῶν ναυαγίων εἰκόνα ἐπὶ τῶν λιμένων ἔστησα, ἐγὼ μὲν ἄνθρωπος εἶναι ὁμολογῶ, θεοῖς δὲ μόνοις τὸ μέλλον οἶδα προςόν. Εἰ γοῦν ἀγνοῶν τὸ μέλλον τοῦτ' ἔπραττον, ὡς εἰκός, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, εἴπερ ᾔδεις τὸ γενησόμενον. Τίς τοίνυν εἶδέ σε τότε κωλύοντα; τίς ἀκήκοέ σου φωνὴν ἐπὶ τούτου τοῦ βήματος, ὡς,

[1] Verbum est rarissimum κακοσιτεῖν, « stomachi vitio laborare ».

[2] Schol.: ὅρος.

[3] Schol.: ὡς παραγραφικὸν τοῦτο εἰςάγεται. Ἴδιον τοῦ τοιούτου ζητήματος, καὶ οὐκ ἔχει ὡρισμένον τόπον.

« Δεινὸν πλημμελεῖται, δεινόν, ὦ παρόντες, παρὰ ζωγράφου καὶ ταῦτα. Γράψας ναυάγια κατατίθησιν ἐν λιμένι. Οὐκ οἶδα τί τοῦτο καὶ τίς ὁ σκοπός· ἐμοῦ δ' ἡ ψυχὴ καὶ λίαν τετάρακται. Φοβοῦμαι τοὺς ἐμπόρους μή πως γένωνται τῆς εἰκόνος[1] (ἔστι γάρ, ἔστι καὶ καλῶς τῆς τέχνης ἔχουσα), καὶ πρὸς τὰ θεάματα δειλανδρήσωσι, κἀντεῦθεν ἀπείπωσι μὲν τὸν πλοῦν, ἡ δὲ πόλις ἐν σπάνει τῶν ἀναγκαίων γένηται ». Τίς ἤκουσέ σου[2] τοιαύτην φωνήν; εἰ ἔχουσι μαρτυρεῖν, μαρτυρείτωσαν.

Καὶ μήν, εἰ ᾔδεις, ταῦτ' ἔδει σε λέγειν, ταῦτα μαρτύρεσθαι, καὶ πάσαις προθυμίαις κωλύειν, καὶ κατασπᾶν τὸ πινάκιον. Εἰ δ' εἰδὼς ἐσιώπας, δύσνους ἐλέγχῃ τῷ δήμῳ, καί, πρό γε τοῦ ἐλεῖν ἐμέ, αὐτὸς ἑαυτὸν καταβάλλεις, προδιδοὺς ἐκείνους τῇ σιωπῇ οὓς ἐλεεῖν ὑποκρίνῃ τὰ νῦν, καὶ οὐκ ἐμοῦ μόνου, ἀλλὰ καὶ τῶν καταψηφισαμένων κατηγορεῖς. Εἰ δ' οὐκ ᾔδεις τὸ μέλλον κἀντεῦθεν ἐσίγας, ὥσπερ ἀμέλει κἀγὼ μηδὲν εἰδὼς τῶν μελλόντων ἔπραττον, δεῦρο δίδου καὶ σὺ τῷ δήμῳ ποινὰς τῆς ἀγνοίας, καὶ ταῦτα τοῦ μέλλοντος, εἴπερ κἀμὲ ἀξιοῖς τιμωρεῖν. Καὶ λοιπὸν ὑπεύθυνος μὲν ἐγώ, ὑπεύθυνος δὲ σύ· ἄλλος δέ τις καὶ ἀμφοτέρων κατηγορείτω, μὴ φθάσας ἰδεῖν ἱσταμένην τὴν εἰκόνα πρὸς τῷ λιμένι, μόνον δ' εἰδὼς ἐφ' ᾧ μὴ καταίρουσιν οἱ τὰς ἐμπορίας μεταχειρίζοντες.

« Πρὸς ταῦτα βλέπε μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν »,

Τεῦκρος εἶπέ *τινι*[3], *καὶ μὴ μόνον τὸ* πραχθὲν *αὖξε* λόγοις, *ὡς δεινὸν λέγων*[4] *καὶ χαλεπὸν πολυανθρώπῳ πόλει λιμός, καὶ χείρων*[5]

[1] Frequens est dicendi formula *γίνεσθαί τινος, εἶναί τινος*. Qua jam usus est p. 5 : *ταύτης ἐγὼ τῆς πολιτείας γενόμενος*, p. 13 : *μιᾶς γενόμενος προαιρέσεως*, p. 27 : *ἑνὸς σκοποῦ γενόμενος· κρείττονος γίνεται λογισμοῦ*, 31 : *μόνου γεγονότα τοῦ ἀγωνίζεσθαι*, 44. Eunapius : *τοῦ δὲ θεάτρου γενόμενος*, ubi notæ pp. 194, 572. Adjectiva *ὅλος, μεστός* sæpe adduntur, unde locutio fit planior. Aristænetus, 1, 19 : *θεάτρου μεστὴ γεγονυῖα*. Ibi notæ. Heliodorus, 1, 12 : *μὴ γίγνου τῆς ὀργῆς ὅλος*, 2, 21 : *ὅλος τῶν φροντισμάτων ἦν*. Alciphro, 3, 11 : *ὅλη δὲ εἶ τοῦ ἄστεος*. Plinius Epist. 5, 16 : « pietatis est totus ». Ibi Schæfer.

[2] Codex, *ἤκουσέ σοι*. Scripsi *ἤκ. σου*, ut modo scriptum est.

[3] Teucer Agamemnoni in Ajace, 1300. Pachymeres pressius descripsit Aristidem Orat. 46, p. 310 extr.

[4] Schol. : *πηλικότης καὶ τὸ πρός τι ἅμα*.

[5] Fortasse *χεῖρον*.

αὐτοῦ θανάτου, καὶ προδοσίας, καὶ πολιορκίας, καὶ νηῶν καταδύσεως. Ἀλλ' εἰ αἴτιον ἐπὶ τούτοις κρίνεις ἐμέ, κρῖνε πρῶτον σαυτόν, καὶ σαυτὸν αἰτιῶ τῆς ἀνάγκης καὶ τοῦ λιμοῦ. Μᾶλλον δ', εἰ δεῖ διαιρεῖν, ἐγὼ μὲν τοῦ στῆσαι τὴν εἰκόνα ταύτην ἔχω καὶ μόνην τὴν αἰτίαν, σὺ δὲ τοῦ περιπεσεῖν τὴν πόλιν λιμῷ, ἄν, εἰδὼς αὐτὸν ἐσόμενον, εἶτ' ἐσιώπας· εἰ δ' οὐκ ᾔδεις, κἂν πολλάκις αὐξήσῃς λιμὸν καὶ ἐπιχειρῇς δεῖξαι τοῦτον καὶ θανάτου καὶ πολιορκίας καὶ τῶν ἄλλων δεινότερον, οὐκ ἔχεις αἱρήσειν ἐμέ, εἰ μὴ ἅμα καὶ σεαυτόν, ἐπὶ τῇ ἀγνοίᾳ τοῦ μέλλοντος.

Παῦσαι τοίνυν λιμοὺς λέγειν καὶ ἀνάγκας πόλεως καὶ θανάτους ἐπιποιήτους, ὧν οὐκ ἐμοὶ μετόν, καὶ τὸ πραχθὲν παρ' ἐμοῦ μόνον λέγε. Τὸ ποῖον τοῦτο[1]*; τὸ ἱστορῆσαι*[2] *ναυαγίων εἰκόνα καὶ στῆσαι πρὸ τῶν λιμένων κατὰ θέαν κοινήν. Τοῦτο ἡ πρᾶξις ἐμοί*[3]*· τοῦτο λέγε, καί, οἶμαι, οὐκ ἀπορήσω ἀπολογίας, ταύτης δὲ τῆς ἀπεριέργου τε καὶ ἁπλῆς.*

Ἐξῆν μοι[4] *καθιστορεῖν, βέλτιστε· ἐξῆν μοι γράφειν καὶ πολέμους καὶ παρατάξεις, καὶ θαλάσσης κύματα καὶ ναυάγια. Δεῖξον τὸν διαιροῦντα νόμον, καὶ τοῦτο μὲν ἐφιέντα γράφειν, τοῦτο δ' αὖθις κωλύοντα. Δεῖξον νομικὰς διαστίξεις ἐπὶ τῇ τέχνῃ. Κἂν μὴ ἔχοις δεικνύειν ταύτας ἐπὶ ταύτῃ δὴ τῇ ἐμῇ, κἂν ἐπ' ἄλλῃ δείξας*[5]

[1] Schol.: *τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους.*

[2] De *ἱστορῆσαι* p. 44, n. 3.

[3] Scribendum pro *ἐμοί* videtur *ἐμή*, sono eodem. Æschines Epist. 10 : *ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς καὶ ἀπειπάμενος ἐξίῃ.* Scripsit sic pro *ἐξίοι* vir d., auctoritate non significata. Inveni *ἐξίῃ* in codice. Palladas Anth. 10, 55 : *ὅ θ' οἱ πολλοὶ κατ' ἀνάγκην Πάσχομεν, ἢ πάντες, καὶ σὺ γυναικοκρατῇ.* Lego, *ὅ τ' ἢ πολλοί*, quod recte opponetur parili formulæ *ἢ πάντες* « vel plurimi, vel omnes. » Alius est sensus cum articulo *οἱ πολλοί.*

[4] Schol.: *ἀντίληψις πρὸς ταῦτα ἐπομένη ἀναγκαίως.*

[5] Est *κἂν δείξας* vertendum « saltem demonstratione facta ». De *κἄν* pro « saltem » ad Anecdota Nova, p. 29. M. Antoninus, 8, 1 : *ἀρκέσθητι δὲ εἰ κἂν τὸ λοιπὸν τοῦ βίου, ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν.* Receperim *βιώσεις*, quod jam fuit propositum : *εἰ κἄν..... θέλει, βιώσεις·* « satis autem sit tibi, si saltem, quod vitæ supererit, pro naturæ tuæ voluntate, vives ». Andreopulus Syntipa, p. 10 : *κἂν ὑμεῖς τὸν υἱόν μου λαλήσατε·* « vos saltem cum meo filio loquimini ». Idem, p. 12 : *κἂν διὰ σοῦ·* « saltem opera tua ». Et hodie particulæ *κἄν* multus est usus pro « saltem ». Piccolus Paulo et Virginia : *ἀγαποῦσα νὰ ἦμαι σοφός, κἂν διὰ νὰ προγινώσκω τὰ μέλλοντα·* « amem doctus esse, saltem qui futura prænoscam ». Interpres Græcus Alexidis Wyttenbachiæ : *δὲν ἐφιλονεικοῦσαν κἂν διὰ τὰ τοιαῦτα·* « ob talia

τινί, σύναγε καὶ τὴν γραφικὴν ἐκείνῃ καὶ ἐπιχείρει συλλογιζόμενος. Ἔχεις δεῖξαι νόμον ἰατρικῆς, τοῦτον μὲν ἐφιέντα ἰατρεύειν, ἐκεῖνον δ' ἀπαγορεύοντα; καὶ μὴν φιλάνθρωπος ἡ τέχνη καλεῖται καὶ πᾶσι κοινή, καὶ οὐκ ἐκείνῳ μὲν φιλάνθρωπος, τούτῳ, δ' εἰ τύχοι, μισάνθρωπος.

Ἀλλ' ὅμως[1] *φήσεις· « Τί δέ; καὶ τύραννον ἰατρεύσεις, ἰατρὸς ὤν, καὶ πολέμιον »;*

Οὐ λέγω τοῦτο[2]*, οὐδ' εἰς τοσοῦτον μανίας ἀφῖγμαι, ὥςτ' ἀξιοῦν εὐεργετεῖν τὸν κοινὸν τοῦ δήμου πολέμιον. Ἀλλ' οὐκ ἐξ ἴσου τοῦτο πρὸς τὸ ἐμόν. Ἐκεῖ μὲν γὰρ ὑπεύθυνον τὸ πραττόμενον, ὅτι καὶ φανερὸν τὸ ἀδίκημα, καὶ ὁ τύραννον ἰατρεύων νόσον ἐξ ἀνάγκης τῷ δήμῳ παρασκευάζει καὶ θάνατον· ἐνταῦθα δὲ ἡ πρᾶξις πολλῷ διώρισται τῆς ἐπισυμβάσης κακίας, καὶ οὐκ ἐξ ἀνάγκης, ἕπεται τῷ ναυάγια γράφοντι, εἴπω δὲ καὶ ἱστάντι ἐπὶ λιμένων, λιμὸς καὶ σπάνις τῶν ἀναγκαίων καὶ ἔνδεια πόλεως· ἀλλὰ τὸ μὲν ἔργον ἀνεύθυνον, τὸ δ' ἐπισυμβὰν χαλεπόν.*

Ἐγὼ δέ[3]*, εἰ μή πως δόξω τῇ πόλει βαρύς, ἀλλὰ καὶ τύραννον ἰατρεύειν ἐξεῖναι διϊσχυρισαίμην ἂν ἰατρόν.*

Καὶ ἀξιῶ, πρὶν διακοῦσαι[4] *παντὸς τοῦ λόγου, μὴ θορυβεῖν. Οἶδα γὰρ φιλοπόλιδας ὄντας ὑμᾶς, καὶ πρὸς μόνον ὄνομα τυράννου ἀηδῶς ἔχοντας.*

Ἐξεῖναι λέγω ἰατρεύειν καὶ τύραννον τῷ τεχνίτῃ[5]*, ὅταν ὡς ὅλως*[6] *ἄνθρωπον ἰατρεύῃ καὶ οὐχ ὡς τύραννον, ὅταν μηδὲν ᾖ δύςνουν ἐν τῇ ψυχῇ, μηδ' οὕτως ἰατρεύῃ ἐπὶ τῷ τὴν πόλιν τυραννεῖσθαι, ἀλλ'*

saltem non contendebant ». Ex litteris initialibus Φ. Φ. illius interpretationis præfationi subscriptis nullus ferme dubito quin sit tribuenda Φ. Φουρναράκῃ, quo Corayus amico utebatur, quique post senis desideratissimi mortem ejus Ἀτάκτων quintum tomum edidit ac primum Προλεγομένων ex Bibliotheca Græca excerptorum.

[1] Schol.: *ἀντίθεσις εὑρεθεῖσα ἐκ τῆς ἐργασίας, καὶ οὐκ αὐτῆς ἀκολουθίας τῆς στάσεως.*

[2] Schol.: *λύσις κατὰ ἔνστασιν.*

[3] Schol.: *ἑτέρα λύσις κατὰ ἀντιπαράστασιν.*

[4] Codex, *διακούσαι.*

[5] Cod., *τῷ τυχήτῃ* vel *τεχήτῃ*. Conjeci *τεχνίτῃ*. Medicina ars est, unde potest dici medicus artifex; est *τέχνη*, medicus *τεχνίτης*. Hippocrates Aphorismo nobili : *τέχνη μακρή*· ac Celsus ait « conjecturalem artem esse medicinam ». Modo Noster : *φιλάνθρωπος ἡ τέχνη*· et mox, *ὁ νόμος τῆς τέχνης.*

[6] Cod., *ἄλλως*. Conjeci *ὅλως*, universim, *καθόλου*.

ὡς ὀμώμοκεν. Ὀμώμοκε δὲ πῶς; ἵν' ἐπιμελῆται πάντων κατὰ τὸ δυνατόν[1], ἵν' ἰατρεύῃ· κἂν ἐχθρὸς ᾖ, κἂν πολέμιος ὁ νοσῶν, μηδὲν ἀμελῇ, ἀλλ' ἐφαπλοῖ τὰς ἰάσεις καὶ πολίτῃ καὶ ξένῳ, καὶ πλουσίῳ καὶ πένητι, καὶ φίλῳ τε καὶ ἐχθρῷ. Οὗτος ὁ νόμος τῆς τέχνης[2], καθ' ὃν καὶ τὸν κάκιστ' ἀπολούμενον ἐκεῖνον τύραννον τυχὸν ἂν ἰατρεύσειεν. Οἱ δ' ἐπὶ τῆς ἐξουσίας ἴσως ἀκούσαντες ἀνεκτῶς ἕξουσι, καὶ τὸ μὲν γεγονὸς συγχωρήσουσι, καὶ δέξονται μὲν ὡς οὐ περιπεπτωκὼς νόσῳ ἐξ ἐπιμελείας τινός, ἀλλ' ἀπ' ἀρχῆς ὑγιαίνοι ὁ τύραννος, εἰ μόνον εὔνουν τὸν ἰατρὸν ἐκ τῶν εἰκότων κατανοήσουσιν· αὐτοῖς δὲ καὶ πάλιν μενεῖ φροντὶς μὴ δεχομένη παραίτησιν, τὸ τὸν τύραννον ἐκποδὼν ποιῆσαι σφῶν καὶ τῆς πόλεως.

Τέως δ', εἰ μέμνησθε, νόμον ἐζήτουν τὸν ἐφιέντα ἢ καὶ κωλύοντα· ἀλλ' οὐκ ἔχει δεῖξαι, κἂν πολλὰ κάμοι, κἂν ὅ τι ποιήσειεν. Οὕτω τοίνυν καὶ ἐπὶ τῇ ἐμῇ τέχνῃ ἐξ ἄλλων τὸ ἀνεύθυνον ἔχεις συνάγειν, ὡς εἴ τι[3] ἂν καὶ καθιστορήσαιμι[4]. Ὥςπερ γὰρ ἐπ' ἄλλοις εὑρίσκων ἂν νόμον τὸν διαιροῦντα τὰς πράξεις, συνελογίζου καὶ τὸ ἡμέτερον· ἔκειτο γὰρ παρ' ἡμῶν, καὶ ἐχρῆν· οὕτως αὖθις, ἐπειδὴ οὐκ ἐπ' ἄλλοις ἔχεις δεικνύειν τὰς διαιρέσεις τῶν κατὰ τὴν σφετέραν τέχνην πράξεων, ὡςαύτως καὶ ἐπὶ τοῖς ἐμοῖς νόμιζε.

Πλὴν[5] εἰ καὶ ἐξῆν γράφειν καὶ οὐδεὶς κεκώλυκε νόμος, ἀλλ' ὅμως μάντεως ἔδει ἢ καὶ ὀνειροπόλου ἐμοὶ πρὸς τὰ συμβησόμενα. Καὶ τίς γὰρ ἂν εἰδείη τὸ μέλλον, ἄνθρωπος ὤν, δειλοῖς λογισμοῖς καὶ ἐπινοίαις διεξαγόμενος; μόνον ἴδιον τοῦτο θεοῖς, καὶ οἷς ἂν ἐκεῖνοι χαρίσωνται[6]. Ὡς εἴθε κἀμοὶ τότε ἐπὶ νοῦν ἐτίθουν τὸ συμπεσούμενον· εἰ δ' οὖν, ἀλλά σοί γ' αὐτῷ, καὶ θάῤῥος ἐδίδουν καὶ ἰσχὺν κωλύειν ἀρχῆθεν καὶ τὴν γραφὴν καὶ τὴν ἐπὶ τῶν λιμένων στάσιν, καὶ πᾶν ἐκεῖσε πραχθὲν ἕτερον. Μάταιος γὰρ ἂν ἦν ἐς ὑπερβολήν[7], εἴπερ μόνον[8] ὑπέμνησέ τίς, καὶ μὴ ὅτι θέοθεν ἔχει τὴν

[1] Jusjurandum Hippocrateum : διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξω.

[2] Jusjurandum Hippocrateum : μετάδοσιν ποιεῖσθαι.... μαθηταῖσι συγγεγραμμένοις τε καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ.

[3] Sic codex. Fortasse ὡς ὅ τι.

[4] De καθιστορεῖν p. 49, 16, cum n. 2.

[5] Schol. : συγγνώμη πρὸ τοῦ ἑτέρου ἀντιθετικοῦ, τῆς ἀντιστάσεως δηλαδή.

[6] Codex, χαρίσωνται, superscripto δωρῇ prioribus syllabis.

[7] Codex, ἐς ὑπερβολὴν καθ' ὑπερβολήν. Quod non potuit retineri.

[8] Codex, μόνου.

γνώμην, ἀλλ᾿ ὅτι στοχάζεται, ὡς γέρων ἴσως καὶ πολλὰ τῷ χρόνῳ μαθὼν[1] ἢ κἀκ γνώσεως· εἴπερ οὕτως ἐκεῖνος μὲν ἔλεγεν, ἐγὼ δ᾿, ἅπαξ τοῖς δεδογμένοις ἐμμένων, ἐβιαζόμην καὶ τὴν γραφὴν ἐκείνην καὶ τὴν ἀνάθεσιν. Κατὰ τί γὰρ ἄλλο παρειςῆγον ἀκόντων ὑμῶν τὴν εἰκόνα, κατὰ τί, ἄνδρες πολῖται; ἐδυςνόουν τῇ πόλει; ἐχθρὰν τὴν πατρίδα ἡγούμην; τοὺς ἐμοὺς ὠρεγόμην θανεῖν; ἀλλὰ τιμῆς ἕνεκα, καὶ διαβοήσεως πρὸς τοὺς ξένους ὅτι τεχνίτης ἐγώ; Ἀπόλοιτό μοι καὶ τέχνη καὶ ἔπαινος καὶ τιμή, εἴπερ τις ἔμελλεν εἷς καὶ ὁ τυχών γε τῶν πολιτῶν ἀμωςγέπως βλαβήσεσθαι. Ἕως τότε καὶ στρατηγός, καὶ ῥήτωρ, καὶ τεχνίτης, καὶ ἰδιώτης δόξης ἰδίας μεταποιήσεται, ἕως οὗ τὰ κατὰ πόλιν μηδὲν βλάπτονται. Ἐπειδὰν δὲ δεὸς ᾖ μὴ τῷ κοινῷ λυμανεῖται ἡ πρὸς τιμὴν τοῦ δεῖνος σπουδή, μάταιος ἡ σπουδὴ ἢ καὶ μᾶλλον εἰς μεγίστην καὶ οὐ τὴν τυχοῦσαν τῇ πόλει δύςνοιαν[2].

Πῶς τοίνυν κατεδεχόμην, κωλύοντός τινος τὸ ἐγχείρημα, τὴν τῆς πόλεως βλάβην διὰ τὴν ἐξ ἄλλων ἐπὶ τῇ τέχνῃ τιμήν; ὅςτις οὐδὲ τὴν ἀρχὴν χάριν ταύτης τὰ τῆς εἰκόνος ἠὐτούργουν, ἀλλ᾿[3] ὑπὲρ τῶν πολιτῶν, ὡς ἡγούμην, καὶ τῶν πλεόντων· ὅπως οἱ μὲν ἐξ ἀκινδύνων ἐμποριῶν τὰ ἀναγκαῖα πορίζεσθαι ἔχοιεν, οἱ δὲ μαθόντες οἵοις εἰκὸς δεινοῖς αὐτοὺς περιπίπτειν, εἰ παρὰ καιρὸν πλέοιεν τὸν προςήκοντα, θαλασσίας φυλάττοιντο ἀγριότητας. Οὐδὲ γὰρ μικρὸν τοῦτο, οὐδὲ τῆς τυχούσης φροντίδος ἄξιον, ἄνδρας εὐεργέτας τὸ μέρος τῆς πόλεως, ἐπ᾿ αὐτῷ τούτῳ πρὸς θάλασσαν καὶ κύματα διακινδυνεύοντας, ἐφ᾿ ᾧ τῶν ἀναγκαίων ἡμεῖς[4] εὐ-

[1] Agnosco iambicum sonum. Fontem non memini.

[2] Sic sine verbo. Subaudiatur *τείνουσα*, vel participium aliud ejusdem sensus. Ita loquitur et p. 54, 20 : *σωτήριον καὶ εἰς φιλοτιμίαν*, scilicet *τεῖνον*.

[3] Schol.: *ἀντίστασις*.

[4] Codex, *ὑμεῖς*. Vocalium *η υ* in pronominibus illis et vocibus aliis permutatio frequens. Gregorius Naz. t. II, p. 15 : *Σαμψὼν ποτέ, Ὃν ἡ κόμη προὔδωκεν ἐξηρημένη Τριχῶν ἀώρου χανεμοφθόρου θέρους, Ἅς τις γυνὴ τέτμηκεν εἰς ἐχθρῶν χάριν*. Sic Billyana, cui miror Plancum adhæsisse, nec scripsisse *ἐξυρημένη*. Scholium ad Pausaniam, 6, 26, 4, de vermibus agentem quos *σῆρας* Græci appellant : *οὐχ ἀληθῶς τὰ εἰς τοὺς σύρας* (imo *σῆρας*) *ἀκήκοας. Ἡμεῖς γὰρ νῦν οὐχ ἀκοῇ, ἀλλ᾿ ὀφθαλμοῖς βλέποντες, ἴσμεν τὰ κατ᾿ αὐτούς*. In Stadiasmo Maris Magni, § 266, pro *ἀπὸ Τύρου* Villoisonus (ubi? jam non memini) conjecit *Τήνου*, probabiliter ob loca vicina; et *ν* ea sæpe scribitur forma, quæ ad *ρ* multum accedat.

πορoίημεν, ἄνδρας ἀφοριῶν ἰατῆρας, πλουτοποιούς[1], χρησίμους κατ' ἔγκαιρον ὑετόν, ἐρατοὺς κατ' εὐκρασίαν ἀέρος[2], τούτους ὡς τὸ μηδὲν ἡγεῖσθαι, κἂν κινδύνοιεν μὴ φροντίζειν, κἂν ἀπόλοιντο ἀμελεῖν. Ομως δεῖγμα τοῦ λόγου σαφὲς ὁ παρὼν ἀγών. Ἐπὶ τί γὰρ ἄλλο ἐνταῦθα συνήχθητε, καὶ κατηγορεῖ μὲν ἐμοῦ[3] οὗτος, κρίνετε δὲ ὑμεῖς, εἰ μὴ ὅτι, μὴ καταιρόντων ἐκείνων, ἐπισυνέβη τῇ πόλει δεινά; τούτους ἠθέλησα ζῆν· τούτοις προειλόμην συνεργεῖν, τούτοις περιποιεῖν τὸ ἀκίνδυνον.

Μὴ γοῦν ὅτι μὲν ἀγαπᾶν ἐχρῆν τούτους καὶ ἀποδέχεσθαι λέγε, τὸν τρόπον δὲ τῆς ἀποδοχῆς καὶ τῆς, ὡς ἄν τις εἴποι, εὐεργεσίας φαύλιζε, καὶ ὅτι μὲν παραινεῖν ἔδει τούτοις συγχώρει, ἄλλως δὲ παραινεῖν καὶ οὐχ οὕτως ἀντίφερε.

Σὺ μὲν ἴσως ἐρεῖς[4] ὡς ἔδει μισθοῦσθαι καθ' ἡμέραν ῥήτορας, καὶ δι' αὐτῶν τὰ τῆς νουθεσίας ἐπιχειρεῖν· « Ἔδει αὐτόν σε », λέγων ἐμέ « πρὸς τοῖς λιμέσι γίνεσθαι καθ' ἑκάστην, καὶ παραινεῖν, ὡς εἶχες λόγου καὶ τρόπου, ἢ ἄλλως πως ἐκείνους ἐνάγειν εἰς φόβον τῶν τῆς θαλάσσης δεινῶν ». Καὶ σὺ μὲν οὕτως εἴποις, ἀντειςφέρων μὲν τὸ μὴ πραχθέν, φαυλίζων δὲ τὸ πραχθέν· ἐγὼ δ' ᾤμην καὶ τότε, καὶ νῦν λέγω, ὅτι, ὡς ἕκαστος ἔχοι δυνάμεως καὶ προαιρεθείη τὸν πέλας καλὸν ποιεῖν, οὐκ ἔχει κωλύειν ἄλλος καὶ ἀξιοῦν τὸ καλὸν ἐκεῖνο κατὰ τὴν ἐκείνου προαίρεσιν ἐκτελεῖν.

[1] Flosculos istos aliunde decerpsisse sophistam manifestum est.

[2] Plutarchus de Homero V. Hom. § 208 : ἐπίσταται δὲ καὶ ἀέρων εὐκρασίαν ὑγιείας οὖσαν παρασκευαστικήν. Polybius Athenæi, 8, 1 : διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν καὶ τὰ ζῶα πολύγονα καὶ οἱ ἄνθρωποι.

[3] In cod. ἐμοῦ est lineolis inductum, punctisque subtus notatum. Visum est hic punctis lineas male impositas deleri, non ipsum vocabulum, quod non est inutile; nec concursus sonorum ου ου adeo est insuavis, ut ἐμοῦ omittendum fuerit. Οὗτος ἐμοῦ auribus quidem gratius accideret; sed talia non semper advertunt auctores. Merito statim displicet magis junctura εἰ μὴ ὅτι μή, quas voculas si pronuntiando orator misceret vel lector, ut miscuit librarius, auditores multi vix sententiam intelligerent, quibus ὅτι μή esset pro « nisi » et εἰ μή pro « nisi ». Interposita virgula, locus jam non est obscurus. Sumus in interpunctionibus multo diligentiores quam antiqui, atque valde nonnullos demiror nunc editores, qui more retro librariorum commata sententiarum pejus angue aversari videntur, ac ferme tantum punctis utuntur finalibus.

[4] Schol.: μετάληψις.

Ἀλλ' ἔξεστι[1] πάντως τῷ βουλομένῳ, μόνον εἰ ἐπ' εὐμενείᾳ πράττοι τις, χρήσιμον τῇ πατρίδι ποιεῖν, καὶ οὐχ ὁριστὰς ἔχειν ἑτέρους τοῦ πῶς ἂν τὸ καλὸν ἀπεργάσαιτο. Δεῖ γὰρ ἕκαστον[2], εἴπερ ἐθέλει παρωνυμεῖσθαι τῇ πόλει γνησίως καὶ πολίτης ἀκούειν τῆς πόλεως ἄξιος, καθὼς ἔχει δυνάμεως βοηθεῖν, καὶ ἣν πρὸς τὸ ζῆν ἔλαβε τέχνην, ταύτην κιχρᾶν τῇ πατρίδι πρὸς τὸ κατὰ καιρὸν χρήσιμον· κἂν ῥήτωρ λόγοις ἐθέλοι τὴν πατρίδα ἐγκωμιάζειν καὶ ἐπαινεῖν, μὴ κωλύειν ἄλλον τὸν πρόπον[3], καὶ ζητεῖν ἄλλην παρ' ἐκείνου τῇ πόλει σύναρσιν· κἂν φιλόσοφος ῥυθμίζειν προαιρῆται[4] τοὺς νεωτέρους τῆς πόλεως, ἀγαπᾷν καὶ ἀποδέχεσθαι τὸν ἀκούοντα, καὶ μηδὲν πλέον ζητεῖν ἢ ὅσον ἐκεῖνος δύναται.

Εἰ γάρ τις τούτους κωλύοι, ἐροῦσιν ἴσως πρὸς τοὺς κωλύοντας· ἔνθεν μὲν ὁ ῥήτωρ·

« Ὦ βέλτιστοι, τί πράγματά μοι παρέχετε, κἀκεῖνα παρ' ἐμοῦ ζητεῖτε οἷς οὐ προσέσχον τὸν νοῦν τὴν ἀρχήν; Καλὸν ἦν ἄρα καὶ εἰ συμπαρατάττεσθαι στρατιώταις ἴσχυον, καὶ δόρυ στρέφειν καὶ σπάθην κινεῖν, καὶ τοῖς κινδύνοις ὁμόσε χωρεῖν, καὶ μεγαλύνειν τὴν πόλιν δι' ἀνδραγαθιῶν τῶν ἐμῶν· καλόν, εἰ δυνάμενος ἐτειχοποίουν[5] καὶ ἀνύψουν τὰ τείχη λαμπρότερον· καλὸν ἄλλο τι πράττειν σωτήριον καὶ εἰς φιλοτιμίαν τὴν γιγνομένην[6]. Ἐπεὶ δ' ἡ τύχη οὐκ ἐπὶ τούτοις με κατεκλήρωσε, δέον ἄλλως δεικνύειν τὴν εὔνοιαν καὶ μεγαλύνειν τὴν πατρίδα, παρὰ σοῦ κωλυθήσομαι; ἐγὼ μὲν οὐκ οἶμαι ».

Καὶ ταῦτα μὲν ὁ ῥήτωρ καλῶς γε ποιῶν ἐρεῖ καὶ ἀξίως τῆς πόλεως· ὁ δὲ φιλόσοφος·

« Τί τὴν ἐμὴν ἐπιστήμην φαυλίζετε, καὶ μόνην ἀσυντελῆ τοῖς

[1] Schol.: ἀντίληψις.

[2] Schol.: θέσις ἀναιροῦσα καὶ τὴν μετάληψιν τὴν δευτέραν.

[3] Sic codex. Fortasse, κελεύειν.

[4] Fere videtur esse προαιρεῖται scriptum.

[5] Codex, ἐτοιχοποίουν. Permutatio solita nominum τεῖχος et τοῖχος, ob sensum utriusque non valde disparilem et parilem vocalium ει οι sonum. Asclepiades Anthol. 12, 163: Εὗρεν Ἔρως τι καλῷ μῖξαι καλόν, οὐχὶ μάραγδον Χρυσῷ, ὃ μήτ' ἀνθεῖ μήτε γένοιτ' ἐν ἴσῳ. Malim ἃ μήτ' ἀνθοῖ. Respondebit ἀνθοῖ sequenti γένοιτο, et ἐν ἴσῳ ad utrumque verbum pertinet. Locum tentavit vir doctiss.; sed quam mutatione facta sententiam loco dedit, eam sine mutatione locus habet.

[6] Γιγνομένην] vide p. 16, n. 5.

κοινοῖς τιθεῖτε, καί, εἰ μὴ πολιτεύομαι, καὶ πρεσβεύω, καὶ στρατηγῶ, οὕτω τοῦ τρόπου διδόντος, οὐδὲ τὸ μέρος ἂν εἰςενέγκοι τῇ πατρίδι τὸ χρήσιμον; καὶ νέους, γεννήματα γενναῖα γενναίας πόλεως[1], ὁρμὴν ἐπιτηδείαν ἔχοντας πρὸς ὅ τι καὶ ῥέψειαν, καὶ ῥέψειαν ἂν ἴσως μὲν εἰς κακόν, ἴσως δέ γε καὶ εἰς καλόν, ἐφ' ἃ δ' ἂν καὶ ῥέψειαν κατορθώσειν[2] (τοιαῦται γὰρ αἱ γενναῖαι φύσεις)· νέους τοιούτους οὐκ ἂν ἐκ φιλοσοφίας παιδεύσω, καὶ ἤθη ῥυθμίσω τούτων εἶναι μὲν εὐπειθεῖς πατράσιν, εἶναι δὲ πειθηνίους τῇ πόλει, γέρουσιν ἐφεστηκόσιν αὐτοὺς καθημένους τῆς καθέδρας ἐξίστασθαι[3], καὶ φαίνεσθαι μὲν τοῖς πᾶσι δημοτικοὺς καὶ πραεῖς; εἰ δὲ πατρίς ἐστι τὸ κινδυνευόμενον, (ὃ μὴ γένοιτο πώποτε!) τότ' εἶναι καὶ τούτους φρονήματος πλέως, καὶ παρατάττεσθαι, καὶ πειρᾶσθαι νικᾷν, καὶ τὴν πόλιν ἐλευθεροῦν τῶν δεινῶν»;

Διά τοι[4] τοῦτο, παρακαλῶ, ἄνδρες πολῖται καὶ συνδημόται, μὴ τὴν τῶν πολλῶν ὁρμὴν κωλυθῆναί ποτε, ἀλλά, μόνον, ὅτι ὁρμῶσι πράττειν ὑπὲρ τῆς πόλεως, ἀποδέχεσθαι, τὸν δὲ τρόπον τῆς ὁρμῆς ἢ καὶ πράξεως μὴ ἄλλους ἐπιτιθέναι τῶν ἔξωθεν. Οὐδὲ γὰρ λείψει ποτὲ τοῖς φιλέρισι πρόφασις, καὶ ὅ τι ἄν τις ὁρμήσοι

[1] Sic infra, καλῆς πατρίδος καλὰ γεννήματα. In repetitionibus id genus sibi multum placebant. Aristænetus, 2, 14: καλοῦ παιδὸς καλὴ μήτηρ. Ibi Abresch. et Bast. Nicephorus Chumnus in meis Anecd. Gr. t. V, p. 291: μητρὸς εὐσεβοῦς εὐσεβὲς γέννημα. Ibi nota. Potuit Chumnus meminisse Nazianzeni laudantis Maccabæos Or. 22, p. 399: μητρὸς εὐγενοῦς εὐγενῆ γεννήματα. Theodorus Prodr. Rhod. 5, p. 197: Καὶ τῆς Ἐννοῦς τῆς φίλης φίλα βρέφη. Seneca Agam. 799: « Argos nobilibus nobile civibus ». Destuchius Glorioso: « Très-humble serviteur à l'aimable suivante d'une aimable maîtresse ». Quum forte meminerim Gloriosi Destuchianæ, monstrabo, quod an fuerit jam ab aliis factum ignoro, loci pulcherrimi fontem. Lysimon scena quarti actus octava apud Gloriosum offendit hominem quemdam sibi ignotum, mediocriter vestitum, sed qui voce liberrima ex pari cum comite illo *de Tufière* fabulatur. Rei novitatem miratus, percontatur: « Quel est cet homme-là »? Cui comes, non sine hæsitatione tractuque verborum: « c'est.... c'est mon intendant ». In Segraisianis autem, p. 105, similis narratur historiola, ex ore Scarronis excepta, de juvene quodam nobili, quam brevitatis causa indicare sit satis.

[2] Cod., κατορθώσειαν. Visum est scribere κατορθώσειν, quod pendebit ab ὁρμὴν ἔχοντας.

[3] Cod., αὐτοῖς καθημένοις, quod mutandum esse rebar. Dativus absolutus vix ferendus foret post dativum γέρουσιν ἐφ. Honoris causa senioribus stantibus sedentes juvenes assurgebant. Vide n. ad Choric. p. 10.

[4] Schol.: ἐπίλογος.

ποιεῖν ἢ καὶ πράξειν[1] κακίσουσι. Κἀντεῦθεν τί; Οὐδεὶς ἂν ἐθελήσοι πράττειν, εἰ μέλλοι πράγματ' ἔχειν παρὰ τοῦ βουλομένου παντός. Προτιμήσει γὰρ ἕκαστος μηδὲν πράξας μηδ' ἐγκληθῆναι, ἢ πράξας ἔχειν πράγματα.

Κἀγὼ μὲν ἴσως πράξας ἀπέτυχον τοῦ σκοποῦ, καὶ ἔστι τὸ πᾶν τῆς ἐμῆς κρίσεως ἐπὶ τῷ σκοπῷ καὶ τῇ προαιρέσει· ἄλλος δέ τις ἐπιτύχοι πράξας καὶ τοῦ σκοποῦ, καὶ ἄλλος ἄλλο πράξας ὡςαύτως, καὶ ἕτερος ἕτερον. Καὶ κρεῖττον οἶμαι τὸ ἐπὶ τοῖς προαιρουμένοις πράττειν καὶ τὸν τρόπον εἶναι τῆς πράξεως[2], καὶ ἕκαστον ὡς προαιρεῖται ποιεῖν, κἂν ἁμάρτῃ ποτέ, καὶ πάντας τοὺς βουλομένους ποιεῖν, τοῦ παρ' ἑτέροις κεῖσθαι τὸν τρόπον τῆς εὐποιΐας, κἂν ἐκείνοις δόξῃ, εὖ ποιεῖν τοῦτον δοκεῖν, κἂν μή, ἁμαρτάνειν, κἀντεῦθεν, τὰς συκοφαντίας δεδιότας, καὶ τοὺς βουλομένους πράττειν κωλύεσθαι. Ὁ γὰρ ἐφ' οἷς ἂν ἁλῴην ἐγὼ σκοπούμενος μόνον, ὁποῖον ἂν ἐμοῦ πράξαντος, ἐκεῖνος τοῦ κατηγορεῖν ἐπισχεθήσεται[3]. Εἰ δ' οὖν, ἀλλ' ἔστι θεῖναι νόμον ὑμᾶς τοῦ λοιποῦ προεμφανίζειν ὑμῖν καὶ κοινοῦσθαι τὴν γνώμην, καὶ μηδὲν αὐτόθεν ἐπιχειρεῖν, κἂν δοκῇ συμφέρειν, εἰ μὴ παρ' ὑμῶν συγχωρηθείη τῷ βουλομένῳ, ἐφ' ᾧ δὴ καὶ τεθέληκε[4]. Τὸ δ' ἐςδεῦρο, οὔπω τεθέντος τοῦ νόμου καὶ κυρωθέντος, οὐδεὶς ὡς προείλετο πράξας ὑπεύθυνος.

Ἐπὶ τούτοις ἔστω καὶ ὁ ζωγράφος ἐγώ, ὅς, εἰ τὴν ἐμὴν γνώμην ἐθέλοιμι παριστᾶν πῶς ἔγραψα τὰ ναυάγια καὶ πῶς ἐθέμην ἐπὶ λιμένων, ὡς δημοτικὴ καὶ φιλόπολις καὶ μηδὲν ἔχουσα κακοῦργον καὶ δολερόν, μηδ', ἂν διαῤῥαγείη ὁ συκοφάντης ψευδόμενος[5], ὕδωρ[6] ἄλλο ζητῶ καὶ δικαστηρίου καιρὸν ἕτερον.

Ὅμως ἡ τέχνη μαρτυρήσει τῷ λόγῳ, καὶ παραστήσει τὸ ἐπιτήδευμα τὴν προαίρεσιν. Οὐ γὰρ ὀχληρὸν καὶ δημῶδες, οὐδ' οἷον καὶ πολυπραγμονεῖν ἕτερα. Τέχνη τίς ἐστι τῶν φιλησύχων ἡ

[1] Sic codex. Fortasse, ἢ καὶ πράξειε, vel ἢ καὶ πράξει.

[2] Videtur τρόπον carere epitheto, ἐλεύθερον, αὐτόνομον, αὐτόβουλον. Et mox malim, καὶ πάντας ποιεῖν τοὺς βουλομένους ποιεῖν.

[3] Sic codex. Videtur fere nonnihil desiderari.

[4] Τεθέληκε] vide p. 32, n. 3.

[5] Ἂν διαῤῥαγείη ψευδόμενος] vide p. 8, n. 2.

[6] Ὕδωρ] vide p. 4, n. 6.

γραφική. Ἂν οὐ συγκλείσῃς τὴν θύραν, ἂν οὐ περισυνάξῃς τὸν νοῦν, ἂν μὴ[1] τῶν ἔξωθεν ἀποστήσηται, οὐκ οἶδας εὐδοκιμεῖν. Καὶ ἄλλοις μὲν αἱ τέχναι κίνησιν ζητοῦσι νοὸς καὶ μεταβάσεις ἀφ' ἑτέρων εἰς ἕτερα· ἐμοὶ δὲ τὸ ἠρεμεῖν κατὰ νοῦν, καὶ μηδὲν περιβομβεῖσθαι τοῖς ἔξωθεν, μόνον τοῦτο τρυφὴ καὶ τῇ τέχνῃ σύστασις. Οὐκ ἐρευνῶ τὰ πολιτικά, οὐ ζητῶ πολέμους καὶ μάχας, οὐ μελετῶ βουλάς, οὐ πρεσβεύω, οὐ στρατηγῶ, οὐδέ τι τῶν ἄλλων πράττω δημοσίων. Κἂν εὐδοκιμήσω, εἰς στενόν μοι πάμπαν ἡ φήμη καὶ τὸ ἐγκώμιον περιΐσταται· κἂν πταίσω, ὁ ψόγος κατ' οἶκον, ἢ μὴν κἂν τοῖς γείτοσι. Τί ἐμοὶ κοινὸν καὶ τῇ πόλει, ὡς ἂν ᾖ καὶ πταῖσμα κοινὸν ἐμοὶ καὶ δημόσιον; Πλείους ἔχω βλέπειν ἐπὶ τῶν εἰκόνων ἀνθρώπους οὓς αὐτουργῶ, ἢ τοὺς ζῶντας καὶ κινουμένους ἐπὶ τῆς πόλεως. Κἂν λαλεῖν ἐπίοι καὶ ὁμιλεῖν, τούτοις ἂν καὶ λαλήσω καὶ ὁμιλήσω, πλὴν οὐκ ὡς ἄφρων καὶ περιττός. Ἀλλ' ἴσως μὲν ἐπιτυχὼν εἴπω πρὸς τὸν γραφόμενον· « Ὡς καλῶς ἔστης! ὡς ἀρίστως ἐσχηματίσθης! ἔπαινόν μοι προξενήσεις, ἐπὶ τῶν πλατειῶν ὁρώμενος »· ἴσως δὲ καὶ ἀποτυχών, ἐρῶ· « Ὡς δυστυχὴς σὺ καὶ μηδ' ἐπὶ τῆς εἰκόνος φέρων τὸ εὔδαιμον! ποσάκις μετεποίησα τὴν γραφήν! κἀγὼ μὲν φιλοτιμοῦμαι τὰ σχήματα· σὺ δ' οὐ παραδέχῃ τὸ κρεῖττον[2], ὥσπερ ἐκ προαιρέσεως ». Αὗται γραφέως ὁμιλίαι, αὗται συγκαθίσεις καὶ περιεργίαι, καὶ λόγοι, καὶ πᾶν ἕτερον· δημόσιον δὲ οὐδ' εἰς νοῦν ἐβαλόμην ποτέ. Οὐδ' ἂν αὐτὸς ὁ συκοφαντῶν εἶπέ ποτε, εἴπερ οὐκ

[1] Cod. sic, οὐ—οὐ—μή.

[2] Τὸ κρεῖττον est adornatio et lineamentorum habitusque oris emendatior ac correctior imitatio. Lex fuit, teste Æliano H. V. 4, 4, apud Thebanos, quod mirum, homines scilicet in crasso aere natos, qua pictores jubebantur ac statuarii ἐς τὸ κρεῖττον τὰς εἰκόνας μιμεῖσθαι, et irrogabatur mulcta τοῖς εἰς τὸ χεῖρόν ποτε ἢ πλάσασιν ἢ γράψασιν, quibus, Ælianus ait, ἀπειλεῖ ὁ νόμος ζημίαν τὸ τίμημα δρᾶν. Corayus δρᾶν corruptum esse putat, et conjicit τίμημα α' δραχμῶν. De ipsa summa cum ipso non facio; sed potest in δρᾶν latere nominis δραχμῶν compendium, amisso numero, ni sit ν', ut legatur δραχμῶν ν'. At servaverim editam scripturam. Lex videlicet ἀπειλεῖ δρᾶν τοῖς εἰς τὸ χεῖρον γράψασι τὸ τίμημα ζημίαν, cujus ζημίας species non diserte significatur, definienda pro re nata a judicibus. Quod recte potuisse dici a Græcis probabile fere est et quasi verisimile, quum sit latinum exemplum parile in Catonis sententia apud Gellium N. A. 11, 1: « imperator noster, si quis extra ordinem pugnaverit, ei multam facit ».

ἦν αὐτῷ κατὰ νοῦν κερδαίνειν ἐκ τούτου τὰ μέγιστα. Ἀλλ' εἰς κενὸν ἐπιχειρεῖν οἶδα τοῦτον, ἕως οὗ κατὰ νόμους ὑμᾶς καὶ τοὺς ὅρκους οὓς ὀμωμόκατε κρίνοντας βλέποιμι.

Τί τηνάλλως συκοφαντεῖς, καὶ ἔνδειαν μὲν τῇ πόλει προβάλλῃ τῶν ἀναγκαίων καὶ σπάνιν; σπάνιν δὲ δημοτικῶν πολιτῶν ἐργαζόμενος οὐ γινώσκεις. Ἂν γὰρ ἀκούσητε τούτου, κἀμὲ παραδῶτε ταῖς δίκαις, ἔστι καί τις ἄλλος ἐχθρὸς ἄλλῳ τῳ τῶν δημοτῶν, καὶ πάλιν ἄλλος ἑτέρῳ, καὶ ἕκαστος ἕκαστον προβαλεῖται ὅτου τύχῃ ἐγκλήματος. Καὶ λοιπὸν πολλοὺς ἀποβαλεῖτε μάτην τῶν πολιτῶν. Εἰ δ' ἐπ' ἐμοὶ τὰ τῆς συκοφαντίας σταθήσεται, ἐφησυχάσει καὶ πᾶς τις ἄλλος κακός, καὶ οὐδὲν πρᾶγμα μὴ[1] πάντας ἐν ἡσυχίᾳ καὶ γαλήνῃ τῇ προςηκούσῃ γίνεσθαι.

Κεφάλαιον τῶν λόγων[2].

Σὺ μὲν ἴσως, οὐκ οἶδ' ὁπόθεν, τοὺς ἐμπόρους ἀπαγορεύεις φανῆναι, καὶ μηδ' ἂν εἴ τι καὶ γένοιτο[3] ἰδεῖν ἡμᾶς ἰσχυρίζῃ ναῦς ἐν λιμέσι τοῖς ἡμετέροις ἀλλοδαπάς· ἐγὼ δὲ καὶ μάλα πολλὰς καὶ φορτηγοὺς ἀπεκδέχομαι. Οὐκ ἀεὶ φόβος καθέξει τὰς ἐκείνων ψυχάς· ἀποθήσονται τὴν δειλίαν. Δυςαπάλλακτον τὸ σύνηθες ἔργον. Ἀκούσονται τὰ ἡμέτερα, γνώσονται τὴν σπάνιν τῶν ἀναγκαίων· δραμοῦνται πρὸς κέρδος ἕτοιμον. Οὐκ ἀεὶ χειμὼν καὶ ζάλη καὶ κλύδωνες· ἔαρ ἔσται. Ἐπιβαλοῦνται καὶ πάλιν τῷ πλεῖν, καὶ αὖθις ἀπ' ἄλλων[4] ἄλλοι συνέλθοιεν, καὶ ἄλλοι τὰ ὅμοια δράσουσι, καὶ τοὺς λιμένας ἡμῶν πληρώσουσι μὲν νεῶν, πληρώσουσι δὲ καὶ παντοίων τῶν ἀγαθῶν. Καὶ πάλιν, θεῶν θελόντων, ἐν ἀφθονίᾳ τῶν ἀναγκαίων ἡ πόλις ἐσεῖται[5], καὶ χαρᾶς ὁ δῆμος ἡμῶν πληρωθήσεται. Καὶ τότε, εἰ μὲν βούλονται, κατασπάτωσαν τὴν εἰκόνα· εἰ δ' οὖν, ἀλλ', ὃ ἐξ ἐκείνης[6] ἔχουσιν, ὄφελος πάντως μενεῖ, καὶ τὸν ζωγράφον, ὡς εἰκός, ἐπαινήσετε.

[1] Sic codex.

[2] Libanius eadem formula t. IV, p. 446 : Κεφάλαιον τῶν εἰρημένων· νῦν αἵρεσις ἐστὶν ὑμῖν ἀκολασίας καὶ δόξης. Præibat Isocrates Nicocle, § 14. Sic rursus Noster Declamatione V extrema.

[3] Eadem formula p. 33, n. 2.

[4] Fortasse ἐπ' ἄλλων.

[5] De ἐσεῖται p. 40, n. 1.

[6] Inserui ὅ.

ΜΕΛΕΤΗ Δʹ.

Στρατηγὸς πυρπολήσας τὰς ναῦς[1] ὡς ἔξω χρείας δοξάσας[2], καὶ διὰ ταῦτα νικήσας, κρίνεται δημοσίων ἀδικημάτων[3]. Μελετῶμεν[4] τὸν φεύγοντα.

Ἐγὼ μὲν[5] καὶ γέρας ὑπελάμβανον, ἄνδρες, ἐπὶ τοῖς πεπραγμένοις κομίζεσθαι, καὶ τὴν τοῦ κήρυκος φωνήν, τὴν ὑμᾶς συνήθως συλλέγουσαν, ᾤμην εἰς βουλευτήριον ἄγειν τοῦ[6] πῶς ἐμὲ προςῆκον δωρεῖσθαι καὶ ποίοις τοῖς ἀγαθοῖς, τῆς νίκης ἕνεκα τῆς παρούσης, βουλευσομένους, ὡς τὸ εἰκός. Καὶ γὰρ οὕτως ἦν[7] ἐμοὶ σκοπουμένῳ ἐπὶ πλεῖστον χρόνον συγκεκλεισμένους ὑμᾶς καὶ μηδὲ τῶν οἰκιῶν δυναμένους προκύπτειν, μὴ ὅτι δὴ πόλεως, διὰ τοὺς κάκιστ' ἀπολουμένους πολεμίους, ἐπειδὴ θεὸς δίδωσι κἀγὼ περιῆν τῶν ἐχθρῶν, μόλις ἰδόντας ἐλεύθερον φῶς καὶ τῶν δυςχερῶν ἀπαλλαγέντας, κρίνοντας τῶν εἰκότων τὸν αἴτιον τῆς νίκης εὐεργετεῖν (καὶ γὰρ οὕτως ἦν, καὶ ἐχρῆν), πρῶτον ἀνοιγνύναι τὸ βουλευτήριον, καὶ βουλεύεσθαι μὲν πῶς ἂν ἀξίως ἀμείψασθε τοὺς θεούς, τῆς εἰς ὑμᾶς εὐεργεσίας ἕνεκα, βουλεύεσθαι δὲ καὶ πῶς τῷ μετὰ θεοὺς αἰτίῳ τῆς νίκης ἐμοὶ ἐκ τῶν δυνατῶν[8] φανεῖσθε εὐγνώμονες. Ἐπειδὴ δὲ οὔπω καλῶς ὑμεῖς μὲν ἀνεπνεύσατε τῶν ἐκ τῆς πολιορκίας δεινῶν, ἐγὼ δὲ τῶν ἐπὶ τοῖς πολέμοις καμάτων, καὶ εὐθὺς ὁ βάσκανος οὗτος (οὐκ οἶδα ποίαις προφάσεσι κινηθεὶς καὶ τί παθὼν ἐξ ἐμοῦ, εἰ μὴ ἣν πάντες θρυλλεῖτε νίκην καὶ ἐλευθερίαν τῆς πόλεως, καὶ οὐκ οἶδα εἰ δάκνει τοῦτον αὐτή) πρῶτος

[1] Schol.: στάσις.

[2] Schol.: ἀντίστασις.

[3] Vide p. 41, n. 2, de δημοσίοις ἀδικήμασι.

[4] Μελετῶμεν] vide p. 1, et Decl. VI.

[5] Schol.: ἐκ περιουσίας τὸ προοίμιον.

[6] Cod., τοῦ. Scilicet βουλευσομένους περὶ τοῦ πῶς....

[7] Οὕτως ἦν, scilicet εἰκός. Et statim οὕτως ἦν, fort. τῶν εἰκότων.

[8] Formulam ἐκ τῶν δυνατῶν vidimus jam p. 24, 2; et sæpius sic loquetur. Thucydides, 2, 3: ἐπεὶ δὲ ὡς ἐκ τῶν δυνατῶν ἕτοιμα ἦν. Noster dixit τὰ δυνατά, scilicet κατὰ τὰ δυνατά, p. 18, 6; 63, 25, et infra; κ. τὸ δυνατόν, p. 51, 1.

τὰς τοῦ δικαστηρίου πύλας ἀράσσει καὶ τοὺς ἐμὲ κρινοῦντας ἅπαντας συγκαλεῖ.

Ἐγὼ μέν, νὴ τοὺς ἐλευθερίους θεούς, ἐξίσταμαι πρὸς τὸ πρᾶγμα, καὶ ἄλλος ἐξ ἄλλου γίνομαι, καὶ εἰς ὑμᾶς βλέπω πῶς ἂν τὰς κατ' ἐμοῦ κατηγορίας, τοῦ τῶν κοινῶν φροντίζοντος, τούτου[1] δέχοισθε. Κἀπειδὴ οὐδὲν οὕτως ἀναγκαῖον ὑμῖν ὡς τὸ ζητεῖν τὰ τῆς πόλεως, μή πού τι λαθὸν βλάψοι καὶ δόξαν συμφέρον πολλάκις ἄλλο τι φανείη προϊόντος καιροῦ, δέχεσθαι μὲν τὰς κατηγορίας καὶ τοῦ τυχόντος, καὶ ζητεῖν καὶ κρίνειν οὐ μέμφομαι· ἀξιῶ[2] δὲ κατὰ τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρεῖν, καὶ μὴ ἁπλῶς τοῖς λόγοις προσέχειν, δίχα τῆς τῶν πραγμάτων ἕξεως. Οὕτω γὰρ ἂν καὶ τὸν ὑπαίτιον μὲν ἀφῆτε πολλάκις, τὸν δ' ἀναίτιον κατακρίνητε. Λόγος γὰρ αὐτὸς καθ' αὑτὸν λεγόμενος, πραγμάτων γυμνός, οὕτως ἔχει τοῖς κρίνουσιν ὥςπερ ἂν εἰ καὶ ζῷον δίχα ψυχῆς τοῖς ὁρῶσι προκέοιτο.

Ὁ μὲν[3] οὖν παρὼν ἀγών, ὦ ἄνδρες πολῖται, δεινὸς καὶ πολὺ δυςχερὴς ἀνύσαι, ἢ[4] ὃν ἠγώνισμαι κατὰ πόλεμον. Ἐκεῖσε γὰρ τὸ ὑπὲρ τῆς πατρίδος δοκεῖν ἀγωνίζεσθαι, καὶ τὸ δόξαν ἔχειν ὡς ἀποδειχθήσομαι τοῖς πολίταις, κἂν κατορθώσω κἂν μή, ὅλον ἠρέθιζέ με πρὸς τὸ πονεῖν· ἐνταῦθα δέ, χωρὶς τοῦ καὶ μηδὲ πεῖραν ἔχειν πρὸς κατηγόρους ἐφ' ὑμῶν[5] παρατάττεσθαι, πῶς ἂν καὶ μεθ' ἡδονῆς ἀγωνίσωμαι; Εἰ μὲν γὰρ κατορθώσω, τί πλέον ἔσται τῷ στρατηγῷ παρ' ὑμῶν, εἰ μὴ τὸ δεινὴν κατηγορίαν ἀποσκευάσασθαι, καὶ χάριν ἔχειν εἰ σέσωσμαι· εἰ δ' οἷα καὶ πολλάκις γίνονται δόξει τισὶ[6] καὶ οὐχ ἁπάσαις[7] αἱρήσω, τί ἂν καὶ γένοιτο αἴσχιον, στρατηγὸν μετὰ τὴν νικὴν εὐθύνεσθαι, καὶ νίκης αἴτιον

[1] Distinxi ante τούτου, quod pronomen jungendum cum κατηγορίας.

[2] Schol.: ἀξίωσις.

[3] Schol.: δεύτερον προοίμιον ἐξ ὑπολήψεως τοῦ προςώπου.

[4] Ellipsis fit adverbii μᾶλλον, quod est consuetum.

[5] Codex, ἡμῶν.

[6] Legerim, εἰ δ', οἷα καὶ πολλάκις γίνονται, δόξει τισὶ [κατακρίνειν ἐμέ], καὶ οὐχ ἁπ. Vel poterit intermissio fieri sententiæ, oratore ex industria verbum ominosum devitante : .... δόξει τισί— καὶ οὐχ ἁπ.

[7] Ἁπάσαις] scilicet ψήφοις. Aristides Orat. 46, p. 287 : οἶμαι δὲ κἂν ἐν θεῶν δικαστηρίῳ Μιλτιάδην κρινόμενον ἁπάσαις ἀποφυγεῖν. Vide ad Decl. XI.

τοῖς πολίταις παρ' αὐτῶν κατακρίνεσθαι; Καὶ ἤθελον μὲν τότε μὴ ἔκπυστον γενέσθαι τὸ γεγονὸς μηδενί· εἰ δ' οὖν, ἀλλὰ μὴ τοῖς πολεμίοις ἐκείνοις καθ' ὧν ἠγώνισμαι· οὐ γὰρ τὸ ἐμὸν μέγα, ἂν κατάκριτον τὸν νικήσαντα πύθωνται, ἀλλ' ἀδοξία τῇ πόλει μεγάλη. Καὶ τάχα φήσουσιν ἄλλοι, ὡς ἀνέπνευσαν οἱ ἡττηθέντες[1]· « Ἔστι κἀν τῇ πόλει μερὶς ἐκείνοις, καί τινες βούλονται παραμυθεῖσθαι τῆς ἥττης αὐτούς· καὶ ὃν οὐκ αὐτοῖς ἐξεγένετο ἐπὶ τῶν δεινῶν ἐκείνων ἀμύνασθαι, ἐπ' εἰρήνης οἱ παρ' ἐκείνου εὐεργετηθέντες ἀμύνονται». Ταῦτα δὲ πάντα ὁπόσον ἐλευθέρᾳ πόλει λυμαίνονται ἀγνοεῖ τῶν ἁπάντων οὐδείς.

Ἐμὲ δ' ὅμως[2], εἰς ἀπολογίαν καταστάντα, δίκαιόν ἐστι μικρὸν ἄνωθεν ὑπομνῆσαι ὑμᾶς ὡς κατ' ἐκεῖνον τὸν χρόνον εἶχε τὰ πράγματα, ἵνα πρὸς ἐκεῖνον ἕκαστα θεωρῆτε καὶ μὴ τηνάλλως παρὰ τοῦ χρηστοῦ τούτου καὶ φιλοπόλιδος παραφέρησθε.

Πλεονέκτημα[3], ὦ ἄνδρες, πλεονέκτημα γέγονεν, οὐκ οἶδ' ὁπόθεν, τῇ πόλει ἀνδρῶν — τί ἂν καὶ φῶ; — ἀλλ' οὖν ἐπηρεάζειν θελόντων τοῖς πολιτευομένοις ἐπίτηδες, καὶ γράφεσθαι καθ' ἑκάστην αὐτούς· ὡς· « Οὗτος, στρατηγῶν, τοῖς ἐχθροῖς μᾶλλον ἢ ἡμῖν ἐστρατήγησεν· ἄλλος, δημηγορῶν, πρὸς τἀργύριον καὶ τὸ τοῖς ἐναντίοις δοκεῖν ἔχειν καλῶς ἐφθέγξατο· ἄλλος, σύμβουλος ὤν, οὐχ ὥςτε καὶ συνενεγκεῖν τῇ πόλει, ἢ ἑκὼν ἢ ἄκων, τὸ συμβουλευόμενον εἶπεν· ἄλλος, πρεσβεύων, τὴν πατρίδα δώρων προήκατο· καὶ ἄλλος ἄλλο τι εἰς κακὸν τῆς πόλεως ἢ εἶπεν ἢ ἔπραξε ». Ταῦτα γὰρ ὁσημέραι ἠκούοντο, καὶ εἰς οὐδὲν ἄλλο ἐνηυκαιροῦμεν[4], ἢ λεγόντων αὐτῶν ἀκούειν καινὰ κατὰ τῶν πραττόντων τὰ τοῦ κοινοῦ.

Εἶτα τί; φόβος εἰςῄει τοὺς πολιτευομένους δεινὸς καὶ δειλία ἥκιστα φορητή, εἰ αὐτοὶ μὲν νύκτωρ καὶ μεθ' ἡμέραν ταλαιπωροῖντο καὶ τῆς τῶν ἄλλων ἀνέσεως τὴν σφετέραν σπουδὴν παρα-

[1] Codex, ἀνέπνευσαν οἱ ἡττηθέντες ἀνέπνευσαν.

[2] Schol.: προκατάστασις.

[3] Schol.: κατάστασις.

[4] Utitur hoc verbo Pachymeres De Mich. Palæol. 2, 10: τότε δ' ἐνευκαιρήσας...., et nomine nondum in lexica recepto ἐνευκαιρία De Andr. Palæologo, 1, 35, p. 101, 16: ταῖς παρ' ὑμῶν αὐτῶν, ὡς εἰπεῖν, ἐνευκαιρίαις· « occasionibus quas vos ipsi, ut ita dicam, præbetis ».

βάλλοιντο καὶ τοὺς πόνους, ἐκεῖνοι δὲ οὐχ ὅπως χάριν ἔχοιεν, ἀλλὰ καὶ ἐγκλήματα κατ' αὐτῶν σχεδιάζοιεν ἧττον τούτοις προςήκοντα· καὶ δὴ οὔτ' ἐκείνους εἰδότες σιγήσοντας ἅπαξ εἰς τοῦτο καταστάντας, καὶ εὐνοεῖν δοκεῖν πειρωμένους ὑμῖν εἰ κακῶς λέγοιεν τοὺς πολίτας, οὔθ' ὑμᾶς ἐφέξοντας[1] τούτους, εἰ καὶ προφανῶς αὐτῶν τὸ ψεύδεσθαι καταγνοίη τις.

Τοῦτο γὰρ τρόπος δημοτικῆς πολιτείας, ἐφιέναι λέγειν ὅ τις καὶ βούλεται, καὶ κρεῖττον ἡγεῖσθαι ἀκούειν καὶ τὰ ψευδῆ, ἵνα μέσον ἐκείνων[2] καὶ τἀληθὲς εὑρίσκοιτο, ἤ, καταγινώσκοντας ψεύδους τοὺς λέγοντας, μὴ προςέχειν, καὶ ἀπολλύναι πολλάκις τὸ ἀληθές.

Διὰ ταῦτα μελέτης ῥαθυμοῦσι πολιτικῆς, καὶ καθ' ἑαυτὸν ἕκαστος ἐμελέτησε ζῆν, καὶ σπάνις ἐντεῦθεν τῶν πολιτευομένων, καὶ ἀταξία καὶ σύγχυσις τοῖς κοινοῖς. Ἐντεῦθεν τοῖς ἐναντίοις γίνονται δῆλα τὰ καθ' ἡμᾶς. Αἱ γὰρ μεγάλαι καὶ περιφανεῖς πόλεις φύσιν ἔχουσι μὴ ἀγνοεῖσθαι, κἂν ὅ τι καὶ πράττοιεν, τρόπον λαμπτήρων τηλεφανῶν μεγίστων, πρῶτον αὐτῶν βλεπομένων μακρόθεν ἢ οἷς ὁρᾶσθαι παρέχουσι.

Καὶ οἱ ἕως τότε ὥςπερ τινῶν ἱερῶν ἀναθημάτων τῶν ἡμετέρων ἀπέχοντες διὰ τὸν ἁπανταχόθεν συνασπισμὸν καὶ οἷς τὴν πόλιν ἐπολυώρουν[3] οἱ πολιτευόμενοι, τούτων ὑποχωρησάντων τοῦ μέσου διὰ τὴν τῶν δείνων ἐπίθεσιν, ὠλιγώρουν ἡμῶν. Καὶ καθ' ἑκάστην ἠγγέλλετο, νῦν μὲν ὡς περικάθηνται τόδε τὸ φρούριον, νῦν δὲ ὡς τόδε κατείληπται· καὶ αὖθις, νῦν μὲν τήνδε τὴν χώραν κατατρέχουσι, νῦν δ' ἐκείνην, καὶ ἐπ' αὐτῇ ἄλλην. Καὶ πλείους ἔχομεν τοὺς ἀγγέλλοντας τὰ δεινά, ἢ τοὺς περὶ τῶν δεινῶν βουλευσομένους, καὶ πλείους τοὺς παρέχοντας φόβον ἢ τοὺς ὅπως ἂν τῶν φόβων ἀπηλλαγείημεν λέγοντας. Τέλος τὰ κύκλῳ καταστρεψάμενοι, καὶ θάῤῥος λαβόντες μέγιστον, κατατολμῶσι τῆς μητροπόλεως, καὶ πλεῖστον ὅσον συναγηοχότες λαὸν ἄξιον καὶ πολέμου καὶ μάχης, τοὺς μὲν κατὰ γῆν, τοὺς δ' ἐπὶ τῶν νηῶν, τῇ πόλει προςβάλλουσιν.

[1] Codex, ἐφέξονται.

[2] De μέσος cum genitivo p. 43, n. 3.

[3] De verbo πολυωρεῖν monitum fuit p. 11, n. 6.

Ὁπόσα γοῦν ἐντεῦθεν τὰ δυςχερῆ τῇ πόλει γεγόνεισαν, καὶ οἵοις συνειχόμεθα τοῖς δεινοῖς, εἰ λέγοιμι νῦν, οὐδὲν ἄλλο ἢ πάλιν ὑμῖν περιστήσω πολιορκίαν τοῖς λόγοις, καὶ τὰ δεινὰ ἐνέγκω πρὸ ὀφθαλμῶν, καὶ φέρων ἄξω παρὰ τοὺς κινδύνους ὑμᾶς. Τάχα δ' εἰς χάριν καὶ τῷ κατηγόρῳ γενήσεται, εἰ, ὃν ἤλπισε τρόπον αἱρήσειν διὰ τοῦ κίνδυνον ἐπισείειν τῇ πόλει καὶ φόβον, ὅτι πυρὸς ἔργον νῆες γεγόνασιν, ὡς μὲν ἐγὼ λέγω, μὴ ὅπως χρησιμεύουσαι πρὸς τὴν χρείαν, ἀλλὰ καὶ βλάπτουσαι, ὡς δ' αὐτός, ὡς οὐκ ἄλλως ἐνὸν σωθῆναι μὴ τούτων οὐσῶν, καὶ διὰ τοῦτο φοβῶν ὑμᾶς, ἄλλην πολιορκίαν ἱστάς· εἰ, τοῦτον οὖν τὸν τρόπον καὶ αὐτὸς ἐπίτηδες, λέγων τὴν συμβᾶσαν πολιορκίαν καὶ τὰ ἐκεῖθεν δεινά, ταράττω τὰς ὑμετέρας ψυχάς, καὶ πόλιν πᾶσαν εἰς εὐθυμίαν ἐνδοῦσαν, καὶ θάῤῥος ἔχουσαν ὡς καὶ τῶν δεινοτάτων περιέσται σὺν βοηθείᾳ θεῶν, ἂν ὀλίγοι μιμήσωνται τὴν ἐμὴν εὔνοιαν, ταύτην πάλιν εἰς ἀμηχανίαν περιϊστῶ καὶ φόβους πολέμων τῶν μὴ παρόντων, ἀλλὰ μηδ' ἐσομένων, ὡς ἐγὼ πέποιθα.

Ὅμως ἐπειδὴ ὥςπερ νέφος ποθὲν ἐξ ἀγρίας λαίλαπος συναχθὲν τῇ πόλει τὸ δεινὸν ἐπέστη, καὶ ἔδει σκοπεῖν ὑμᾶς ᾧ δὴ τὰ τῆς πόλεως πράγματα ἐγχειρήσοιτε, καὶ ὃν ἐπὶ τοῦ πολέμου καταστήσοιτε στρατηγὸν μετ' ἀκριβοῦς ἐρεύνης εὑρεῖν, ἄλλος μὲν ἄλλον προὔβάλλετο, καὶ ἄλλος ἄλλως, καὶ τοῦτον ἢ τοῦτον ἕτερος (οὐδὲ γὰρ ἀμοιρεῖ σὺν θεοῖς ἀγαθῶν ἀνδρῶν ἡ πόλις[1] ἡμῖν)· πλήν, τοὺς ἄλλους παραδραμόντες, ἐμὲ καὶ μόνον ἐπὶ τῶν πραγμάτων φέροντες κατεστήσατε.

Ὡς δ' ἀπεδυςπέτουν ἐγώ, οὐχ ὅτι μὴ θέλων τὰ δυνατὰ συναίρεσθαι τῇ πατρίδι, ἀλλ' ὅτι σφοδρῶς ἀγωνιῶν μή πως, πολλὰς ἔχοντος τοῦ πολέμου καινοτομίας, ἐμοῦ τι πρὸς τὸ παρὸν χρήσιμον ἐξ ἀνάγκης καινοτομήσαντος ἐφ' ᾧ συνοίσει τοῖς ἐν τῇ πόλει, ἐπιλάβωνταί τινες, καὶ λαβὰς εὑρόντες κατηγορῶσι τοῦ καὶ ἐςδεῦρο μηδὲν ἐγκληθέντος παρ' οὐδενός· « Μὴ δέδιθι, ἄνερ », εἶπον

[1] Eadem sententia eisdem verbis Declamatione VI : *οὐδὲ γὰρ ἀμοιρεῖ σὺν θεῷ τούτων ἡ πόλις ἡμῶν*. Chariclea Heliodori, 1, 23 : *τό τε θεοῖς ἀνακειμένην.... προφητῇ συνοικεῖν, οὐ παντάπασιν ἔοικεν εἶναι τῆς ἐκ τοῦ θείου κηδεμονίας ἄμοιρον*. Codex Venetus, *ἀμοιρούσης*. Nec hoc contemnendum.

ἡ πόλις « μὴ δέδιθι· στρατηγόν σε χειροτονοῦμεν κύριον τῶν πραγμάτων, καὶ οἷον ἂν Ῥωμαῖοι αὐτοκράτορα εἴποιεν. Σοὶ μελήσει καὶ τῶν ὄντων καὶ τῶν οὐκ ὄντων, καὶ τηρήσεις καὶ παρενέγκῃς ἅτε φυλακτέα σοι δόξει καὶ ἃ μή ».

Ἀλλὰ τί τοὺς τότε λόγους παρειςκυκλῶ, ἐχόντων ὑμῶν μαρτυρεῖν, ἐφ' οἷς ἐπιστοῦσθε τὴν ἐφ' ἅπασιν ἐξουσίαν, μονονοὺκ αὐταῖς χερσὶ ταῖς ὑμετέραις εἰς αὐτὰς τὰς ἐμὰς χεῖρας ἐμβάλλοντες τὰ τῆς πόλεως;

Τί τὸ ἐντεῦθεν; παραλαμβάνω τοὺς στρατιώτας ἐγώ, ταὐτὸν δ' εἰπεῖν[1] καὶ τὰ τῆς πόλεως πράγματα. Ἐξέρχομαι, παρατάττομαι. Βλέπω τοὺς πολεμίους διχόθεν βάλλοντας, κἂν ἐπεχείρουν τῷ ναυμαχεῖν, γῆθεν δῃοῦντας τὰ κύκλῳ, κἂν ἐπὶ γῆς ἤθελον μένειν καὶ πρὸς τοὺς ἔξω πεζομαχεῖν, οὐδὲν ὃ μὴ ἀπολλύντας τῶν κατὰ θάλατταν. Διπρόςωπον ἄν τις εἶπε τὴν μάχην ἐκείνην, καὶ διπροςώπων ἀνδρῶν, ὁποῖον τὸν Ἑρμῆν Αἰγύπτιοι πλάττουσι[2], χρήζουσαν, πλὴν ὅσον οὐ διπλῆν ἐχόντων ἰδέαν[3] γέροντος ἅμα καὶ νέου, ἀλλ' ἀμφοῖν γερόντων καὶ νέων τόσων. Ἔδει γὰρ οὐ θατέρᾳ τῇ μάχῃ, τῇ μὲν ἀνδρείας, τῇ δὲ συνέσεως, ἀλλ' ἀμφοτέραις ἀμφοῖν. Τότε γοῦν βουλῆς ἔδει θεόθεν ἡμῖν, πῶς ἂν διάθωμαι τὰ κατὰ τὸν διπλοῦν ἐκεῖνον πόλεμον.

Θεόθεν τοίνυν — πόθεν γὰρ ἄλλοθεν; — ἐπῄει μοι γνώμη μονοπρόςωπον τὴν μάχην καθ' ὅσον οἷόν τε ἀπεργάσασθαι.

Εἰ μὲν γὰρ καλῶς εἶχον τοῦ πολεμάρχου λαοῦ, ὡς ἅμα μὲν χρᾶσθαι ναυσίν, ἅμα δὲ καὶ πεζῇ μάχεσθαι, οὐδ' οὕτως εἶχον ἂν ἀσφαλῶς μάχεσθαι. Οὐδὲ γὰρ ἦν τὸν στρατηγὸν μερίζεσθαι κατ' ἀμφότερα, καὶ νῦν μὲν κατὰ θάλατταν μάχεσθαι, νῦν δὲ συμπλέκεσθαι τοῖς πεζοῖς· ἑτέροις δὲ πάλιν ἐγχειρίζειν ἀρχήν, ἧς ὑπεύθυνος μόνος ἐγώ, ἥκιστα τῶν δεόντων ἐδόκει μοι. Ὅμως — πολλοὶ γὰρ ἦσαν καὶ ἱκανοὶ ἐξηγεῖσθαι — τὸ τῶν στρατιωτῶν ὀλίγον προςίστατο, καὶ παρίστατό μοι τὸ ἄπορον. Ἑώρων δὲ

[1] Formula ταὐτὸν δ' εἰπεῖν usus est jam p. 31, 26. Sic Hist. Mich. Palæol. 6, 23, p. 478, loco difficili.

[2] Quis veterum Mercurium illum Ægyptium bifrontem memoraverit non memini. Cf. tamen Naz. t. II, p. 143, 1.

[3] Cod., ἔχ. τὴν θέαν, et deletis vocabulis τ. θ., ad marginem rescripto ἰδέαν.

κἀκείνους μὲν καὶ πλέον βλάπτοντας κατὰ γῆν ἢ κατὰ θάλατταν, τοὺς δ' ἡμετέρους μᾶλλον τῶν νηῶν ἐχομένους· κἂν εἴ τι καὶ ἔπραττον, ἀφιστᾷν τούτους ἐκεῖθεν οὐκ ἴσχυον, ἀλλ' ἄνω καὶ κάτω ἀπελογοῦντο[1] αἱ νῆες καὶ τὸ θάῤῥος τῆς πόλεως· καὶ δέος μὴ ἀποστάντων τὸν στόλον ἅπαντα πυρπολήσωσιν. Ἐντεῦθεν ἤργουν ἐγώ, καὶ κατὰ γῆν μὲν οὐκ ἴσχυον πολεμεῖν, ναυσὶ δὲ χρᾶσθαι καὶ πολεμεῖν οὔτ' ἀσφαλὲς ἐδόκει, πολλῶν ἐκείνων οὐσῶν, καὶ ἄλλως ἀνόνητον.

Τριβομένου τοιγαροῦν τοῦ καιροῦ[2], καὶ ἐγκρατῶν ἐκείνων γενομένων τῆς γῆς, βλέπων ὡς οὐδὲν ἄλλο κατορθοῦμεν ἡμεῖς ἢ τὸ φυλάττειν τὰς ναῦς, καὶ τὴν ἀσχολίαν ἐκείνην θέλων κωλῦσαι ὡς μηδὲν ἔχουσαν χρήσιμον, ἀλλὰ μᾶλλον καὶ βλάπτουσαν· (ἕως γὰρ πότε καὶ προςηδρεύομεν ταύταις[3]; ἢ πάντως ἕως οὗ καὶ ἡ πόλις ἡμῶν ἁλῷ;) κἂν ἀποστῶμεν, πάλιν ἐξ ἀνάγκης ἦν πυρποληθῆναι τὰς ναῦς, καὶ πρὸς τῇ ἥττῃ καὶ αἶσχος μέγα προςτριβῆναι τῇ πόλει· ταῦτα βλέπων ἐγώ, καὶ μηδὲν ἄλλο πρᾶξαι δυνάμενος, ἐπεὶ καί τινας ἑώρων — καὶ οὐ κακίας ἔνδειξις τὸ λεγόμενον, ἀλλ' οὕτως ἔπειθεν αὐτοὺς ποιεῖν ὁ καιρός — θαῤῥοῦντας αὐταῖς εἰςφυγεῖν, διὰ ταῦτα μιμοῦμαι τοὺς ἰατρούς, οἵ, δεινοῦ τινος τοῖς ἄρθροις ἐνσκήψαντος ὥςτε καὶ νεκρῶσαι ταῦτα, θέλοντες περιποιεῖν τὸ συνεχὲς ζῶν, μαχαίρᾳ τὸ νεκρὸν ἀποτέμνουσιν[4]. Οὕτω κἀγώ. Ἀποκόπτω τὸ μηδὲν χρησιμεῦον, καὶ φθάνω πράξας ὅπερ οἱ ἐναντίοι ἐξ ἀνάγκης ἐποίησαν ἄν, εἰ ἐκεῖθεν ἀπέστημεν, καὶ ὅ, πρὸς τὸ μὴ παθεῖν τοιαύτην αἰσχύνην, κώλυμα ἦν πάντως πάσης πολεμικῆς πράξεως.

Ἅμα τοιγαροῦν τῷ τὸ πῦρ κατασχεῖν ἐκείνας, οἱ ἐν ταῖς τῶν

[1] Codex sic, ἀπελογοῦντο. Esse videtur pro ἀπηγόρευον, ἀπεῖπον.

[2] Eodem sensu usus est verbo τρίβεσθαι Pachymeres Hist. Mich. Palæologi, 6, 8 : ἐτρίβοντο μὲν οὖν ἐντεῦθεν τὰ πράγματα, ἄλλην δ' ἀπαλλαγὴν τῶν κακῶν οὐκ ἦν ἐλπίζεσθαι, εἰ μὴν τοῦ βαρβάρου ἀπαλλαγήν. Pro εἰ μήν conjecit editor vir d., ἢ τήν. Propono εἰ μή. Articulum commodius reddetur alii loco 1, 3, p. 15, 12 : Πέρσαις.... ἀμελούμενα ἦν, προςδοκίαν παρεῖχεν αὐτοῖς. Omissum nunc est ἦν, quæ syllaba ne prorsus pereat, propono τὴν προςδοκίαν. In codice loci hujus diversa est recensio.

[3] Feci interrogationem hic, et mox post ἁλῷ.

[4] Cic. Phil. 8, 5 : « in corpore si quid ejusmodi est quod reliquo corpori noceat, uri secarique patimur, ut membrorum aliquod potius quam totum corpus intereat ».

ἀντιπάλων ναυσί, τοῦτο μὲν ἀποκαραδοκήσαντες, ὅσον εἰς τὴν κατὰ τῶν νηῶν ἐπιχείρησιν, τοῦτο δὲ καὶ δείσαντες περὶ τοῖς ἐκτός, ἀποβαίνουσι κατὰ γῆν, καὶ εἰς μάχην κραταιὰν παρατάττονται. Καὶ τότε οἱ καθ' ἡμᾶς ἀνδρίζονται πλέον, τὸν τῶν νηῶν ἀποθέμενοι φόβον, καί, ὥςπερ ἐξ ἑνὸς συνδραμόντες συνθήματος[1] καὶ συστάντες, ἔδειξαν ὄντες πολῖται, καὶ θανεῖν ὑπὲρ τῆς πατρίδος δεῖν ἡγούμενοι ἕκαστος. Καὶ τρέπονται μὲν τοὺς πολεμίους αὐτίκα, πλείστους δὲ καταβάλλουσι, καί, κατὰ κράτος νικήσαντες, ἐλευθεροῦσι μὲν τῶν δεινῶν τὰς χώρας, ἐλευθεροῦσι δὲ καὶ τὴν πατρίδα τῶν δυςχερῶν. Καὶ νῦν ὅσοι τὴν σπάθην πεφεύγασιν ἐν εἱρκταῖς εἰσὶ καὶ δεσμοῖς, καὶ οὐδ' ἄγγελος ἔσχε τοῖς ἰδίοις ἀνασωθῆναι[2]. Ἡ δὲ πόλις ἐν ἀδείᾳ πάσῃ καὶ ἐλευθερίᾳ καὶ θυμηδίᾳ, καὶ πανταχοῦ μὲν θυσίαι θεοῖς καὶ παιᾶνες[3], πανταχοῦ δὲ φήμη τῷ στρατηγῷ.

Μόνος[4] δ' οὗτος, οὐκ οἶδα τί παθών, πρὸς τὴν νίκην δυςχε-

[1] Proprie ac translate dicitur ἐξ ἑνός, vel ἀπὸ ἑνὸς συνθήματος, ut latinum « dato signo ». Philo Legat. § 32 : ὥςπερ ἀφ' ἑνὸς συνθήματος συνταξάμενοι. Dicitur et sine ἑνός. Philostratus Her. p. 86 : ὥςπερ ἀπὸ ξυνθήματος· et ita Aristænetus, 1, 9; Theodorus Hyrtac., alii. Vide quæ annotavi ad Aristæn. p. 350, ad Anecd. Gr. t. III, p. 66; collatis Burdel. ad Heliod. p. 67; Jacobs ad Philostr. p. 499; Sinner. ad Greg. Naz. Cæsarium, p. 25.

[2] Ne nuntium quidem superesse παροιμιῶδές ἐστιν, monente Eustathio ad Il. 12, 73 : Οὐκέτ' ἔπειτ' δΐω οὐδ' ἄγγελον ἀπονέεσθαι Ἄψοῤῥον. Vide Stephani Thesaurum Did. sub Ἄγγελος extr. Amazonibus, quæ Atticam invaserant, οὐκ ἐξεγένετο, Lysias ait Epitaphio, p. 268, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε αὐτῶν δυςτυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν· αὐτοῦ γὰρ ἀποθανοῦσαι καὶ δοῦσαι δίκην τῆς ἀνοίας.... Narrat Diodorus Sic 11, 23, Gelonem Carthaginiensium exercitum ad internecionem delevisse, καί, τὸ δὴ λεγόμενον, μηδὲ ἄγγελον εἰς τὴν Καρχηδόνα διασωθῆναι. Tomyris Persarum cc millia cum ipso rege Cyro trucidavit; « in qua victoria » Justinus ait 1, 8. 12, « etiam illud memorabile fuit, quod ne nuntius quidem tantæ cladis superfuit ». Volsci apud Livium, 4, 10, a Tusculanis oppressi fuere, « vix nuntiis cædis relictis ». Mamertinus Paneg. 5, 4 : « Cuncti Chaibones.... tanta internecione cæsi interfectique sunt, ut exstinctos eos relictis domi conjugibus ac matribus non profugus aliquis e prælio, sed victoriæ tuæ gloria nuntiaret ». Ad quem locum cf. Wyttenb. Bibl. Crit. t. II, p. 19. Adde Wessel. ad Herod. 8, 6; Schott. ad Zenobii Adagium, 5, 34, οὐδὲ πυρφόρος ἐλείφθη quod huic simile est, fuitque a me illustratum in Notit. Mann. t. II, p. 113.

[3] Cod., παιάνες. Et sic exordio Declamationis VII, loco conferendo; et alibi. Respici videtur OEdipi T. initium : Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, Ὁμοῦ δὲ παιάνων.

[4] Schol.: προβολή.

ραίνει, καὶ δεινὰ ποιεῖ[1], καὶ ταράττει τὸν δῆμον καὶ τὰς ναῦς ἄνω καὶ κάτω θρυλλεῖ, καὶ κἂν εἴ τι καὶ γέγονεν ἂν ἀνεκτὸν[2] ἡγεῖται, κἂν ἀνετράπη τὰ θεμέλια τῆς πατρίδος, οὐδὲν νομίζει πρὸς τὴν τῶν νηῶν ἐκείνων πυρπόλησιν· « Αἱ νῆες » λέγων, καὶ « τὸ μάτην πυρποληθῆναι ταύτας », καὶ « ὁ στρατηγός » ἐμὲ λέγων « πρὸς τί κατέκαυσε ταύτας »; καὶ « μέγα ὄφελος τῇ πατρίδι ἀνῄρηται ».

Ἀλλ', ὦ 'τᾶν[3], τοῦτο μόνον δεῖ σκοπεῖν; ἢ καὶ μεθ' οἵας γνώμης γεγένηται; Πολλὰ πράττεται, καὶ γνώμῃ πράττεται πάντα, καὶ οὐ ματαίως, ὡς ἄν τις φαίη τῶν μηδὲν εἰδότων. Πάσης γὰρ πράξεως νοῦς καὶ σκοπὸς προηγεῖται· κἂν ἀνέλῃς τὴν γνώμην, κἂν τὸν σκοπὸν παρίδῃς, μόνην δὲ τὴν πρᾶξιν σκοπῇς, οὐκ οἶδα τί ἂν καὶ κατὰ τρόπον[4] ἐρεῖς, κρίνων τὰ πράγματα. Καὶ δὴ σκόπει καθ' ἕκαστον. Οὗτος ἀφείλετό με τὴν μάχαιραν· τυχὸν ἐγκαλέσεις. Οὗτος αὖθις ἠπάτηκεν, ὕδωρ δοὺς ἀντ' ἀκράτου νόσῳ δεινῇ προςπαλαίοντι. Τί γοῦν; κατακρινεῖ τούτους ὁ κρίνων εὐθύς, εἴ που τι καὶ συμφήσειαν; ἢ μᾶλλον ἔννοιά τις εἰςέλθοι τοῦτον[5] περὶ αὐτῶν, ὡς οὐκ ἂν συνομολογούντων, εἰ μή πως εἶχον λόγους εἰπεῖν ἀποσκευάζοντας σφῶν τὰ κατ' αὐτῶν ἐγκλήματα. Ἐμοὶ δὲ δοκεῖ ὡς καὶ πᾶσα ἀναιρεθείη ἀντιλογία, καὶ ὁ πρώτως λέγων ἐξ ἀνάγκης δικαιωθήσεται, εἰ μὴ γνώμη καὶ σκοπὸς πανταχοῦ κρίνεται.

Ἐροῦσι γοῦν οὗτοι, ὁ μέν· « Ἀφειλόμην ὄντως τὴν μάχαιραν· ἀλλὰ σκοπὸς ἐμοὶ ἐξαιρεῖσθαι κινδύνου τὸν ἔχοντα, ὅτι θυμοῖτο, καὶ ὅτι ζητοίη ἑαυτὸν αὐτουργεῖν, ὑβριοπαθῶν ἴσως ἢ καὶ μαινόμενος »· ὁ δ' ἰατρός· « ἠπάτηκα, ναί, τὸν νοσοῦντα, καί, ψυχρὸν ὕδωρ προςάγεσθαι δυςχεράναντα, ἄκρατον δὲ ποθοῦντα λαθών, ἀντ' ἀκράτου τὸ ὕδωρ προςήγαγον· καὶ ὁ σκοπός, ἵνα θεραπεύσω τὸν πάσχοντα ».

Τί λέγεις ὁ κρίνων σύ; ἀκούων τοιαῦτ' ἀπολογουμένους αὐτούς,

[1] Δεῖνα ποιεῖ] vide p. 39, n 1.

[2] Videtur rescribendum : θρυλλεῖ, κἂν εἴ τι καὶ γέγονεν, ἀνεκτόν.... Sic locutus est p. 65, 2. Cf. p. 58, n. 3.

[3] Schol.: διάνοια.

[4] Κατὰ τρόπον] vide p. 46, n. 4.

[5] Codex, τούτους. Scripsi τοῦτον, scilicet τὸν κρίνοντα.

καταγνώσῃ τοῦ μὲν ἁρπαγήν, τοῦ δ' ἀπάτην πρὸς τὸν πλησίον, ὅτι ταῦτ' ἔπραξαν; ἢ δώσεις καὶ ταῖς διανοίαις ἐκείνων λόγον τινά, καὶ οὐ ψιλὰς τὰς πράξεις κακίσεις, καὶ κατακρινεῖς τοὺς λέγοντας; Ἐγὼ μὲν οἶμαι· εἰ δικαίως κρίνοι τις, τὴν γνώμην ἀποδέξεται μᾶλλον ἢ τὴν πρᾶξιν κατακρινεῖ.

Τί γοῦν κἀν τοῖς παροῦσι, διϊστῶν τῆς γνώμης τὴν πρᾶξιν, κακίζεις, καὶ πολίτην εὔνουν τῇ πόλει, καὶ νικητήν, δύςνουν ἀποδεῖξαι σπουδάζεις μάτην, καὶ τὴν νίκην φαυλίζεις ὡς οὐδενὸς ἀξίαν, ὅτι, συμβάντος καί τινος ἐξ ἀνάγκης τῶν ἀβουλήτων, γέγονεν;

Ἐγὼ μὲν ἤθελον καὶ τὰς ναῦς σώζεσθαι τῇ πόλει· καὶ τὴν νίκην συμβῆναι, καὶ μηδεμίαν ἔχειν λαβὴν τὸν ἐχθρὸν κατ' ἐμοῦ· καὶ τοῦτ' ἦν μοι σπουδή, καὶ τοῦτ' εὐχή. Παρ' ἣν αἰτίαν καὶ βραδὺς ἐφάνην πρὸς τὴν μάχην ἐγώ. Φόβος γὰρ ἦν μοι δεινὸς καὶ ἥκιστα φορητός, οὐχ ὅτι, κἂν νικήσω, κριθήσομαι ἴσως, καὶ ἡ τῆς νίκης χαρὰ νοθευθήσεται (τοῦτο γὰρ οὐδ' εἰς νοῦν ἐπῆλθεν ἐμοί), ἀλλ' ὅτι μή πως, πυρὶ δοὺς τὰς ναῦς ἐλπίδι τῆς νίκης, ἀποτύχω καὶ ταύτης. Καὶ τί ἂν τοῖς πολίταις ἀπολογήσωμαι[1], εἰ, δέον καὶ τὰς ναῦς σώζειν, πρὸς τούτοις δὲ καὶ νικᾶν, ἐγὼ δὲ καὶ ζημίαν ἐπάξω τῇ πόλει, καὶ ἡττηθήσομαι πάλιν μαχόμενος; Οὗτος ὁ λογισμὸς ἐποίει με τρέμειν· οὗτος νωχελῆ πρὸς τὴν πρᾶξιν ἐδείκνυ. Καὶ εἴπερ εἶχον ἄλλως τὰ τοῦ πολέμου μεταχειρίζεσθαι, οὐκ ἂν εἰς κύβον τοιοῦτον ἐῤῥίπτουν τἀμά.

Ἐπεὶ δ' ἄλλως οὐκ ἦν πράττειν (καὶ σκοπεῖτε, παρακαλῶ[2]), μόνην τὴν Τύχην προστάτιν ποιοῦμαι, καί, παραθεὶς τὴν ἐμὴν ψυχήν, (τί γὰρ ἄλλο καὶ εἴποιμι;) ἐπιχειρῶ μετὰ τῆς Τύχης τῇ πράξει. Καί· « Εἰ μὲν νικήσω », λέγω, « ναῦς συστήσω καὶ συσκευάσω καὶ πλείους καὶ μείζους αὐτῶν· εἰ δ' οὖν, ἀλλ' ἢ πεσοῦμαι ἢ καὶ τὰς χεῖρας ἴσως ἐκφύγω τῶν πολεμίων. Καὶ τότε, εἰ μὲν συγγνώσονται οἱ τῆς πόλεως πρὸς τὸν ἐμὸν ἀπιδόντες σκοπόν· εἰ δὲ μή[3], μετὰ χαρᾶς δέξομαι τὴν ἐκείνων

[1] Codex, e correctione. Prius, ἀπολογήσομαι, quod cum ἂν potuit scribi. Sed parui correctioni. Cf. An. mea N. p. 116.

[2] De formula παρακαλῶ p. 80.

[3] De hac ellipsi vide quod monui p. 19, n. 4.

σφαγὴν[1] καὶ συμπεσοῦμαι τοῖς ἐν τῷ πολέμῳ πεσοῦσι, καὶ τάχα τύχης, ἀλλ' οὐ γνώμης ἕρμαιον γεγονώς, ἔξω ποτέ μοι καὶ τοὺς συγγνώσοντας ».

Ταῦτ' ἐνενόουν ἐγώ, καὶ οὕτως ἔπραττον μετὰ τῆς τύχης μᾶλλον τῆς πόλεως ἢ τῆς ἐμῆς. Καὶ δὴ νικᾷ τὰ τῆς τύχης, καὶ λαμπρὰ νίκη μετὰ θεῶν γέγονεν, ἣν οἴδατε πάντες, ἤ, μᾶλλον εἰπεῖν, ἧς ἀπολαύετε. Καὶ οὐδ' αὐτὸς ὁ κατήγορος, κἂν θρασὺς ᾖ καὶ πόῤῥω τοῦ δέοντος προπετής, ἄλλως ἐρεῖ, καὶ ὡς οὐ νίκη τῇ πόλει γέγονε· κἂν ὅ τι καὶ λέξειε. — Μᾶλλον δὲ πρὸς αὐτὸν ἐφ' ὑμῶν εἴπω[2].

Ὁρᾷς τὴν λαμπρὰν ταύτην νίκην καὶ τὴν στεφανηφορίαν τῆς

[1] Ἐκείνων σφαγή est σφαζόντων, non σφαγέντων. Nominum nonnullorum significatio fit pro re nata activa aut passiva. Thucyd. 1, 41 : πρὸς τὸν Αἰγινητῶν πόλεμον· bellum scilicet quod Æginetis infertur, non quod inferunt. Homerus Il. 1, 203 : ἵνα ὕβριν ἴδῃς Ἀγαμέμνονος· « injuriam ab Agamemnone factam ». T. Livius, 1, 13 : « Sabinæ mulieres quarum ex injuria bellum ortum erat ». Phædrus, 2, 8 : « Cervus, Ut venatorum fugeret instantem necem »; ὅπως ἂν ἐκφύγοι κυνηγετῶν σφαγήν. Erudite de hac syntaxi Gellius agit N. A. 9, 12. Videsis interpretes ad Phædri locum. Xenophon plena locutione Anab. 1, 2, 18 : Κῦρος δ' ἥσθη, τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών. Quod est Xenophonteæ consuetudinis, notante Wyttenbachio ad Selecta, p 370. Et gallicæ linguæ genitivus duplicem habet sensum. Racinii Andromache : « Dis-lui que de mon fils l'amour est assez fort ». Fénelon : « le respect de l'antiquité doit être grand ». J. J. Russæus : « l'assistance des mendiants ». Russæus poeta de Deo ad hominem impium : « Tu ne mis jamais de barrière Entre sa crainte et tes fureurs ». Harpius Lycæo, hunc respiciens locum, affirmat non eum loqui gallice, cui « sa crainte » significat « la crainte qu'il inspire ». Sed falli videtur criticus ille hypercriticus. « La crainte de Dieu, l'amour de Dieu » formulæ dicendi sunt vulgarissimæ, suntque similes aliæ. Fatendum tamen ex pronomine rari aliquid et insoliti et subobscuri enasci, sed quod in carmine nemo repudiet. Id dicendi genus Latinis debemus, aut non, quibus « metus Pompeii, metus punicus » non de Pompeio Pœnisve metuentibus, sed metum facientibus dictum est. Valerius Flaccus, 5, 526 : « Scythiæ terrores »; quos scilicet Græcis Scythia injiciebat. Scriptor minorum gentium Rochon dixit, quod quidem ab usu nostro abhorrere videtur : « vos accusations sont biffées »; accusationes videlicet in te comparatæ. Quæ passiva significatio frequens est in Græco κατηγορία, non insolens in nomine latino. T. Livius de Africano, 33, 47 : « parum ex populi Romani dignitate esse ducebat subscribere odiis accusationibusque Hannibalis »; scilicet accusationibus Hannibali intentatis, monente Drakenb. Et « Hannibalis odium » est passivum etiam. Sic in Electra Sophoclea, 342, τὸ τούτων μῖσος est μῖσος ᾧ μισοῦνται, οὐχ ᾧ μισοῦσι.

[2] Schol. : ἀντίστασις.

πόλεως, καὶ τὴν σὴν μετὰ τῶν ἄλλων ἐξουσίαν ὅπου ποτ' ἂν ἐθέλοις ἰέναι; ὁρᾷς τοὺς ἐπὶ τῶν ἀγρῶν ἀτρεμοῦντας, καὶ μεθ' ἁπάσης ἀδείας τὰ ἔργα μετερχομένους τὰ ἴδια, οὐδενὸς ὄντος τοῦ δεδίττεσθαι μέλλοντος; ὁρᾷς ὁδοιπόρων ἐλευθερίαν, καὶ συνοδίας καὶ μεταφορὰς τῶν ἀναγκαίων ἐξ ἀλλοδαπῶν, καὶ πόλιν πᾶσιν ἀγαθοῖς βρύουσαν; ταῦτα τῆς τῶν νηῶν ἐκείνης πυρπολήσεως ἔκγονα. Ἐκεῖναι καυθεῖσαι ψυχαγωγίαν ἡμῖν ἐποίησαν· τὸ ἐκείνων πῦρ πῦρ ἀνῆψαν τοῖς θεοῖς χαριστήριον· τῷ[1] μηκέτ' εἶναι ταύτας τὸ εἶναι τὴν πόλιν προεξένησαν. Σὺ δὲ τὸ μὲν ἀποβὰν δέχῃ, καὶ καλὸν ὁμολογεῖς καὶ τῇ πόλει σωτήριον· ἐξ ὧν δ' ἀπέβη τοῦτο κακίζεις, καὶ οὐκ ἐννοεῖς ὡς οὐκ ἂν τοῦτο συνέβη, ἐκείνου μὴ γεγονότος πρότερον· ὅμοιον ὥςπερ ἂν ἠγάπας μὲν ὑγείαν κτησάμενος, ἐξ ὧν δ' ὑγιάνας ἔχεις οὐκ ἀπεδέχου ταῦτα, οὐδὲ σμικρόν. Εἰ μὲν γὰρ ἦν ἄλλως νικᾶν, λέγε καὶ δέχομαι· μᾶλλον δὲ μηδὲ νῦν λέγε. Ἀλλὰ τότ' ἔδει λέγειν, εἴ τι λέγειν εἶχες, καὶ σὲ μετὰ τῶν ἄλλων πολιτευόμενον, κἀμὲ δ' ἀκούειν καὶ πράττειν, εἰ καλῶς ἐδόκεις λέγειν τῷ δήμῳ τε καὶ τῇ πόλει. Εἰ δ' οὐκ ἦν ἄλλως τὸ κοινὴν ἐλευθερίαν μεταχειρίζεσθαι, συγχώρει μὲν τὸ πραχθέν, ἀγάπα δὲ τὴν πόλιν σωθεῖσαν ἰδών. Ἐπεί τοί γε καὶ πολλοὺς ἴδοις ἂν συνετοὺς μικρὰ προϊεμένους χάριν μεγάλων, καὶ βλάπτεσθαι δεχομένους ὀλίγα πολλῶν ἕνεκα. Καί μοι καὶ ναύτας βλέπε, δεινῷ χρησαμένους χειμῶνι, ἑκούσαις χερσὶ πολλὰ τῶν φορτίων πρὸς θάλασσαν ῥίπτοντας, ὡς ἂν τὴν ναῦν καὶ ἑαυτοὺς σώσωσι· πολλοὺς δὲ καὶ τὴν ἄχρηστον ἡλικίαν τῆς πόλεως ἐκβάλλοντας ἐν καιρῷ λιμοῦ καὶ πολιορκίας, ἵνα τὴν πόλιν περιποιήσωνται. Τί δ' οἱ παρ' ἡμῖν ῥητορεύοντες ἐπὶ καιρῶν συμβουλεύουσι; « Δῶμεν », φασίν, « ὀλίγα, ἵνα λάβωμεν πλείονα· καταπροώμεθα πραγμάτων, εἰ δεήσει, καὶ οἰκιῶν, ἵνα δόξαν κτησώμεθα καὶ τὴν ἐλευθερίαν μὴ ἀποβάλωμεν ».

Τί δὲ καὶ τὸ γεγονὸς ἐκεῖνο παρὰ τῶν προγόνων ἡμῶν[2] τὸ

[1] Cod., τό. Potui scribere τό.... προεξένησεν· sed ἀνῆψαν me retinuit. Conferendus Plutarchus Them. 4 : τὴν Ἀθηναίων πόλιν ἀνέστησαν αἱ τριήρεις ἐκεῖναι.

[2] Cod., ὑμῶν. Quum dux ille sit Atheniensis ipse, et avi auditorum suique sint Athenienses, dixit omnino ἡμῶν, quod rescripsi. Vocales η υ passim in

ὑμνούμενον ἀεί τε καὶ παρὰ πᾶσιν; Ἐκεῖνοι γάρ, τῶν Περσῶν ἐπιστάντων, καὶ τὰ κύκλῳ καταλαβόντων τῆς Ἀττικῆς, Εὔβοιαν, Τάναγραν, Μέγαρα, τὴν Βοιωτίαν πᾶσαν, καὶ ἤδη τῶν δεινῶν μελλόντων καὶ αὐτῶν ἅψασθαι, δέχονται μὲν θεόθεν τὴν συμβουλήν. Καὶ πόλιν ταύτην καὶ οἰκίας καὶ χρήματα, καὶ θήκας πατέρων καὶ μνήματα, καὶ πᾶν ἄλλο προςὸν ἐκείνοις[1] ἀφέντες, καὶ ζωῆς τῆς ἰδίας ὡς ἀλλοτρίας καταφρονήσαντες, παῖδας μὲν καὶ γυναῖκας εἰς Τροιζῆνα μεταβιβάζουσιν· αὐτοὶ δὲ ναυσὶ χρῶνται καὶ μόναις[2]. Κἀκ τούτων συμβαλόντες τοῖς πολεμίοις, πῶς μὲν ἐκείνους διέθηκαν καὶ τί κατώρθωσαν τί χρὴ καὶ λέγειν; ὅμως δὲ ῥᾷόν τις ἑαυτοῦ ἐπιλήσεται ἢ ἐκείνων, καί, εἰ ἀγνοεῖ ταῦτα, ἀγνοήσειεν ἂν καὶ τὸ ἴδιον ὄνομα[3].

Εἰ δέ τις[4] ἐκείνοις παραστὰς τότε, καὶ κωλύων ἀφιέναι τὴν πόλιν, ἔλεγεν· « Οὐ καλόν, Ἀθηναῖοι, πόλιν καταλιπεῖν, ἣν οἱ πατέρες ᾤκουν καὶ συχνοῖς συνίστων τοῖς δαπανήμασιν. Οὐ καλὸν ἀφεῖναι πατρίδα καὶ κοινὴν Ἑλλάδος ἑστίαν, ἔνθα Τύχης ἱερὸν καὶ ναὸς Ἀθηνᾶς Πολιούχου, καὶ πατέρων μνήματα. Εἰ γὰρ μὴ ζῶντας ἡμᾶς, ἀλλὰ τοὺς πατέρας νεκροὺς οἱ πολέμιοι

illis pronominibus permutat iotacismus, ut et aliis passim vocabulis. Theodorus Prodr. Tetrast. p. 70 : Τλᾶμον Ἀδωνιβεζέκ, ἄχειρ καὶ ἄπους ποτὶ γαίην Ἕρπε διὰ στέρνοιο κατ' αἰόλον ἑρπυστῆρα. Καὶ σύ ποτ' ἄρ πολλῶν ἀλλογλώσσων βασιλήων Γούνατά τ' ἐξέταμες χεῖράς τ' ἀπεκόψας ἐνεργής. Codex, ἑρπηστῆρα, electione ambigua; at omnino bene τλῆμον, πολέων et ἐνεργούς. Redditur ἐνεργής a Suvignyo « quum id poteras ». Sed id est contortum nimis. Epithetum χεῖρες ἐνεργοί et sensus bonitate defenditur et hoc Theodori loco de manu arida quam Christus sanavit, p. 152 : Ἡ δ' εὐθὺς προτέτατο, καὶ ἥπτετο, πάντα δ' ἐνήργει. Remanebit adhuc falsæ quantitatis vitium in ἄχειρ, non corrigendum. Politicos versus composuit Theodorus innumeros; hinc aurium hebetatio et legum oblivio τῶν προςῳδιακῶν. In alio hexametro inferius tractando vocabulum χρεωφάγου sumendum erit pro epitrito primo.

[1] Improprie posuit ἐκείνοις pro αὐτοῖς, quam recentiorum negligentiam tetigi p. 45, n. 1.

[2] Aristides Panath. p. 220 : ψήφισμα ποιοῦνται τὴν μὲν πόλιν ἐπιτρέψαι τῇ Πολιούχῳ θεῷ, παῖδας δὲ καὶ γυναῖκας εἰς Τροιζῆνα παρακαταθέσθαι, αὐτοὶ δὲ γυμνωθέντες τῶν περιττῶν προβαλέσθαι τὴν θαλάτταν. Ibi Iebb.

[3] Lucianus Tox. 6 : θᾶττον γοῦν τοὔνομα ἕκαστος αὐτῶν ἐπιλάθοιτο τοῦ πατρός, ἢ τὰς Ὀρέστου καὶ Πυλάδου πράξεις ἀγνοήσειεν. Petronius, c. 66 : « tam bonæ memoriæ sum, ut frequenter nomen meum obliviscar ». Synesius Epist. 57, p. 200 : ἐμαυτοῦ ἐπιλήσμων εἰμί.

[4] Schol.: πλαστὸν ἐπιφερόμενον τῇ ἀπὸ τοῦ παραδείγματος ἐργασίᾳ.

ὡς ἐναντίους χειρώσονται, καὶ Ἀθηνῶν ἅλωσις λεχθήσεται τότε. Ναοὺς περιφανεῖς καταπρήσουσιν, οἰκιῶν θεμέλια ἀνορύξουσι. Καὶ τί πλέον ἔσται φυγοῦσιν ἡμῖν, εἰ ταὐτὰ καὶ πάλιν πεισόμεθα; καὶ μένουσι μὲν καὶ μαχομένοις περιγενέσθαι ἐλπίς· εἰς ναῦς δὲ μεταβάντων, κἂν νικῶμεν, οὐδὲν ἧττον ἡ πόλις τὴν ἅλωσιν ὑποστήσεται ».

Κἂν ταῦτά τις λέγων ἐπειρᾶτο κωλύειν, ἠνείχετό τις τῶν λόγων; ἀλλ' οὐκ εὐθὺς ὁ λέγων ἐτελεύτα λιθολευστούμενος;

Τούτοις χρώμενος καὶ αὐτὸς παραδείγμασι κατεπίμπρων τὰς ναῦς, ἵν' ἐπιβῶ τῆς νίκης [1], καὶ τὴν πόλιν ἐλευθερώσω τῶν χαλεπῶν.

Σὺ δ', ἐπηρεάζειν [2] θέλων καὶ κατηγορεῖν προθέμενος, ἐμὰς ἀναπλάττῃ διανοίας, καί, ὥςπερ ἂν εἰ τὸν ἐμὸν ᾤκεις νοῦν [3], οὐ διὰ ταῦτά με λέγεις τὰς ναῦς πυρπολεῖν· ἀλλὰ δεινὸς ὤν, δεινός, ὦ Ζεῦ, καὶ δύςνους τῇ πόλει, τρόπον καινὸν καταβολῆς ἐπενόησας· « ἵνα πόλιν ταῖς τῶν νηῶν ἀποβολαῖς ἀσθενήσασαν εὐχείρωτον ἐργάσῃ τοῖς ἐναντίοις, ὡς μηδὲν ἀμύνειν ἔχουσαν ἑαυτῇ ».

Καὶ πόθεν [4] ἔχεις εἰδέναι, βέλτιστε, τοῦτο; Προβαλοῦ σημεῖον τῆς γνώμης. Ἔλεγξον ἐξ ἐμφανοῦς δύςνουν διάνοιαν ἀφανῆ. Δεῖξον ἄλλο τι πραχθὲν ἢ λεχθὲν παρ' ἐμοῦ, δόκησιν ἔχον ψιλὴν ὑπὲρ τῶν ἐναντίων, ἢ κατά γε τῆς πόλεως. Ἐρώτα τοὺς συμπαρόντας ἐμοὶ στρατιώτας, οὓς οὐκ εἴων οὐδὲ τροφῇ χρῆσθαι οὐδ' ὕπνῳ διδόναι [5] αὐτάρκει, οὐκ ἀποθέσθαι κἂν ἐπὶ σμικρὸν θώρακα,

[1] Ἐπιβῶ τῆς νίκης] vide p. 9, n. 2. Quum sit ἐπιβαίνειν verbum nauticum, lector nolens volens cogitat de lusu valde inopportuno, quem Pachymeres, si de eo ipse cogitavisset vel fuisset admonitus, statim delevisset: ἵν', οὐ δυνάμενος ἤδη τῶν νεῶν ἐπιβῆναι, ἐπιβῶ τῆς νίκης.

[2] Schol.: ἑτέρα διάνοια.

[3] Euripides Andromeda, 35: Μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω. Ibi Matthiæ. Vernacule dicimus « entrer dans les sentiments, dans la pensée, dans l'esprit de quelqu'un ». Hinc in quodam « ineptiarum libello », ut loquitur Suetonius, lusum est illepide: « Soyez assez bon pour entrer dans mon esprit. —Vraiment non; je n'y entrerai pas. Je serais trop mal logé ».

[4] Schol.: λύσις ἐξ ἐπιχειρήματος.

[5] Inferius ἀνέσει, ῥαθυμίᾳ δούς. Modum dicendi διδόναι scilicet ἑαυτὸν ἀνέσει, τρυφῇ, ὕπνῳ, ἡδονῇ. τ. λ. attigi ad Anecd. Gr. t. III, p. 199, ad Babrium,

ἀλλ' ὡπλισμένους ἐσθίειν, ὡπλισμένους καθεύδειν, ὡπλισμένους τὰς χρείας τοῦ σώματος ἐκτελεῖν. Ἔστιν οὕτως ἔχοντα, καὶ οὕτω ποιοῦντα κατὰ τῶν πολεμίων, αὐτοῖς προςκεῖσθαι, καὶ διδόναι τὰ τῆς πόλεως δίκαια; Ἔστι νυκτὸς μὲν κατ' αὐτῶν βουλευόμενον, ἡμέρας δὲ κατ' αὐτῶν ὁρμῶντα, καὶ τοὺς ἄλλους παραθαῤῥύνοντα, τοιαύτην ἔχειν τὴν ὑπὲρ ἐκείνων διάνοιαν; Δεῖξον ἄλλον χωρὶς νυκτὸς καὶ ἡμέρας καιρόν, καὶ τούτῳ τίθει με δύςνουν καὶ κακῶς τῇ πόλει διανοούμενον. Εἰ δ' οὐκ ἔχεις, παῦε τῆς τόλμης καὶ μὴ κατάκρινε.

Διανοίας κακίστης ἐγώ, κακίστης, ὦ Ζεῦ Ἐλευθέριε, καὶ γνώμης δυςνοϊκῆς, ὁ μηδὲ μέχρις ἀκοῆς ἀνεχόμενος ἀνδραγαθοῦντα πολέμιον! ὁ τροφῇ μὴ θελχθείς, ὁ ὕπνῳ μὴ εἴξας, ὁ ἀνέσει μὴ δούς[1], ὁ μηδὲ πῶς ἔχουσι τὰ κατ' οἶκον ἐπ' ἀδείας ἔχων μαθεῖν, ἀλλ' ἀεὶ τὰ κατὰ τὴν πόλιν στρέφων ἐν νῷ, ἀεὶ βουλεύων, ἀεὶ μαχόμενος! Οὐ φέρω, παρόντες, τὸ ἔγκλημα· ἀνύποιστον ἡγοῦμαι τὸν λόγον.

Ὁ γάρ, καὶ οὕτω σὺν θεοῖς σωτῆρσι καλῶς τῶν πραγμάτων ἀποβάντων, κατηγορεῖν ἐπὶ τοιούτοις μὴ ἀποσχόμενος, τίς ἂν ἐγένετο τότε, εἴ γε πολλάκις[2] ἀντίξουν ἐπήντησεν[3], οἷα δὴ τὰ

p. 208. Cicero Tusc. 1, 4 : « in quam exercitationem ita nos studiose dedimus ». Ibi Kuhner.

[1] De ἀνέσει δούς vide notam præcedentem.

[2] Πολλάκις hic, post εἴ γε, pro τυχόν esse positum videtur. Plato Phædr. 14 : ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι. Ibi Ast.

[3] Sic codex, ἐπήντησεν. De reponendo ἀπήντησεν vix est dubitandum. Præpositiones ἐπί, ἀπό facillime permutantur. Nicephorus Gregoras Florentio, p. 513 : καὶ σοὶ κατ' ἐπιστήμην ἀπαιτουμένῳ ποιεῖν τὴν ἐπίδειξιν, οὐκ ἂν εἴη σοι χρήσιμος ὁ τοιοῦτος συλλογισμός. Codex Paris. ἀπόδειξιν, melius. Idoneum locum ἐπίδειξις tenet in alia Gregoræ sententia, obiter corrigenda, p. 508 : Ξενοφάνης ὁ Θρασυμάχου, προπετείᾳ καὶ ἀναιδείᾳ χρησάμενος, ἧκεν εἰς τὸ θέατρον τῶν Ἀθηναίων ξὺν οὐδενὶ κόσμῳ προκαλούμενος εἰς ἐπίδειξιν ὅςτις ἐρίζειν καὶ διαλέγεσθαι οὐκ ἄϊδρις εἴη· ἡ δὲ φήμη.... Aliter codex :....κόσμῳ πάντα τινὰ ὅτῳ ἐντύχοι προκ. ε. ἐπίδ. λόγων, καὶ ταῦτα μηδὲν ὑγιὲς ἔχων· τήν τε γὰρ γλῶτταν μιξοβάρβαρος ἐναργής, τοῦ τε πώγωνος καὶ τοῦ τρίβωνος, καὶ τούτων δ' εἰς τὰ μάλιστα, καταψευδόμενος φαίνεται· ἡ δέ γε φήμη.... Nec facile minus cum ὑπό permutatur ἐπί. Heliodorus, 1, 2 : τῆς κόμης.... τοῖς νώτοις πλεῖστον ὅσον ἐπιτρεχούσης. Sic pro ὑποτρεχούσης edidit Corayus e conjectura, quam confirmat codex Venetus. Gregorius Naz. in Georgidæ Gnomologio, p. 5 : αἱ ἐντολαὶ τοῦ θεοῦ οὐ πρὸς ἄλλο τι βλέπουσιν, ἢ πρὸς τὸ σωθῆναι τὸν ἐπακούοντα. Codex nuper mihi cognitus τὸν ὑπακ., quod

ἀνθρώπινα; οὐ χεῖρας ἐμβάλλειν τοῖς ὀφθαλμοῖς μου, οὐ κατασπᾷν, οὐ φονεύειν καὶ μέσον ὑμῶν ἔμελλε;

Διενοούμην προδοῦναι τὴν πόλιν ἐγώ, ὦ τὰ πάντα σὺ τολμηρέ; τί γοῦν; καὶ προὔδωκα· ἀλλ' ἐκωλύθην ἂν τῇ σῇ προνοίᾳ τοῦ εὔνου, τοῦ φιλοπόλιδος. Τί τὸ κωλῦσαν[1], εἰπέ μοι, μὴ κατ' αὐτὴν δὴ τὴν διάνοιαν, ἣν ἀναπλάττῃ σοβῶν, ποιεῖν ἐμὲ τότε τὰς ναῦς καύσαντα; Ἐρωτήσατέ τοὺς ἐν φυλακῇ τούτους, τοὺς ἐν δεσμοῖς, τοὺς ἐκ πολλῶν ὀλίγους ἀπολειφθέντας, πῶς παρεταττόμην τούτοις, πῶς ἠγωνιζόμην μετὰ τῶν ἡμετέρων, πῶς τὸν πόλεμον μετεχείριζον, εἰ ἀναβεβλημένως καὶ μαλακῶς, ἢ μὴν ἐῤῥωμένως καὶ μετὰ χρηστῆς τινὸς ὑπολήψεως.

Τί φῄς; ἄξια[2] ταῦτα νηῶν; καὶ τοσαύτην ἀνδραγαθίαν στόλῳ τὶς ἀντιστήσει, συγκρίνων τὰ μὴ δεχόμενα σύγκρισιν; Νῆες οὐκ εἰσὶ τῇ πόλει; ἀλλὰ νίκη λαμπρὰ περιστέφει ταύτην. Στόλος οὐκ ἔστιν; ἀλλ' ἐλευθερία προςγελᾷ πᾶσι τοῖς ἐν τῇ πόλει[3]. Οὐ συνίσταται πλόϊμον[4] πλῆθος; ἀλλὰ τροπαιοφόρον ἀνακηρύττεται. Τί δὲ καὶ τὸ τῶν νηῶν ἔργον, καὶ τί χρησόμεθα ταύταις; οὐχὶ διὰ νίκας καὶ τρόπαια;

Καί τί γε ἄλλο ἔστιν εἰπεῖν[4]. Εἰ γοῦν νικῶμεν καὶ δίχα νεῶν[5], τὸ τῶν νεῶν ἔργον γίνεται πάλιν, καὶ ὄργανον μὲν ἴσως ἀπώλετο νίκης, ἔργον δὲ σώζεται. Καὶ μὴ νικῶσι μὲν τίς ἂν ἦν χρῆσις νεῶν, ἂν τέως εἴχομεν ταύτας, καὶ μὴ παρ' ἐκείνων ἐπυρπολήθησαν; νικῶσι δὲ ἔστι καὶ ταύτας κτήσασθαι πάλιν.

Ποῖον οὖν μεῖζον; τὸ συνειςφέρον καὶ θάτερον, ἢ τό, κἂν αὐτὸ

præfero. Theodorus Prodr. Rhodante in Supplemento Bassiano, v. 181: καὶ τοὺς ὑπαλγύνοντας ἐν τόκοις πόνους. Malim ἐπαλγ.

[1] Codex, κωλύσαν.

[2] Schol.: πρός τι;

[3] Προςγελᾷ] eadem metaphora p. 30: πᾶσα γαλήνη καὶ πᾶσα κατάστασις τῇ πόλει ἐπιγελᾷ.

[4] Codex sic, πλόϊμον. Quæ scriptura præ altera per litteram ω criticis viris placet. In Aristidis Rhodiaca, p. 798, G. Dindorf. τριήρεις πλοΐμους e codicibus edidit pro lectione vetere πλωΐμους. Ac monet vir d. in Thesauro Stephani πλώϊμον Themistii Or. 26, p. 381, 29, esse corrigendum. Quam sententiam confirmat codicis Ambrosiani apographum Valesianum. In Pachymeris Andronico, 5, 14, dicitur Muzalon τοῦ πλωΐμου μέγας δρουγγάριος. Ps. Callisthenes, 1, 29: τῶν πλωΐμων δυνάμεις.

[5] Codex sic νεῶν, ut et statim bis, et infra, quum alibi νηῶν exhibeat.

παρῇ, μὴ συνειςφέρον ἐκεῖνο; εἴθε καὶ δίχ' ὅπλων ἡ πόλις νικῴη, καὶ δίχα συμμάχων καὶ πολεμικῆς περινοίας ἀεὶ περιγίνοιτο!

Θέλω τὰ ἔργα γίνεσθαι, κἂν ἀπῶσι τὰ ὄργανα. Ἐρώτησον τοὺς τεχνίτας. Εἰ ὁ πρίων διὰ τὴν ἅμαξαν, παραστήτω μοι ἅμαξα, καὶ ἧττον πρίονος δεῖ· εἰ ἡ περίγρα[1] διὰ τὴν θύραν, γενέσθω μοι θύρα· κἂν περίγρα ἀπῇ, ἧττον δὴ φροντιῶ. Νίκη γινέσθω τῇ πόλει, καὶ γινέσθω δι' ὁτουδήποτε. Κρεῖττον ἐν ἀδείᾳ ὄντας ναῦς συνιστᾶν, ἢ πολέμοις περιστοιχιζομένους καὶ ταραχαῖς ἐφέλκεσθαι ναῦς ἧττον πρὸς τὴν χρείαν ὠφελούσας τῷ τότε[2], κἂν ἄλλοτε χρησιμεύοιεν.

Εἰ μὲν οὖν οὐ δέχῃ τὴν νίκην, ἀλλὰ μικρὸν ἡγῇ ταύτην καὶ μικρὰν ἔχουσαν τῇ πόλει φιλοτιμίαν, ἐγὼ μὲν οὐδὲν ἐρῶ πρὸς ταῦτα· ἔστι διαγινώσκοντας ἄλλους ἀπολογεῖσθαι· εἰ δὲ μέγα μὲν ἔχεις τὴν νίκην καὶ θαυμαστόν, καὶ οὐκ ἂν προῇ ταύτην πολλῶν ἀγαθῶν, ἄλλως δὲ λέγεις καὶ οὐχ οὕτως ἔδει νικᾶν, δὸς σὺ τὸν τρόπον· καὶ μὴ ἄλλως λέγε, ἀλλὰ καὶ πῶς ὑποτίθει.

Ἄλλως[3] ἔδει; κἀγὼ λέγω τοῦτο, ἀλλ' οὐκ ἐνῆν. Τί γοῦν; παραιτητέον ἦν καὶ τὴν νίκην, εἰ μὴ καὶ τὰς ναῦς ἔχοιμεν; Ἦ[4] καλὸν μὲν ἔχειν καὶ ναῦς καὶ νικᾶν· εἰ δ' οὐκ ἐνεχώρει καὶ ἄμφω, ἀλλ' οὖν γε νικᾶν, ὅτι κἀκ τῆς νίκης ἔστι καὶ ναῦς κτήσασθαι[5]. Ἐκ μέντοι γε τῶν νεῶν οὐκ ἦν ἐξ ἀνάγκης καὶ τὸ νικᾶν.

[1] Est περίγρα circinus : videtur Pachymeres Gregorii Naz. locum Orat. 32, p. 521 ante oculos habuisse : εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν θεοῦ, τοῦτο δι' ἐμέ, ἡ πυράγρα διὰ τὴν ἅμαξαν ἢ ὁ πρίων διὰ τὴν θύραν, νικῶ τῇ αἰτίᾳ. Melior lectio περίγρα nota est e scholio Basilii, quod petas e Thesauro Didot. V. περίγρα, et ex commentario Eliæ Cretensis, t. II, p. 929, 59. Etiam addiderim ᾗ ante ἡ : ᾗ ἡ περίγρα, i. e., « ut circinus propter currum ».

[2] Sæpe usus est formula τῷ τότε Georgius Acropolita, cujus in Historia articulum omiserunt librarii c. 8, p. 7: ἦν γὰρ οὗτος τότε μέρους τινὸς τῆς παλαιᾶς ἀπείρου κρατήσας. Ipse legi in codice τῷ τότε. Idem, c. 32, p. 27 : Βλεμμίδην Νικηφόρον, ὃν τότε πάντες οἴδαμεν τελεώτερον τῶν ἄλλων ἐν ταῖς κατὰ φιλοσοφίαν ἐπιστήμαις. Et hic est in codice τῷ τότε. Gorgias Helena, p. 680, 22 : τὸν χρόνον δὲ τῷ λόγῳ τὸν τότε νῦν ὑπερβάς. Inveni in codice, eoque non bono, τῷ τότε, articulo cum τῷ λόγῳ jungendo, sed contra loci sententiam, quæ τόν poscit. Vide n. ad Anecd. Gr. t. I, p. 344.

[3] Schol.: μετάληψις.

[4] Malim ᾖ, « certe, utique ».

[5] Varians lectio in margine : Γρ. κτᾶσθαι.

Σὺ μὲν ἴσως ἐρεῖς ὡς ζημία τῇ πόλει γέγονε, καὶ μέρος πολεμικῆς ἠφάνισται παρατάξεως, καὶ αἰσχύνη τῇ πόλει μεγίστη ναῦς οὐκ ἐχούσῃ, καὶ ἄλλα πλείονα τούτων, ὡς ἂν κατηγορῇς μὲν ἐμοῦ, ἀφαιρῇ δὲ τὴν πόλιν· τὴν ἐπὶ τῇ νίκῃ χαράν. Ἐγὼ δὲ καὶ κέρδος ἡγοῦμαι τοῦτο τὸ μέγιστον καὶ προςπορισμὸν εἰς ἰσχὺν πολέμου, καὶ οὐκ αἰσχύνην τῇ πόλει, ἀλλὰ μᾶλλον τιμὴν καὶ εὐδοξίαν, εἴ τις ἀκούσεται.

Ἐρεῖ [1] γὰρ ἴσως ἀκούσας ὡς τοῦτο κυρίως παρατάξεων πολεμικῶν εὐμοιρεῖν ἐστί, τὸ καινοτομεῖν τοὺς ἔχοντας συμφερόντως, καὶ ἔχειν νομίζειν, κἂν ἀποβάλλοιεν. Τοῦτο νίκη, τοῦτ' εὐκληρία πόλεως, τό, καὶ ἀποβάλλοντας ἐξ ὧν ἄν τις καὶ νικᾷν ἤλπισε, πάλιν νικᾷν, καὶ δῆλον ποιεῖν ὡς οὐχ ἑνὶ τρόπῳ καὶ μόνῳ περιγινέσθαι πέφυκε τοῖς καλῶς πολιτευομένοις, ἀλλ' ἐκ παντὸς τοῦ προςπίπτοντος, ὡς τῆς ἀρετῆς αὐτῆς καὶ τὸ μὴ καλὸν ποιούσης καλόν, καὶ τῆς τοῦ στρατηγοῦ συνέσεως καὶ τὸ μὴ χρήσιμον χρήσιμον. Δεῖ γὰρ [2] τὸν καλῶς στρατηγοῦντα μὴ ἔχειν εἰκόνος σχῆμα [3] κατὰ ταυτὸν ἐχούσης ἀεί. Εἰ μὲν γὰρ ἦν ἀκίνητα τὰ τοῦ πολέμου καὶ βέβαια, ἔδει καὶ τὸν στρατηγόν, ἐφ' ἑνὸς ἱστάμενον σχήματος, πολεμεῖν· ἐπεὶ δὲ τῶν ἁπάντων οὐκ ἔστιν οὐδὲν ὡς ὁ πόλεμος ἄστατον καὶ ἀνώμαλον, δεῖ κἀκεῖνον συμμεταβάλλειν τοῖς πράγμασι, καὶ νῦν μὲν

[1] Schol.: ὅρος βίαιος.

[2] Schol.: θέσις.

[3] Non debet dux tanto nomine dignus « tantidem esse quasi sit signum pictum in pariete ». Sic Declamatione extrema X : εἰκόνος σχῆμα λαβόντας· et undecima : ἐπὶ ταυτοῦ, ὥςπερ εἰκὼν ἄψυχος, σχήματος. Aristophanes Ranis, 541 : γεγραμμένην εἰκόν' ἑστάναι, λαβόνθ' ἓν σχῆμα· quæ respexisse videtur sophista. Ibi notulam adscripsi, quam auxi ad Æneam Gaz. p. 291. Clemens Alex. Pæd. 3, 2, § 6 : ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι. Porphyrius Abstin. IV, c. 4 : τυφλὸν ὄντα τὸν Πλοῦτον, καὶ κείμενον, ὥςπερ γραφήν, ἄψυχον καὶ ἀκίνητον. Libanius, t. I, p. 510, de Constantio quem verveci illi Meletidi comparat : οὐδὲ γὰρ νοῦ μετεῖχεν, οὐδὲ πολὺ βελτίων τῶν ἐν ταῖς γραφαῖς ἦν, ἢ τῶν πηλίνων. Non reperi ἦν in codice 3025. Achilles Tat. 5, 13 : σύ γε οὐδενὸς μετέχεις τῶν σῶν αὐτῆς· ἀλλ' ἔοικας τοῖς ἐν γραφαῖς ἐσθίουσιν. Pro τῶν σῶν αὐτῆς, inveni in Veneto 409, τῶν σαυτῆς. Molierius Molestis : « Et notre roi n'est pas un monarque *en peinture* ». Quod potuit obversari Legrandio Cocania : « Et je vous apprendrai, chétive créature, Si je suis en ces lieux un monarque *en peinture* ». Racinius Litigatoribus : « Vois-tu? je ne veux point être un juge *en peinture* ». Voltairius Amabede : « il est vrai que nous avons un empereur; mais il ne l'est qu'*en peinture* ».

ἀγριαίνειν, νῦν δὲ ταπεινοῦσθαι, νῦν κινεῖσθαι, νῦν ἠρεμεῖν, νῦν ἀπειλεῖν, νῦν ἱκετεύειν, νῦν ἀτιμάζειν πρεσβείαν ἐκείνων, νῦν δὲ πρὸς ἐκείνους πρεσβεύεσθαι, νῦν ἱππεύειν, νῦν πεζεύειν εἰς πόλεμον, νῦν ναυσὶ χρᾶσθαι, νῦν ἀφανίζειν αὐτάς, καὶ ἁπλῶς, καθ' ὅντινα δὴ τρόπον τὸ συμφέρον δοκιμάσει, οὕτω ποιεῖν, καὶ μηδενὸς τῶν ὅσα συμφέρει ἀπέχεσθαι, μὴ τῶν οἰκείων, μὴ τῶν κοινῶν φειδόμενον· ἀλλὰ κἂν τεῖχος ῥήσσειν κἂν κατασπᾶν πύλας, κἂν οἰκοδομήματα καταβάλλειν, εἰ μόνον συνοίσειν δόξει[1], ταῦτ' εὐθὺς ποιεῖν, καὶ παντὶ τρόπῳ περιποιεῖν τῷ κοινῷ τὴν ὠφέλειαν.

« Δεῖ » λέξεις[2] ἴσως καὶ σύ, « ἐκ παντὸς τρόπου ζητεῖν τὸ συμφέρον τῇ πόλει τὸν στρατηγόν, ἀλλ' ἂν μὴ ζημιῶται ἡ πόλις περὶ τὰ μέγιστα ». Πάντως ταῦτ' ἐρεῖς, σεαυτῷ καταλιμπάνων ἀπολογίαν, καὶ ἀποκλαύσῃ τὰς ναῦς, καὶ τὴν ἀπ' αὐτῶν ἐπενέγκῃς ὠφέλειαν. Ἀλλ' ἀκούσεις[3], ὡς ἐξῆν μοι ποιεῖν ὡς ἐδόκει συμφέρον στρατηγῷ τε ὄντι, στρατηγῷ[4], καὶ ταῦτα καὶ αὐτοκράτορι. Εἰ μὲν γάρ, ὅτ' ἐχειροτόνουν ἡ πόλις ἐμὲ καὶ τὰ κοινὰ ἐνεχείριζον, ἐδίδουν[5] πάντως καὶ τὸν ὁρίζοντα ἐφ' ἑκάστῳ, καὶ ἦν ἄρα ἐκεῖνος σύ, καὶ ἐδεχόμην τὴν γνώμην τῶν πολιτῶν, οὐδ' οὕτως εἶχες ὁρίζειν τὸ ποιητέον, καὶ ἐνταῦθα μένων καὶ μετὰ τὴν ἀνάγκην τῶν συμπιπτόντων δεινῶν· ἀλλ' ἔδει καὶ σὲ συστρατεύειν ἐμοί, καὶ ἐπὶ τῶν κινδύνων εἶναι, καὶ ἐπ' αὐτῶν τῶν τοῦ ἔργου καιρῶν. Καὶ τυχὸν ἂν εἶπον ἐγώ, σὺ δ' ἀντεῖπες, καὶ ἄλλος συνεῖπεν ἐμοὶ καὶ αὖθις ἕτερος· καὶ σύ, τοῦτο μὲν καὶ τοῦ καιροῦ στενοχωροῦντος καὶ τῶν πραγμάτων κατεπειγόντων, τοῦτο δὲ καὶ πολλῶν λεγόντων ὅπερ κἀγώ, ἐδυςωπήθης ἂν καὶ τὸν καιρὸν καὶ τὸν κίνδυνον, ἐδυςωπήθης ἂν καὶ τοὺς λέγοντας· καὶ ἴσως,

[1] Codex δόξῃ, superscripto οι. Scripsi δόξει sono simili.

[2] Schol.: ἡ ἑτέρα μετάληψις.

[3] Schol.: ἀντίληψις.

[4] Repetitum non sine vi nomen στρατηγῷ.

[5] Non offendet quisquam ad pluralia ἐχειροτόνουν, ἐνεχείριζον ἡ πόλις, quæ nota est syntaxis verborum cum nomine collectivo. Supra p. 63, dixit pariter εἶπον ἡ πόλις. Sed addit codex singularem numerum ἐδίδου quæ mutatio valde displicebat. Ac scripsi ἐδίδουν, qua ipse forma est usus De Mich. Andronico, 1, 3, p. 15 : τέλος ὃ δὴ καὶ ἐδίδουν οὐχὶ μικρόν. Et infra dicet bis ἐδίδουν Declam. VI, et μεταδίδουν Declam. XI; παρεδίδουν Declamatione XIII.

ὁ νῦν περὶ νηῶν ἄνω καὶ κάτω σοβῶν[1], πρῶτος κατεψηφίζου ταύταις τὸν ἐμπρησμόν.

Εἰ δ' αὐτοκράτορα τέως ἐχειροτόνει ὑπὲρ ἄλλους ὁ δῆμος ἐμέ, καὶ τὰ πιστὰ ἐδίδου τοῦ θάῤῥους εἰς ὅ τι καὶ πράξαιμι εὐνοῶν, σκέψαι, παρακαλῶ, τὴν τῆς χειροτονίας δύναμιν, καί, ὥςπερ κἂν τοῖς ἄλλοις τὰ ἡμῖν πραχθέντα κατὰ τὸν πόλεμον τοῖς χειροτονήσασιν ἀνατίθης, οὕτω δέξαι καὶ τοῦτο· καὶ δῆμον εὑρήσεις ὅλον καὶ πόλιν κατὰ τὸν τότε καιρόν, καθ' ὃν ἐχειροτόνουν, πυρπολοῦντας τὰς ναῦς.

Καί, εἰ βούλει, σκέψαι τὸν λόγον ὡς ἁπλῶς καὶ ἀπεριέργως λέγω, καὶ δίχα πάσης περινοίας καὶ πιθανότητος. Ἵνα τί γάρ, ἐμοῦ νικήσαντος τοὺς ἐχθρούς, ἡ πόλις νικᾷν λέγεται, καὶ ὡς νικητὴς ὁ δῆμος στεφανηφορεῖ καὶ τὰ μεγάλα θειάζεται; διὰ τί; ὅτι ἀγαθῶν γεωργῶν ἀγαθὰ τὰ γεώργια, καὶ ἀγαθῶν σπερμάτων ἀγαθοὶ οἱ καρποί[2], καὶ τῶν ἐκλεξαμένων καὶ χειροτονησάντων ἡ πρᾶξις, ἀλλ' οὐ μόνου τοῦ ἐκλεγέντος[3] ἐμοῦ. Οὕτω καὶ τοὐναντίον δέξαι καὶ τὸ δοκοῦν πταῖσμα, μὴ ὅλον ἐμόν, ἀλλὰ καὶ τῶν ἐγχειρισάντων τὰ πράγματα. Ἀλλ' οὔτ' ἐκεῖνοι μέμψεως ἄξιοι, οὔτ' ἐγὼ κατακρίσεως διὰ ταῦτα, ἕς τ' ἂν ἐκεῖνοι μὲν φιλοπόλιδες ὦσιν, ἐγὼ δ' εὐνοῶ τῇ πατρίδι καὶ δημοτικὸς φαίνωμαι.

Καί, εἰ βούλει[4], πάλιν ἐρεύνα τὸν τρόπον, πάλιν τὴν γνώμην ἐξέταζε· μὴ ἀρκεσθῇς τῇ προτέρᾳ γνώμῃ τῶν πολιτῶν· ἐπιβαλοῦ καὶ δευτέρᾳ. Οἴει ὡς ἀφελῶς καὶ ἀδοκιμάστως πάντη, καὶ ἐκ τοῦ πρώτου παραστάντος, ἐμὲ τὸν δῆμον ἐκλέξασθαι; καὶ μὴ γένος ζητῆσαι, μὴ τρόπον, μὴ τίς ὁ γεννήσας πατήρ, καὶ πῶς ἀνατέθραμμαι καὶ πῶς πεπολίτευμαι, καὶ εἰ δημοτικὸς τοῖς πολίταις καὶ μέτριος, εἴ τε μὴν τυραννικὸς καὶ αὐθάδης, τοῦτον ἐξουθενῶν, ἄλλον ὑβρίζων, τῷ δήμῳ καταρώμενος, τὴν πόλιν οὐκ

[1] De ἄνω κ. κ. σοβεῖν p. 45, n. 3.

[2] Aliquid inest Gregorianæ imitationis. Nazianzenus enim Or. 38, p. 614: πονηρῶν διδασκάλων κακὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια.

[3] Codex, ἐκλέγοντος. Sententia poscebat passivum ἐκλεγέντος, quod scripsi. Formas passivas συλλεγείς, καταλεγείς et similes videsis in notis ad Thomam Mag. V. Καταλεχθεὶς κάλλιον ἢ καταλεγείς· cui non credendum. Loquitur nunc Pachymeres ut scriptores optimi.

[4] Schol.: ποιότης καὶ γνώμη.

ἀγαπῶν, ἀξύμβατος τοῖς πολλοῖς, ἀνομίλητος, δύςνους, αὐτόνομος; Οἴει, κἂν ἐζήτουν, ἀλλ' οὖν ἠπατῆσθαι τούτους, καὶ πρὸς χάριν τινὰς ἐμοὶ μαρτυρεῖν; Δοκίμαζε πάλιν, ἐρεύνα πάλιν. Ὅλον ὑποτίθημι ἐμαυτὸν εἰς ἐξέτασιν. Οὐχ ὑβριοπαθήσω καὶ πάλιν ἐξεταζόμενος, οὐ τῇ βασάνῳ περιαλγήσω[1]. Λαμπρότερος, θαῤῥῶ (ἀλλ' ἀπέστω φθόνος), δειχθήσομαι. Δαψιλεύσῃ μᾶλλον ἀρτίως τὴν δοκιμήν. Ἔχεις ἐρωτᾷν καὶ τοὺς σὺν ἐμοὶ παραταξαμένους εἰς πόλεμον. Ἐκ τούτων λάμβανε μᾶλλον τὰς ἀφορμὰς τῆς ἐρεύνης. Οὗτοί σοι τὸν ἐμὸν τρόπον ἐς τὸ ἀκριβὲς χρωματίσουσιν.

Ἀλλ', ὦ συνδημόται[2] καὶ συστρατιῶται γενναῖοι, οὐκ ἔστι δόλος ὑμῖν, οὐχ ὑποψία ὅτι πρὸς χάριν μοι μαρτυρήσετε. Συνιστᾷ τὰ ἐπὶ τοῦ σώματος τραύματα τὴν ὑμετέραν προαίρεσιν· παριστῶσιν αἱ ὑπὲρ τοῦ δήμου πληγαὶ τὸ πιστὸν εἰς μαρτυρίαν καὶ βέβαιον. Ὁ γάρ, ὑπερ ἧς ταῦτ' ἔπαθε πόλεως, ταύτην βλέπων ἀδικουμένην, οὐκ ἂν ἀνάσχοιτο πώποτε, κἂν φίλος, κἂν συγγενής, κἂν ἀδελφὸς ἀδικοῖ[3]. Δεῦτε τοιγαροῦν. Ὥςπερ ἐπὶ τῶν κινδύνων τὸν στρατηγὸν ἐκυκλοῦτε, οὕτω καὶ νῦν κυκλοῦντες κινδυνεύοντι μαρτυρήσατε. Οὔτε γὰρ τότε, χωρὶς τῆς ὑμετέρας χειρός, ὑπῆρχε νικᾷν ἐμὲ τοὺς ἐναντίους τῆς πόλεως, οὔτ' αὖθις ἐνταῦθα,

[1] Ὑβριοπαθήσω] similia p. 19, 7.

[2] Schol.: ἐπίλογος.

[3] Pro ἀδικοῖ malim quidem ἀδικῇ. Sed in scriptoribus ætatis recentioris talia satius est intacta relinquere. Valebit forsan solita permutatio vocalium η οι in tentando Euripide Herc. 90: Λύπης τί προςδεῖς; ἢ φιλεῖς οὕτω φάος; Sic nunc editur, e correctione conjecturali. Codices: προςδεῖς φιλ., προςδεῖ σ' ἢ φιλ. Sed προςδέω τινός rarissimum est. Impersonale προςδεῖ maxime in usu. Fortasse legendum: Λύπης τί προςδεῖ σοι; φίλεις οὕτω φάος; Pachymeres De M. Palæol. 1, c. 4: οὐ μὴν δὲ καὶ ἀτεμελήτους τοὺς πρὸς τοῖς ὄρεσιν οἰκοῦντας εἴων, ὡς ἑτοίμους μεταναστάντας, εἴ που ἀμηγέπη ὡς ἐναντίοι προςβάλοιεν, μηδὲν ἔχοντας τὸ πεῖθον μένειν καὶ παρὰ δύναμιν, εἴ ποι παρείχοι, πρὸς ἐκεῖνα ἀνδρίζεσθαι· ἀλλ' ἀτελείαις μὲν τοὺς πάντας, προνοίαις δ' ἐκ τούτων τοὺς ἐπιδοξοτέρους, καὶ οἷς τολμοῖεν τὸ φρόνημα, γράμμασιν ἐσωροῦντο βασιλικοῖς. Pro τολμοῖεν rectissime codex τολμῇεν. Qui et habet μεταναστεύσοντας, et οἱ ἐναντίοι (hoc conjiciente Bekkero), et ἐκείνους. Diocles medicus epistolæ ad Antigonum initio, illum esse dicit τοῖς μαθηματικοῖς πρωταγωνιστήν. Malim lectionem codicis 396, τῆς μαθηματικῆς. Libanius, t. IV, p. 664: βαρὺ μὲν γὰρ καὶ φορτικὸν τοῦτο· πλὴν οἶσα ἂν ἀνεκτῶς. Putare potuit Reiskius esse οἶσα ἄν pro ἤνεγκα ἄν; suspicatus tamen scripsisse Libanium, ἦσθα ἂν ἀνεκτός. Codex 3017, οἷς τά γε ἀνεκτῶς. Unde fecerim lectionem secure recipiendam οἰστά γε ἀνεκτῶς. De re una plurale οἰστά non esse potest impedimento.

ἄνευ τῆς ὑμετέρας φωνῆς, ἔστιν ἐμοὶ νικᾶν τὸν ἀντίπαλον. **Μαρτυρεῖτε** *τοίνυν, ὡς ἔθος ὑμῖν μαρτυρεῖν τοῖς*[1] *ἐπὶ τῆς παρατάξεως, τίνες οἱ ἐμοὶ λόγοι ὅτ' εἴχομεν τὰς ἀνακωχάς, τίνες αἱ πράξεις ὅτ' ἦμεν ἐπὶ τῶν ἔργων πονοῦντες· εἰ δύσνους λέγων ὑφωρώμην*[2], *εἰ τὸν δῆμον ὕβριζον, εἰ τὴν πόλιν ἐλοιδορούμην, εἰ μὴ μᾶλλον λόγοις ἐμεγάλυνον τοὺς πολίτας, λόγοις ἀνύψουν, ἔστι δ' οὗ καὶ ἠλέουν, καὶ θεοὺς ἐποτνιώμην*[3], *τοὺς ἐναντίους θαῤῥοῦντας ὁρῶν, εἰ μὴ παρεκάλουν ὑμᾶς· καί· « Καλῆς πατρίδος καλὰ γεννήματα »*[4], *ἔλεγον, « ἐφ' ἡμῖν ἅπασα πόλις κεῖται, ἐφ' ἡμῖν ὁ δῆμος σαλεύει*[5], *ἐφ' ἡμῖν ναοὶ καὶ θῆκαι πατέρων καὶ μνήματα καὶ πᾶν ἄλλο τῆς πόλεως κάλλιστον ἕστηκε.* **Κἂν** *ἡμεῖς ῥαθυμήσωμεν, φροῦδα τὰ πάντα· κἂν ἐπιμεληθῶμεν, σωθήσονται.* **Μικρὸν** *τὸ σωτῆρας ἀκοῦσαι τοιαύτης πόλεως; μικρὸν ἡμῖν εὐεργετῆσαι τὴν θρεψαμένην;* **Μὴ** *δὴ καθυφῶμεν, παρακαλῶ*[6]· *μὴ δειλανδρήσωμεν.* **Κἂν** *ζῶμεν, εὐκλεεῖς ἐσόμεθα τοῦ λοιποῦ· κἂν μαχόμενοι πέσωμεν, ἐκεῖνοι τιμήσουσι ταῖς ταφαῖς, ἐκεῖνοι στέψουσι καὶ θανόντας, ἐκεῖνοι τοὺς ἡμετέρους παραμυθήσονται ».*

Τί φατέ; γνώμης ταῦτα κακῆς; γνώμης δολίας πρὸς τὴν πατρίδα; **Καὶ** *εἰ ψυχῆς ἐθελοκάλου ταῦτα, σχολῇ γ' ἂν ἕτερά τινα καλοκαγαθίας ἔσται γνωρίσματα.*

Ἐγὼ *μὲν πρὸς τὴν κατηγορίαν ἀρκούντως ἤδη ἀπολελόγημαι, καὶ οἶμαι οὐ πλειόνων χρῄζειν ὑμᾶς, πρὸς ὅτι καὶ γνώσεσθε τὴν ἡμετέραν προαίρεσιν*[7]. **Ἀλλ'** *ἀρκεῖ ταῦτα, ὅτι οὐδὲ μεμελετημένως ἔχω πρὸς λόγους ἐγώ.*

Ὑμεῖς *δὲ ἕν μοι δότε, παρακαλῶ· ἕν μοι χαρίσασθε, ναὶ πρὸς*

[1] Codex, *τούς*. Scripsi *τοῖς*.

[2] Cod., *ὑφορώμην*. Solita vocalium *ω* *ο* commutatio. Pachymeres Hist. Andr. 6, 2, p. 475: *κοινωνούντων οἷς οὐ κοινωνεῖν ἄξιον*. Est *οἷς* conjectura viri doct. fortasse calidius recepta. Codex quem vidi non discrepat ab editione. Legerim mutatione unius litteræ facillima: *κοινωνούντων οὐ κοινωνεῖν ἀξίων*· « communicantibus communione indignis ».

[3] *Θεοὺς ἐποτνιώμην*] vide p. 24, n. 2.

[4] *Καλῆς.... καλά*] vide p. 55, n. 1.

[5] De formula *σαλεύειν ἐπί τινι* qua utetur mox p. 89, vide notas ad Choricium, p. 95. Quod dixi in Indice Choriciano, me promissam annotationem non scripsisse, pro indicto habeatur.

[6] Formula *παρακαλῶ* placuit sophistæ. Eam sæpius vidimus, pp. 11, 14, 23, 31, 68, 78; videbimus mox et sæpius.

[7] Fort. *ὑμᾶς. Προςέτι.... προαίρεσιν.* — *Ἀλλ'....*

τῶν ἐμῶν πόνων, ναὶ πρὸς τῶν ἀγώνων ὧν γενναίως ἠγώνισμαι, πρὸς αὐτῆς τῆς θεόθεν νίκης ἧς ἀπολαύετε· εἰ μὲν τῶν λόγων τοῦ κατηγόρου κατέγνωτε, ψηφίσασθε τοῦτο, καὶ τοῦ γέρως οὐ φροντιῶ. Μόνον κοινὸν γενέσθω τῇ πόλει κήρυγμα, ὡς ὁ τοῖς ἀγαθοῖς ἐνεδρεύων φθόνος, ῥέων κατὰ τῶν ἄλλων ἀκάθεκτα, εὑρὼν ὑμᾶς τοὺς κρίνοντας, ἔστη, καὶ στραφεὶς αὖθις τήκει τὴν τοῦ φθονοῦντος ψυχήν. Εἰ δὲ βούλεσθε δίκην ἐπιτιθέναι τινά, ἔστω θάνατος αὕτη· ἡδέως δέξομαι τοῦτον, ἢ δεξαίμην[1] ἂν ζῶν βλέπειν ἀδοξοῦσαν πόλιν παρὰ τοῖς τὰ ἡμέτερα διαβάλλουσι. Κείσομαι μετὰ Περικλέους τοῦ πάνυ, κείσομαι μετὰ Κίμωνος· συσκηνήσω Θεμιστοκλεῖ. Ἐκεῖνοι μέσον με σφῶν λήψονται, ἐν Ἅδου καθήμενοι· ἐκεῖνοι ἐρήσονται τὰ παρόντα, ἐκεῖνοι κρινοῦσιν ἐμέ.

Καὶ βούλομαι μὲν καὶ εὔχομαι μὴ κἀν τῷ Ἅδῃ διαβεβλῆσθαι ὑμῶν τὴν πρᾶξιν, ἀλλ' ἐμὲ κἀκεῖ κατακρίνεσθαι. Εἰ δ' οὖν, ἀλλ' ὑμῖν γε πάντως μελήσει πῶς ἂν γένοιτο τὴν κἀνταῦθα κἀκεῖ ἀδοξίαν τε καὶ αἰσχύνην ὑμῖν ἀποτρίψασθαι. Ἐμοὶ γὰρ θανόντι ἧττον μέλει τοῦ πῶς ἂν τὴν ἐςαεὶ δόξαν ἔχοιτε πολυπραγμονεῖν, καὶ πῶς ἐπὶ τοῖς ἄλλοις τὸ πιστὸν σχοίητε λέγοντες, κἂν ἐπιστῇ καὶ πάλιν ἀγώνων καιρός, καὶ στρατηγοὺς χειροτονῆτέ τινας, τίνες ἂν προςέξουσι καὶ πεισθήσονται[2].

[1] Ellipsis fit adverbii μᾶλλον.

[2] Codex, πεισθήσωνται. Præcedens futurum προςέξουσι ducebat ad futurum πεισθήσονται. Cum futuro ἂν non repudiandum. Vide p. 68, n. 1, et monita ad Anecdota Gr. t. III, pp. 115, 477.

ΜΕΛΕΤΗ Ε'.

Ἐν τρισὶν ἡμέραις νόμος ἐκέλευε περὶ πολέμου βουλεύεσθαι, Ἐλάτειαν κατασχόντος Φιλίππου. Συμβουλεύει Δημοσθένης[1] αὐθήμερον ἐξιέναι καὶ μάχεσθαι.

Περὶ[2] πολλῶν ἄν, ὦ Ἀθηναῖοι, νομίζω προςήκειν ὑμῖν τοῦ πρὸς Φίλιππον ἀγωνίζεσθαι[3]· οὐ μόνον γὰρ ὅτι τὸ γένος διήλλακται πρὸς ὑμᾶς ἐκεῖνος, καὶ βάρβαρα ἤθη οὐκ ἂν Ἑλληνικοῖς συνέλθοιεν τρόποις, οὐδ' ὅτι, ὑμῖν ὁμορῶν, ἐκ προχείρου, ὅταν ἐθέλοι[4], ἐπιτίθεται καὶ κακῶς ποιεῖ τὰ ἡμέτερα· ἀλλ' ὅτι, καί, ὥς τινα κλῆρον παρὰ πατρὸς Ἀμύντου λαβὼν τὸ ἡμῖν ἐπιβουλεύειν, οὐ διαλείπει νῦν μὲν ταύτην τὴν χώραν καταστρέφων ἐκ τοῦ τὴν πόλιν ἀπατᾷν καὶ παρασπονδεῖν, νῦν δ' ἐκείνην, ὡς μᾶλλον συμφέρειν ὑμῖν ἐχθρὸν ἐμφανῆ ἢ φίλον ἔχειν αὐτόν. Καὶ πάντοτε τοίνυν τὸ πρὸς ἐκεῖνον ἐκφέρειν πόλεμον Ἀθηναίους συμφέρον αὐτοῖς ἴδοι τις ἄν, οὐχ ἥκιστα δὲ νῦν, ὅτε πόλιν ἐκ παλαιοῦ προςήκουσαν Ἀθηναίοις καὶ σύμμαχον (τοὺς γὰρ Ἐλατεῖς οἴδατε πάντες ὁποῖοι τὰ πρὸς πίστιν ἡμῖν)· πόλιν τοιγαροῦν τοιαύτην, ἐφ' ἡμῖν καὶ μόνην σαλεύουσαν[5], καταλαβὼν ἔχει, καὶ πίστεις ἐκείνας καὶ ὅρκους, καὶ συνθήκας ἃς πρὸς ἡμᾶς ἐποιήσατο παριδών, ὡς ἄλλως λόγους κένους, ὑπερηφανεύεται καθ' ἡμῶν τὰ μεγάλα, ὡς οὐκ ἂν βοηθησόντων οἷς ἐκεῖνος ἐπιχειρήσειε πώποτε. Χρὴ γοῦν μὴ δι' ὧν ἄν τις ἡμῶν[6] καταγνοίη τὰ μέγιστα, ταῦτ' ἐᾷν ἐκεῖνον ποιεῖν, ἀλλὰ παντὶ τρόπῳ, καὶ σώμασι καὶ χρήμασι[7], βοηθεῖν τοῖς ἡμε-

[1] Non modestus est sophista Demosthenis illius personam sibi assumens. Par fuit Libanii audacia, cui melius cessit.

[2] Schol.: ἡ στάσις πραγματική. — Τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ πράγματος.

[3] Eadem syntaxi Theodulus in meis Anecd. Gr. t. II, p. 266 : Καλλιμάχῳ τοῦ τιμᾶσθαι προςῆκε. Vide notam ibid. p. 248, jam indicatam in Thes. Didot.

[4] Sic ipse sæpius, vel librarius facit solœcismum.

[5] De σαλεύειν vide p. 80, n. 5.

[6] Codex ὑμῶν superscripto ἡ.

[7] Infra p. 92, 14 : χρήμασι καὶ σώμασι μάχεσθαι.

τέροις, ὡς ἂν πανταχοῦ τις εἰδείη ἡμᾶς ἕξων τοὺς ἀντιστησομένους, ἢν ἐκείνους τις ἀδικοῖ.

Ὁ μὲν[1] οὖν παρὼν καιρὸς οὗτος ὁ πρὸς ἑσπέραν ἀγγελίαν μὲν ἔχει κακῶν καὶ μεγάλων, ὡς Ἐλάτεια κατείληπται[2], συγκαλεῖ δὲ ἡμᾶς ἀθρόον εἰς βουλευτήριον, ὡς ἀδόκητον ἔχων κακόν.

Καὶ δὴ πάντες μὲν πρὸς τὴν δεινὴν ταύτην ἀγγελίαν τεθήπασι, καὶ οὐδεὶς ὅςτις μὴ κακὴν λέγει ταύτην καὶ τοῖς κοινοῖς ὀλέθριον, καὶ ὡς πολέμου δεῖ πρὸς ἐκεῖνον ἡμῖν, καὶ ὡς οὐκ ἄλλως ὂν αὐτὴν καὶ πάλιν τοῖς ἡμετέροις ἐπανασώσασθαι· περὶ δ' αὐτοῦ πότε καὶ πῶς ἡμῖν ἐξιτέον εἰς πόλεμον, εἰσὶ μέν τινες τῶν ὧδε οἳ πρὸς τοὺς ἄλλους ἀμφισβητοῦσι, νόμον προτείνοντες ὡς ἐν τρισὶν ἡμέραις δεῖ βουλεύεσθαι τοὺς πολίτας περὶ τοῦ πολέμου. Διὰ τί; ὅτι ἕκαστος ἡμῶν, εὐδοξίας χάριν, τῆς νίκης ἐφίεται, καὶ βούλοιτ' ἄν, πρὸς ἀνταγωνιστὴν ἰσχυρὸν ἔχων[3], εἶτα νικᾷν, ἤ, πρὸς ἀσθενῆ καὶ τοῦ μηδενὸς ἄξιον πολεμῶν, περιεῖναι. Τὸ μὲν οὖν διὰ τούτων προτρέπειν ἡμᾶς ἐξιέναι θαῤῥούντως καὶ τάχιον, οὐκ ἂν ἔχοι λόγον· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι λέγειν καὶ προτρέπειν εἰς τὴν κατ' ἐχθρῶν ἔξοδον, ταῦτ' εἴπω καὶ πειράσομαι διὰ τέλους διεξελθεῖν.

Ἐγὼ νομίζω, εἴ τις ὑμῖν τὸ συνοῖσον προθήσει, καὶ φανερὸν τοῦτο τῇ πόλει γένοιτο, ἀντὶ πολλῶν ἂν χρημάτων ἑλέσθαι[4], μηδ' αὐτῶν φειδομένους σωμάτων πρὸς τὸ ἐπιτυχεῖν ἃ συνοίσει τῇ πόλει, κἂν ἐργώδη καὶ χαλεπὰ ᾖ. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, οὐ μάντεως δεῖ, οὐδὲ στοχαστικῶς λέγω· ἀλλὰ καθ' ἑκάστην ὁρῶ καὶ δῆμον συγκαλούμενον καὶ ῥήτορας λέγοντας, καὶ βουλὰς προβαινούσας καὶ πράξεις, οὐκ ἄλλου χάριν ἢ τοῦ συμφέροντος. Καὶ εἴπερ τις, ἢ θεὸς ἐξ Ὀλύμπου, ἢ θεόθεν ἔχων τὸ λέγειν, παραστὰς αἵρεσιν ὑμῖν ἐδίδου πότερ' ἂν καταδέξοισθε συμπεσεῖν

[1] Schol.: δεύτερον προοίμιον.

[2] Expressit ipsum Demosthenem De Cor. § 53: ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις ὡς Ἐλάτεια κατείληπται. De Elatea Bremius ad Phil. 1, § 14; Vœmel ad Phil. 11, p. 22.

[3] Sic codex. Omisit nonnihil librarius. Fortasse legendum πολεμεῖν ἔχων, ἔχων ἀγῶνα. Et ellipsis est solita adverbii μᾶλλον.

[4] Demosthenes initio Olynthiacæ 1: ἀντὶ πολλῶν ἄν, ὦ ἄ. Ἀ., χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει.

ὑμῖν χαλεπὰ καὶ συμφέροντα, ἢ ῥᾴδια καὶ ἀσύμφορα, οἶμαι τότε πάντας ἂν πρὸς τὸν λόγον βαρέως ἐνέγκαντας πάντως εἰπεῖν χαλεπά, εἰ συμφέρει μόνον τῇ πόλει, καὶ ὅτι τοῦ ῥᾳδίου λόγος οὐδεὶς τοῖς ἐξ ἔτι νηπίου στυγοῦσι τὸ ἀφερέπονον.

Ταῦτ' εἰδώς[1], ὦ ἄνδρες Ἀθηναῖοι, ἔχω μὲν λέγειν ὡς οὐ χαλεπὸν τὸ πρὸς Φίλιππον πολεμεῖν. Οὐδὲ γὰρ ἄρτι πρώτως τῆς πρὸς αὐτὸν μάχης γευσόμεθα· ἀλλὰ καὶ πολλάκις ἄλλοτε συνεπλάκημεν, καὶ ἔδειξε τότε Ἑλληνικῶν ἐπιτηδευμάτων, βάρβαρος ὤν, παμπληθὲς ἀπέχων[2]. Χωρὶς δὲ τούτου καὶ τὸ ἐγγὺς συλλαμβάνει ἔχουσιν ἐκ προχείρου καὶ ὅπλα καὶ τροφὰς μετακομίζειν, καὶ ἀποστόλους[3] πέμπειν δυνάμεις, ἂν οὐκ ὦσι νῦν ἕτοιμοι, καὶ ἐξ ἀμοιβῆς ἄνδρας ἀκμῆτας μακρόθεν ἐλθοῦσι καὶ τῷ προτέρῳ κεκμηκόσι πολέμῳ συμβάλλειν παρασκευάζειν καὶ μάχεσθαι.

Οὐκ ὀλίγη δὲ προςθήκη[4] καὶ Ἐλατεῖς· ἀναθαῤῥήσουσι γάρ, καί, ἄλλους ἰδόντες ὑπὲρ αὐτῶν μαχομένους καὶ τὴν προθυμίαν δεικνύντας ἐκ τοῦ καὶ νόμον τὸν ἐφ' ἡμέραις κωλύοντα παραλύειν[5], αὐτοὶ καὶ μᾶλλον ἐπιθήσονται, τρόπον ὑῶν[6] πρὸς δόρυ μαχομένων ἐξ ἀπογνώσεως.

Ἔχω μὲν οὖν λέγειν ταῦτα καὶ ἀληθῶς λέγειν, κἀκ πολλῶν ῥᾴδιον δεικνύειν τὸν πρὸς τὸν Μακεδόνα πόλεμον· οὐ μὴν δέ[7], ἀλλὰ πολλῷ μᾶλλον καὶ χαλεπὸν εἴπω καὶ δεινὸν ἀνύσαι καὶ πολλῆς τινὸς πραγματείας δεόμενον, μὴ ὅτι γ' αὐθημερόν, καθὼς ἀξιοῦμεν, ἐξιοῦσι καὶ πολεμοῦσιν ἡμῖν, ἀλλ' εἰ καὶ μεθ' ἡμέρας πολλὰς ἑτοιμασθῶμεν ὡς δεῖ πρὸς τὸν κατ' αὐτοῦ πόλεμον. Καὶ

[1] Schol.: κατ' ἔνστασιν.

[2] Codex, hic et infra, παμπληθές. Scribitur enim πάμπληθες, ut ἄληθες. Codici hærendum fuit unico. Demosthenes De falsa Legat. § 19: μνησθῆναι πάμπληθες ἀπέσχεν.

[3] Est ἀπόστολοι de expeditione maritima nomen Demosthenicum. Vide Vœmel., Reuter., Brem. ad Phil. 1, § 35. Nude Demosthenes ἀποστόλους dicit, noster ellipsin implet addito δυνάμεις.

[4] Et id Demosthenicum. Orator Olynth. 2, § 14: ἡ μὲν Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν μὲν προςθήκης μέρει ἐστί τις οὐ σμικρά· vel ut alii, ἐν μὲν προσθήκῃ μερίς.

[5] Sic omnino codex. Fortasse scriptum fuit: τὸν ἐφ' ἡμέραις γ' ἐξιέναι κωλύοντα παραλύειν. Cf. p. 83, 11; p. 87: τὰς τρεῖς ἡμέρας ἀναλώσομεν.

[6] Illa aprorum metaphora utetur et inferius Declam. VII.

[7] Schol.: κατ' ἀντιπαράστασιν.

οἶδα μὲν λόγον λέγων, ὃν οὐδ' ὑμῶν τινὲς κατεδέξαντο· ὅμως ἔστω τοῦτο καὶ κείσθω τοῖς οὐχ ἁπλῶς πολεμησείουσι πρὸς αὐτόν, ἀλλ' ἐξ ἀνάγκης ἔχουσι πολεμεῖν.

Τί γοῦν; διὰ τοῦτο καὶ τοῦ πολέμου ἀποστατέον ἡμῖν, ἢ καὶ ἡμερῶν τριῶν δεήσει πρὸς τὸ βουλεύεσθαι πῶς δεῖ πολεμεῖν; Διὰ τί, ὦ Ἀθηναῖοι, διὰ τί ταῦτα; καὶ τίσιν ἂν λόγος ὑποληφθείη, ὥςτ' ἐν τοσούτῳ λέγειν ὅτι, ἀνάγκης ἐπικειμένης, δεῖ ῥαθυμεῖν καὶ μὴ ἐξιέναι, μὴ μάχεσθαι, μὴ σώζειν συμμάχους, μὴ τὴν πόλιν ἐᾶν τὰ συνήθη ποιεῖν, ὅτι Φίλιππος φοβερός; καὶ πότε τοῦτ' ἤκουσέ τις ἐπὶ τῆς ἡμετέρας[1] πόλεως; εἰ δέ γε παρελθὼν ἄλλος ἴσως ἐρεῖ, ὡς « Δεῖ ἐξελθεῖν, ἄνδρες, καὶ πρὸς ἐκεῖνον τὸν φοβερὸν πειρᾶσθαι μάχεσθαι, δυοῖν ἕνεκα[2], τοῦ τε τοὺς συμμάχους σώζειν καὶ τοῦ τοῖς ἡμετέροις περιποιεῖν τὴν ἀσφάλειαν· εἰ δ' οὖν, ὅσον οὔπω τὰ ἐκεῖ φοβερὰ ἐνταῦθα πολλῷ φοβερώτερα ἔσται »· εἰ οὕτω τις ταῦτα λέγει, καὶ πρὸς ἐκεῖνον ἀντιλέγει τις τὸν προςόνθ' ἡμῖν συμβουλῆς τρόπον, τίνι προςθήσεσθε πλέον, καὶ τίνος ἀκούσεσθε; οὐκ εὐθὺς τούτου; εἴπερ ὑπὲρ τῆς σωτηρίας ὑμῶν φροντίζετε. Οὐδὲ γὰρ ἐκεῖνα πάντως ἐρεῖ τις, ἃ δὴ οὐδ' ἐπὶ τῶν φοβερῶν ἐκείνων Περσῶν ἀκοῦσαι μόνον ἠνέσχεσθε.

Οὐκ οἴδατε[3] τὸν Κυρσίλον[4] ὁποῖα πάθοι, ὅτι περὶ γῆς καὶ ὕδατος λόγον ἐξήνεγκεν, οὔτ' ἐκείνῳ λέγειν, οὔθ' ὑμῖν[5] ἀκοῦσαι προςήκοντα; καί τοί γ' ἐκεῖνον[6] ἔπειθον τοιαῦτα λέγειν τὰ τῶν ἄλλων δεινά, κρείττω ἢ κατ' ἀκοὰς ὄντα τὰς ὑμετέρας καὶ ἀδοξίαν τῇ πόλει φέροντα· νῦν δέ, ἀλλὰ τί τοιοῦτον ἰδὼν τίς τοιαῦτ' ἀκούειν ἀνέξεται; εἴ γε τέως ἐρεῖ τις. Εἰ δὲ καὶ ἐρεῖ τις, μή μοι σωζέσθω, μὴ δ' ἀπολλύσθω μηδὲν τῶν δικαίων τῆς πόλεως,

[1] Codex, ὑμετέρας, superscripto ἡ ab eadem manu.

[2] Demosthenes Olynth. 1, § 5 : δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν. Et De Cor. § 173 Bremi : δυοῖν ἕνεκ' ἀκούσατε.

[3] Schol.: ἐργασία ἀπὸ παραδείγματος.

[4] Demosthenes De Cor. § 204 : τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. Ibi Bremi. Himerius Ecl. 5, § 17 : Κυρσίλου μοι λέγεις ῥήματα. Ibi Wernsdorf. Confer et Jebb. ad Aristid. Or. 13, p. 227 ; Tzetz. ad Lyc. 1432.

[5] Codex, ἡμῖν.

[6] Schol.: ἐνθύμημα ἀπὸ τοῦ καιροῦ ἢ τοῦ τρόπου.

ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα βούληται. Ἐν δὲ τῶν δικαίων τῇ πόλει, καὶ τὸ τῶν συμμάχων ὑπερμαχεῖν, καὶ μηδὲν φοβερὸν ἡγεῖσθαι, κἂν στέρησιν εἴποι τις τῆς πατρίδος, κἂν θάνατον, εἰ μόνον ἀναγκαῖον ἐστὶ βοηθεῖν καὶ δόξαν τῇ πόλει φέρει τὴν πρέπουσαν· ὃ δὴ καὶ σωζέσθω, οὐκ ἂν ἐγὼ θέλω, οὐδ' ἄλλος[1], ἀλλ' ὡς ἀναγκαῖον τῇ πόλει, κἂν πάντες μὴ θέλοιμεν.

Μέγας ὁ Φίλιππος καὶ δεινός· ἀλλ' ἡ πόλις ἡμῶν οὐδενὸς ἀξία καὶ ἀσθενής; πολὺς ὁ στρατὸς ἐκείνου, καὶ θάῤῥος ἔχει καὶ ἐμπειρίαν πρὸς πόλεμον· ἀλλ' ὁ ἡμέτερος ὀλίγος τις καὶ δειμαλέος, καὶ τὰ πρὸς πόλεμον ἄπειρος; Μανείην ἄν, εἰ λέγοιμι ταῦτα. Ἐξέστημεν τῆς τάξεως, ἐφ' ἧς οἱ πατέρες ἡμᾶς καταλείψαντες ἀπῆλθον; ἠμνημονήσαμεν τῶν παραγγελμάτων ἐκείνων; τὰς πράξεις παρ' οὐδὲν ἐθέμεθα; ἐκεῖνοι γάρ — ἀλλὰ μηδεὶς τὰ παρόντα μείζω, πρὸς ἐκεῖνα συγκρίνων, νομίσειεν — ἐκεῖνοι τοιγαροῦν, Λακεδαιμονίων ἀμφισβητούτων τῆς τῶν Ἑλλήνων ἀρχῆς καὶ καιροῦ δραξαμένων, καὶ τυράννους τῇ πόλει ἐπιστησάντων, ἐκείνους δὴ τοὺς ὑμνουμένους Τριάκοντα, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς[2], οὐκ ἔπτηξαν, οὐδ' ἐδειλίασαν τὸ τότε συμβάν· ἀλλ' ἐξελθόντες οἱ πλείους ἐν Πειραιεῖ[3], κἀκεῖθεν

[1] Cod., οὐδ' ἄλλος. Margo, Γρ. οὐκ ἂν ἄλλος. Fort. οὐδ' ἂν ἄλλος.

[2] Describit Demosthenem Cor. § 28 : Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς. Qui sint ἁρμοσταί explicat Ulpian. ad Leptineam, § 55 : ἁρμοστὰς τοὺς ἐν ταῖς πόλεσιν ἄρχοντες τῶν Λακεδαιμονίων λέγει. Ἐκάλουν δὲ αὐτοὺς οὕτω διὰ τὸ ἁρμόζειν τὰ ἤθη τῶν πολιτῶν τοῖς τῶν Λακεδαιμονίων. Ibi Wolf. Diod. Sic. 13, 66 : ὁ δ' ἐν τῇ πόλει καθιστάμενος Ἱπποκράτης ἡγεμών, ὃν οἱ Λάκωνες ἁρμοστὴν ἐκάλουν. Ibi Wessel. Adde Jacob. Quæst. Luc. c. 4 ; Longuev. ad Isocr. Pan. p. 161 ; Morum ad Xen. Hellen. Et nunc Ionicæ Reip. magistratui ἁρμοστής nomen est.

[3] Cod., πυραιεῖ. Idem est sonus vocalium ει et υ. Inde permutantur. Themistocles Ep. 9, p. 39 Schœttg.: ἔγωγε πέπεισμαι (imo πέπυσμαι, ut est in Caryophylliana. qua tamen usum esse se Schœttgenius profitetur) διότι ἡ φυγὴ μὲν ὀλίγον τι ἔδοξεν αὐτοῖς εἶναι τιμώρημα ἐπ' ἄνδρα τοσαῦτα (addesis e Caryoph. καὶ τηλικαῦτα) κατειργασμένον.... Atque sic Caryophyllum neglexit describere p. 43 : εἰ δὲ καὶ πεφύκοις, ἀποκρύπτου τὰ πλείω καὶ ἀγάπα λανθάνων. Codex et Caryoph.: εἰ δὲ πεφ. ὥσπερ καὶ πέφυκας, ἀποκρ. Rursus, p. 48 : οὐχ οὕτως ἤδη μισητέον Ἀθηναίους ἡμῖν, ὥστε καὶ τοιαῦτά τινα περὶ αὐτῶν ὑπολαμβάνειν, οἷα οὔτε ἐγένετο πώποθ' ὑπ' αὐτῶν, οἶμαι δὲ ὅτι οὐδὲ ἄρα γένοιτο. Restituo e Caryoph.: οἶμαι δὲ ὅτι οὐδὲ ἔστιν, οὐδὲ ἄρα γέν.

ὁσημέραι ἀντιταττόμενοι, κρείττους ὤφθησαν τῶν τότε φόβων καὶ τοῦ καιροῦ, καὶ ἔδειξαν θάνατον εὐκλεᾶ δουλείας ἀπρεποῦς ἀνθαιρούμενοι. Καὶ νῦν ἐστὶ μνήματα περιφανῆ τῶν τότ' ἀγωνισαμένων, τὰ τούτων μνήματα, ἵν' ἔχοιμεν βλέπειν πρὸς ἐκείνους, καὶ πράττειν ὅσα δὴ καὶ πραχθέντα δόξαν ἔχει τῇ πόλει μηδέποτε λήγουσαν.

Εἰ γοῦν[1] καιροὺς τρίβοιμεν[2] καὶ ἀναβολὴν ὑπερτιθείμεθα, μενεῖ γε καὶ εἰςέτι ἡμῖν ἡ ἀπὸ πατέρων προςοῦσα δόξα ἣν ἔχομεν; Ἐγὼ μὲν οὐκ οἶμαι· ἀλλὰ καὶ μᾶλλον, καὶ ἣν ἐμέλλομεν σχεῖν ἐκ τοῦ ἐξελθεῖν ταχέως καὶ πολεμεῖν, οὐκ ἂν γένοιτο, καὶ εἰ πολλὰ μετὰ ταῦτα κάμοιμεν. Ἀποκαραδοκήσουσι γὰρ Ἐλατεῖς, οἶμαι, καὶ πλέον τοῦ εἰκότος τὸν Φίλιππον θεραπεύσουσι, εὐεργέτην καὶ κύριον ἀνομολογοῦντες, καὶ πάντ' αὐτῷ ὑπείκοντες. Ὁ δ' ἀποσεμνυνεῖται, ὡς ἔθος ἐκείνῳ, καὶ εἰρωνευσάμενος εἴποι· « Ὁρᾶτε οἷα τῇ τῶν Ἀθηναίων πόλει προςκείμενοι πάσχετε; Οὐκ ἐγὼ 'λεγον[3] διαμηνυόμενος ὡς μάτην ἐπ' Ἀθηναίοις ἐλπίζετε; τί συνήνεγκεν ὑμῖν τὸ ἐπ' ἐκείνους[4] θαῤῥεῖν »;

Καὶ ταῦτ' ἐκεῖνος ἐρεῖ. Καὶ τὸ λοιπὸν ἡμεῖς μὲν τὰς τρεῖς ἡμέρας ἀναλώσομεν κατ' αὐτοῦ βουλευόμενοι· ἐκεῖνος δὲ ἀδοξίαις πάσαις περιβάλλειν τὴν πόλιν οὔμενουν οὐκ ὀκνήσει, καὶ τῶν καθ' ἡμῶν παροινιῶν πληρώσει πολλῶν ἀκόας. Ἅμα δὲ κἀκεῖνος βουλεύσεται, καὶ τούτῳ οὐχ, ὡς ἐλπίζετε, περιτεύξεσθε. Περισυνάξει γὰρ

[1] Schol.: τὸ ἔνδοξον.

[2] Vide p. 65, n. 2; 88, 10; 89, 14.

[3] Codex, ἐγῶλεγον. Non male scripsisse puto, ἐγώ 'λεγον. Qui in talibus elisionibus scribunt ἐγὼ 'λέγον mala pronuntiatione uti videntur. Nam decurtatum verbum accentu novo non est notandum. Qui non pronuntiabant ἐγὼ ἐλέγον, non potuerunt ἐγὼ 'λέγον pronuntiare, sed ἐγώλεγον, ac, perspicuitatis causa, scripserunt ἐγώ 'λεγον, quod scripsi. Initio Luciani Votorum Basileensis et Bipontina ἐμώ 'λεγον, Fritzschiana ἐγὼ 'λεγον, recentissima integris litteris ἐγὼ ἔλεγον. Christopuli nonnulli versus sic typis exhibentur: φθερὰ ᾽χεν ἀναμμένα.... Αὐτὸ ᾽ναι στῆθος· τί τὸ τρυπᾷς;.... Νὰ ᾽σαι κορῶνα· Νὰ ᾽σαι θεά. Quæ vis potest accentuum esse, qui in chartæ inanitate pendent? non juvant pronuntiationem, quum nil sit quod pronuntiari queat; offendunt oculos, et intelligentiam impediunt. Reponi velim: φθερά 'χεν, αὐτό 'ναι, νά 'σαι. Apostropho diphthongi finalis defectus significatur: Τὸ εἶπεν ἡ Πυθία, καὶ εἶν' ἀληθινόν. Initialem pariter significari defectum quid vetat?

[4] Codex sic, ἐπ' ἐκείνους. Malim dativum quo modo est usus.

τὰς δυνάμεις αὐτοῦ[1], καὶ ἀναῤῥώσει πεπονηκυίας ταῖς ὑποσχέσεσι, καὶ μεγάλαις ἐλπίσιν αὐτὰς θαῤῥυνεῖ. Καὶ τότε πολλῶν ὑμῖν δεήσει πάντως παρασκευῶν πρὸς τὸν κατ' αὐτοῦ πόλεμον· νῦν δέ, ἀλλ' ἐπαρθέντες τῇ νίκῃ, κἂν ἀκούσωσιν ἐξιόντας, οὐ φροντιοῦσι. Τὸ γὰρ τῆς νίκης ὑπόγυον καὶ πρὸς τοὐπιὸν ἐχέγγυον δόξει, καὶ ἀνετοίμοις προςϐαλεῖτε καὶ ἀπαρασκεύοις συμμίξετε. Καὶ ὅσον δόξης ὑμῖν νικήσασι περιέσται ἐντεῦθεν, οὐκ ἔχω λέγειν ὑμῖν.

Διὰ τοῦτο[2], ἄνδρες, παρακαλῶ, μὴ τὸν καιρὸν προϊώμεθα[3], οὗ πάντα ὕστερα πολεμοῦσι, μὴ δὲ κατατρίϐωμεν τοῦτον διὰ κενῆς· ἀλλ', ἀπ' αὐτοῦ σχεδὸν τοῦ βουλευτηρίου, τὰ ὅπλα λαϐόντες, ἐξίωμεν. Μηδεὶς ἀσυντελὴς πρὸς τὴν παροῦσαν χρείαν φανήτω, μηδεὶς ῥᾴθυμος, μηδεὶς ἀναπεπτωκώς. Ἀλλ' οἱ μὲν ψηφίζεσθε· οἱ δ'[4] ἕτοιμοι γίνεσθε πρὸς τὴν ἔξοδον· οἱ δ' ὁπλίζεθε τούτους, καί, πρὸ τοῦ τὰ ὅπλα ἐνδύσασθαι, λόγοις, ὡς εἰκός, παρακλητηρίοις[5], οἱ δὲ σὺν ἀγαθῇ τύχῃ προπέμπετε. Οἱ δὲ πρυτάνεις, ἑτοιμάζετε τὰς τροφάς.

Εἰ δὲ καὶ ξενικοῦ δεήσει, θρέψει καὶ τούτους ἡ πόλις· οὐδὲ γὰρ ἀποροῦμεν χρημάτων· ἱκανῶς ἔχει τῶν πρὸς τὴν χρείαν. Καὶ ἄλλοτε μὲν ἴσως τὸ κοινὸν συντελήσει ταῖς χρείαις, καὶ ὥςπερ ἐξ ἐράνου τινὸς ὁ δῆμος συνειςενέγκῃ χρήζουσι. Τέως δὲ τὸ κοινὸν ταμιεῖον ἀρκέσει καὶ ἡ ἀκρόπολις[6] πρὸς τὸν παρεμπεσόντα πόλεμον.

Καὶ πάλαι μὲν ὑπὲρ Ὀλυνθίων ὁρμωμένοις χρημάτων ἔδει[7], καὶ πρὸς τὰ θεωρικὰ τῷ δήμῳ ἐϐλέπομεν[8], ὡς μηδαμῶς ὄντων ἑτέρων στρατιωτικῶν· νῦν δέ, καὶ τὰ θεωρικὰ μενοῦσιν ἀπαρεγχείρητα

[1] Codex, αὐτοῦ.

[2] Schol.: ἐπίλογος.

[3] Nam, ut Syrus ait: « Occasio receptus difficiles habet ».

[4] Codex, οἵ δ'. Et sic statim.

[5] Sic παρακλητήριος subaudito λόγος infra p. 118, n. 1. Conf. Thes. Stephani Did. in παρακλητήριος.

[6] In acropoli erat Thesaurus publicus.

[7] Respicit nobilem locum Demosthenis Olynth. 3, § 6: δεῖ δὲ χρημάτων. Nicephorus Chumnus Epist. 160, in Anecdotis meis Novis: δεῖ δὴ χρημάτων, εἴρηταί τινι τῶν πάλαι, καὶ σφόδρα τὰ κοινὰ συνετῶν, καὶ καλῶς εἴρηται. Ibi nota p. 180; coll. Rüdig. ad Dem. 1.

[8] Suasit tecte Demosthenes ut τὰ θεωρικά fierent στρατιωτικά Olynth. 3, § 6.

καὶ τοῖς δημοσίοις ἀρκεσθησόμεθα, καὶ οὐδεὶς ἐμποδίσει τρόπος ἀμηχανίας πρὸς τὴν αὐτόθεν ἔξοδον.

Κεφάλαιον τῶν λόγων[1].

Ἐγὼ μὲν τὸ τὸν καιρὸν συντεμεῖν πρὸς τὰ παρόντα καὶ συμφέρον ἔδειξα, καθόσον οἷόν τ' ἦν, καὶ ῥᾴδιον ὡς οὐδέποτε, πρὸς δὲ καὶ ἀναγκαῖον τῇ πόλει καὶ ἔνδοξον. Προςτίθημι δὲ[2] καὶ τοῦτο, ὡς καὶ μόνον αὐτὸ τὸ ψηφίσασθαι καὶ ἐξελθεῖν οὔ τι γ' εὐκαταφρόνητον ἔσται, ὡς ἔγωγε κρίνω, ἵν', ἤ, διὰ τὸν φόβον καὶ τὸ ἐπ' αὐτὸν ἕτοιμον, τῶν Ἐλατέων ἀπόσχηται Φίλιππος, ἤ, καταφρονήσας, ἀφύλακτος ληφθῇ.

Κἀγὼ μὲν οὕτω καὶ γνώμης καὶ λόγων ἔχω· ὑμεῖς δέ, εἰ μὲν δύνασθε ἀντειπεῖν, καὶ δεῖξαι ἄλλως ἐνὸν ἢ βοηθῆσαι τοῖς συμμάχοις ἢ τὸν Μακεδόνα καταγωνίσασθαι, ἀναστάντες ἐν τῷ παρόντι λέγετε, μὴ καὶ τριβῇ λέγουσιν ὁ χρόνος, καὶ μηδὲν τῶν ἡμετέρων λόγων, ἥν που καὶ καλῶς δόξωμεν συμβουλεύειν, ὀνήσησθε· εἰ δ' οὖν, ἀλλ' ἀντίδοτέ μοι τὴν εὐπείθειαν, καὶ δότε τοῖς συμμάχοις πᾶσιν ἐκ τῶν παρόντων ἀγαθὰς πίστεις, ὡς οὐδεὶς περιέσται τούτων πολέμιος, ἐς τ' ἂν ἡ πόλις τῶν Ἀθηναίων σώζηται· καὶ παράδειγμα θέσθε τοῖς ὑμετέροις παισίν, ἵν' ἐπὶ καιρῶν προθυμῶνται καὶ οὗτοι, πρὸς ὑμᾶς καὶ τὴν ὑμετέραν σπουδήν, καθάπερ ἀμέλει καὶ ὑμεῖς πρὸς τοὺς ὑμετέρους πατέρας, ὡς πρὸς ἀρχέτυπον βλέποντες. Γνώσονται δὲ καὶ οἱ ἀντίπαλοι μὴ ῥᾳδίως καταφρονεῖν Ἀθηνῶν, καὶ τοῖς συμμάχοις ἐπιχειρεῖν, ἂν ἀνάγκη πάντως ὑμῖν καὶ αὐτῶν τῶν ἀκινήτων ἅπτεσθαι[3] καὶ μεταποιεῖν, καὶ νόμων ὑπερορᾷν ἀρχαίων, εἰ μόνον τοὺς συμμάχους περιποιήσεσθε.

[1] Κεφάλαιον τῶν λόγων] videsis p. 58, not. 2.

[2] Schol.: τὸ ἐκβησόμενον.

[3] Vide p. 88, n. 8.

ΜΕΛΕΤΗ ς'.

Ἀριστεύσας[1] τις ᾔτησεν εἰς τὸ γέρας πολίτου φόνον. Δέδωκεν ἡ πόλις. Εὕρηται[2] προαπεκτονὼς αὐτόν, καὶ κρίνεται φόνου. Μελετῶμεν[3] τὸν κατήγορον.

Τῆς[4] μὲν ἀριστείας τῷ νεανίσκῳ πολλοῦ δέω καὶ τοῦ παντὸς μέμφεσθαι· μᾶλλον μὲν οὖν καὶ ὑπερτεθαύμακα τοῦτον, ὅτι καλὰ τροφεῖα τῇ πατρίδι παρέχειν οὔμενουν οὐκ[5] ἀπώκνησε· τοῦ δὲ γέρως φθονεῖν ἂν ἐνομιζόμην, εἰ μέγα τι καὶ περιφανὲς ᾔτει νικήσας, καὶ ζητῶν ἐτύγχανεν. Ἐπεὶ δὲ φόνος πολίτου τὸ γέρας, πρᾶγμα καὶ πρὸς τὴν ἀκοὴν δυςχερές, μὴ ὅτι γ' ἐπίφθονον, ὃ δὴ καὶ οὗτος μὲν ἐζήτει, πολλῶν θαυμαζόντων τότε, τῆς αἰτίας ἀγνοουμένης, ὑμεῖς δ' ἐδίδοτε, παλαιῷ καὶ καλῶς ἔχοντι νόμῳ πειθόμενοι, πῶς ἂν ἐγκληθείην ἐγὼ φθονῶν, εἰ τὰ τῆς πόλεως δίκαια παρελθὼν λέγοιμι; οὔτε γὰρ τὴν ἀριστείαν ἔχω διαβάλλειν ὡς ἐλλιπῆ, οὔτε τὴν τοῦ γέρως αἴτησιν κακίζειν ὡς ἀπηνῆ· ἀλλὰ καλὴ μὲν ἡ νίκη καὶ τῇ πόλει συμφέρουσα, καλὸν δὲ καὶ τὸ γέρας ἐφαίνετ' ἂν καὶ εἰς φιλοτιμίαν τῷ ἀριστεύσαντι, εἰ καθὼς ᾔτει[6], λαβὼν ἔπραξεν, ἀλλὰ μὴ ἄλλως μὲν ἐλάμβανε ζητήσας, ἄλλως δὲ φθάσας καὶ μὴ ζητήσας εἰργάσατο.

Ὅμως γε μέντοι τὸ πᾶν ἐφ' ὑμῖν ἀναρτῶ, ὡς τὸ κρίνειν δικαίως καὶ κατὰ τοὺς ὅρκους ἔχουσι. Καὶ ὑμεῖς ἂν εἴποιτε εἰ δίκαιόν ἐστιν ἐν δημοκρατουμένῃ πόλει καὶ νόμοις διοικουμένῃ τοιαῦτ' ἐξεῖναι ποιεῖν, καὶ ὀντιναοῦν ἀποκτιννύναι τὸν ἄλλον[7], εἰ μόνον πλάττοιτο πρόφασις.

[1] Schol.: ἡ στάσις. — Id argumentum in scholis fuit ante Pachymerem tractatum. Synesius, sub finem libri De Insomniis, declamatorum deridens ineptias, loco pulcherrimo : ποῦ ἂν εἴη πολιτεία γέρας ἀριστεῖ διδοῦσα κτεῖναι πολίτην ἀντιπολιτευόμενον;

[2] Schol.: μετάληψις.

[3] Μελετῶμεν] vide p. 1; 20, 3; 59.

[4] Schol. : τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ διώκοντος. Φθόνον γὰρ προανακόπτει.

[5] Vide p. 36, n. 3; 87, 20.

[6] Codex, ᾖει. Scripsi ᾔτει.

[7] Fortasse τῶν ἄλλων.

Τὸν[1] μὲν οὖν δῆμον ἐν ταὐτῷ χαίροντά τε καὶ ἀχθόμενον βλέπω· χαίροντα μὲν οἷς ὅτι ἰδίαν τὴν ἀριστείαν ἕκαστος οἴεται, ἑνός τινος ἀριστεύσαντος, ἀχθόμενον δὲ πάλιν ἐφ' οἷς οὐ κατ' ἀριστεῖς ἄλλους, πολλῶν, ὡς εἰκός, γενομένων τοιούτων τῇ πόλει, καὶ ὁ παρὼν ἀριστεὺς οὗτος ᾔτησεν, ἀλλ', ὥςπερ ἄν, ἀριστεύειν μαθὼν κατ' ἐχθρῶν, καὶ κατὰ τῆς πόλεως ἐδοκίμασε χρήσιμον εἶναι τοῦτο καὶ πανταχοῦ, οὕτω μετῆλθε σὺν δόλῳ τὴν αἴτησιν, καὶ ἄλλην καινὴν ἀριστείαν, εἰ μὲν βούλοιτό τις λέγειν, κατὰ πολίτου, εἰ δ' οὖν, κατά γε τῶν διδόντων ὑμῶν ἠθέλησεν ἀποφῆναι τὴν σήμερον. Ἐγὼ δὲ τὸ μὲν γέρας ὃ καὶ δεδώκατε βούλομαι μένειν αὐτῷ, καὶ οὐκ ἂν ἀποστεροίην κἂν ὅ τι καὶ ὅπως ᾔτησεν. Εἰ γὰρ καὶ ἄδοξόν τι προΐσχεται καὶ ἀπηνείας ἔστι μεστόν, ἀλλ', ἐπεὶ τῶν αἰτούντων, οὐ τῶν διδόντων ἐπὶ τοῖς τοιούτοις ἡ βούλησις, ὑμῖν μὲν καὶ οὕτως οὐκ ἂν μέμφοιτό τις, εἰ καὶ πλείονας ᾔτει τῶν πολιτῶν εἰς ἀναίρεσιν καὶ ὑμεῖς ἐδίδοτε· αὐτῷ δὲ καὶ μόνῳ, ἵνα μηδὲν δυςχερὲς εἴπω ἀρχόμενος τοῦ λόγου[2], ἀλλ' οὖν εἰς ἀδοξίαν μεγίστην τὰ τῆς δόξης ἂν περιΐστατο.

Τοῦ μὲν οὖν γέρως, ὅπερ ἔφθην εἰπών, καὶ τῆς δωρεᾶς οὐκ ἂν φθονοίην[3] αὐτῷ· ἀλλ' ἐχέτω καθὼς ᾔτησε· τὸν δὲ τοῦ πολίτου φόνον καὶ λίαν ζητῶ, εἰ δημότης ὢν οὗτος καὶ νόμοις Ἑλληνικοῖς ὑπεύθυνος, ταῦτα πράττειν ἐτόλμησεν, ἃ μηδ' ἐν τοῖς βαρβάροις ἔστιν ἰδεῖν τολμώμενα.

Μᾶλλον δέ[4], ἐπειδὴ εἰς τοιούτους κατέστην λόγους καὶ δίκαιον ἁπλῶς καὶ δικαίως τοῖς λόγοις χρήσασθαι, ἄξιον ἄνωθεν διελθεῖν ὅπως τὰ καθ' ἡμᾶς ἔσχε, καὶ ὅπως στρατηγὸν αὐτὸν κατεστήσαμεν, καὶ ὅπως ἀριστεύσας ᾔτει, καὶ τί πέπραγεν. Οὕτω γὰρ ἂν

[1] Schol.: δεύτερον προοίμιον, ἐξ ὑπολήψεως τοῦ πράγματος, ὅπου συνειςάγεται καὶ τὸ τῶν δικαζόντων πρόςωπον.

[2] Similis formula. Ibi quod conjeci, p. 42, n. 5, præsens confirmat locus.

[3] Codex, φθονείην. Permutatio est solita vocalium ει οι. Themistocles Epist 14, p. 43: δεδίττεις ἡμᾶς, ὦ Θεμιστοκλεῖς, καὶ δειματεῖς. Scribendum δειματοῖς. Obiter tangam Epistolæ initium: ἤ που Λεώτης ὁ ἀρχιερεύς, ὦ Λέαγρε, καὶ Λύσανδρος ὁ Σκαμβωνίδης, καὶ Πριναπης ὁ Πρασιεύς.... Codex, ὁ ἀρχιεύς, optime, modo corrigatur ὁ Ἐρχιεύς. Ita tres Athenienses a populo quisque suo designantur. Atque alibi Ἀρχιεύς pro Ἐρχιεύς male scriptum fuit.

[4] Schol.: προκατάστασις.

κατὰ τρόπον[1] καὶ ἡμεῖς λέγοιμεν καὶ ὑμεῖς ἀκούσαντες κρίνοιτε.

Τὸ μὲν[2] τοὺς πολεμίους λέγειν ὅπως ἐπῆλθον τῇ πόλει, καὶ ὅπως περικαθίσαντες ἐπολιόρκουν καὶ δεινὰ ἐποίουν ἡμᾶς[3], περιττὸν ἡγοῦμαι καὶ ὀχληρὸν ἄλλως, εἰ τὰ πᾶσι δῆλα παρειςκυκλῶ, καὶ φορυτὸν ἄγω συγχύσεων. Κἀκεῖνα[4] γὰρ οἴδαμεν· καὶ αὖθις τάδ' οἴδαμεν, ὡς οὕτως ἔχομεν ἄνθρωποι πρὸς ἀλλήλους, καὶ οὐκ ἂν χρόνον τις ἐννοήσειε δίχα πολέμων καὶ ταραχῆς καὶ φιλονεικίας ἀνθρώπων. Ἀλλά, κἂν πολέμων ἐκτός τις ᾖ, τὸ ἐπὶ δικαστηρίων ἢ μὴν καὶ βουλευτηρίων καὶ ἐπὶ ἀγορᾶς διαμφισβητεῖν οὐκ ἐκλέλοιπε. Καὶ ἡμεῖς πολλάκις ἠνωχλήσομεν ἀλλήλοις, καὶ ἄλλοις ἕτεροι. Συνέβη τοῦτο καὶ ἐφ' ὑμῖν, καὶ γέγονε. Πλὴν οὐκ ἦν ὥςτε καὶ ἀπολέγειν ἡμᾶς[5], καὶ πρὸς τὴν τῶν δεινῶν ἐκείνων ἐπίθεσιν ἀποῤῥαθυμεῖν· καὶ γὰρ καὶ χρήμασιν ἦν καὶ σώμασι μάχεσθαι[6]. Ἑνὸς ἔδει τοῦ στρατηγοῦ· καὶ νικᾷν ἠλπίζομεν, εἰ χειροτονήσομεν καὶ τὸν ἄξιον.

Βουλὴ γοῦν συνήχθη, καὶ σκέψις συνέστη, καὶ περὶ στρατηγοῦ καλοῖς ὁπλίταις προςήκοντος ἀκριβῶς ἐξητάζομεν.

Καί τις παρελθὼν εἰς μέσους — καὶ τῶν λόγων μέμνησθε, οἶδα· εἰ δ' οὖν, ἀλλ' ἀναμνήσω· ὁ γὰρ ἐπιὼν τοῖς προτέροις χρόνος, τὰ αὐτοῦ φέρων, ἐκεῖνα πάντως παραιρεῖται τοῦ μνήμονος — παραστὰς τοίνυν· « Ἄνδρες, » εἶπε, « πολῖται, στρατηγοῦ δεῖ πάντως ἡμῖν, στρατηγοῦ μόνου, τοῦ τοὺς ἡμετέρους κινήσοντος. Τοῦτον ζητεῖν δεῖ, τοῦτον ἐκλέγεσθαι. Πολλοὺς εὑρήσομεν ἐκ τοῦ παραχρῆμα· οὐδὲ γὰρ ἀμοιρεῖ σὺν θεῷ τούτων ἡ πόλις ἡμῶν. Ὁ μὲν ἐρεῖ τοῦτον, ὁ δ' ἐκεῖνον, καὶ ἄλλος ἄλλον· καὶ πάντες δόξουσι χρήσιμοι, καὶ πάντες λόγου τινὸς ἄξιοι. Πλὴν χρὴ διαγινώσκειν τὴν τῆς ἐκλογῆς δύναμιν, καὶ τί σημαίνει τοῦτο τὸ ὄνομα· ὅτι, πολλῶν ὁμοίων παρόντων, προτιμῶμεν τὸν ὑπερφέροντα. Ἔστω γοῦν τις ὁ προτιμώμενος, ἀξιῶ, εἰδὼς μὲν καὶ καλῶς παρατάσσειν λαοὺς καὶ δόρυ στρέφειν ἀρίστως, καὶ τοῖς πολεμίοις

[1] Vide p. 67, n. 4.
[2] Codex, τὸ μὲν οὖν, deleto οὖν.
[3] De δεινὰ ποιεῖν p. 67, n. 1.
[4] Schol.: κατάστασις.
[5] Cod. ὑμᾶς ac supra ἡ.
[6] Vide p. 82, n. 7.

συμπλέκεσθαι· εἰδὼς δὲ καὶ τὸν δῆμον ἀγαπᾶν, καὶ πρὸς ἕνα ἕκαστον οὕτω διακεῖσθαι, ὥςπερ ἂν εἰ πρὸς πατέρα ἢ πρὸς υἱὸν εἶχεν ἢ πρὸς κασίγνητον· καὶ μὴ ὅτι εἷς ὁ πολίτης καταφρονεῖν, μηδ' ὅτι πένης καὶ ἄδοξος ἀποστρέφεσθαι· ἀλλ', ὅτι τὸ κοινὸν ἐξ ἑκάστου, καὶ τοῦτο δὴ δῆμος ἐστὶ τὸ τῶν πολλῶν συμπλήρωμα, καὶ τὸν ἐλάχιστον ἀγαπᾶν. Ἔχθρας δ' ἰδίας ἢ ἐρίδων πολιτικῶν τόσον ἐκείνῳ μετέστω ὅσον καὶ τῶν ἐν Βρετανοῖς ἢ καὶ Σαυρομάταις πραγμάτων ».

Ταῦτ' ἔλεγε, καὶ τὴν αἰτίαν προςετίθει, ὡς ὁ πρὸς ἕνα τῶν πολιτῶν δυςχερῶς ἔχων ἢ καὶ δεύτερον πρὸς τὸ ὑπὲρ παντὸς πολεμεῖν τὸ μέρος ἐλαττωθήσεται, καὶ δείξει μὲν πολιτικὸς ὢν πρὸς πάντας καὶ κοινῶς φιλόδημος, ὅμως δὲ πρὸς ὀντιναοῦν εἰς φιλονεικίαν ἔχων καὶ ἐχθρωδῶς διακείμενος, ὁλοτελῶς οὐ προθυμησόμενος.

Πρὸς ταῦτα, (τί χρὴ μηκύνειν;) τόσον ἀπεδέχεσθε τὴν βουλήν, ὅσον καὶ πάντας σχεδὸν συνομολογῆσαι, καί τινας εἰπεῖν πρὸς ἐκεῖνον· « Ἀμέλει, ῥῆτορ, πρώτη δοκιμασία στρατείας ἡ γνώμη, ἧς μὴ παρούσης ὀρθῆς καὶ δημοτικῆς, καὶ φιλανθρώπου πρὸς ἕκαστον τὸν τῆς πόλεως, οὐκ ἔστιν ἐκεῖνον ὑπὲρ τῶν ὅλων ὀρθῶς στρατηγεῖν ».

Ταῦτ' ἔλεγε τότε[1]. Καί, πολλῶν προτεινομένων, τοῦτον (οὐ γὰρ ἦν ὁ τοῦ πολίτου φόνος δῆλος) τῶν ἄλλων προετιμᾶτε, καὶ ὡς δημοτικῷ καὶ φιλοπολίτῃ τὰ τῆς πόλεως ἐνεχειρίζετε.

Καὶ εὐθὺς περὶ αὐτὸν ἅπαν τὸ ὁπλιτικὸν ἦν. Καί, σύνταγμα γεγονότες ἕν, ἐξέρχονται, παρατάσσονται, νικῶσι μετὰ τῆς τύχης τῆς πόλεως, ἐπανήκουσι νικηταί, συγχαίρουσι τῇ πόλει, δεικνῦσι τὰ τρόπαια, ἀριστεῖς παρὰ πάντων φημίζονται. Ἐπεὶ δ' ἔθος εἰς ἕνα περιϊστάναι, καὶ μὴ εἰς πάντας, τὸ κατορθούμενον, καὶ μᾶλλον τὸν τοὺς ἄλλους ἄγοντα, καὶ ἐμαρτύρουν (δεῖ γὰρ ἀψευδεῖν) τὰ εἰκότα τῷ στρατηγῷ, δέχεται τὴν μαρτυρίαν ἡ πόλις, καὶ τῇ τοῦ κήρυκος γλώσσῃ κοινὴν[2] ὁμολογίαν ποιεῖται. Καὶ ὁ στρατηγὸς μόνος ἀνακηρύσσεται νικητής τε καὶ ἀριστεύς.

[1] Fortasse, ταῦτ' ἐλέγετο τότε.

[2] Meminit fortasse Demosthenicæ sen-

Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ καὶ περὶ γέρως ἡ σκέψις ἦν, καὶ ἔδει τὸν ἀριστέα ζητεῖν ὅ τι τὸ γέρας βούλοιτο, ἐρωτᾶται διὰ τοῦ κήρυκος ὁ τέως εὐεργέτης τῆς πόλεως τίνα θέλει τὴν δωρεάν, καὶ εἰ στέφανον, ἢ θρίαμβον[1], ἢ στήλην, ἢ καὶ ἐπὶ πρυτανείου σίτησιν καταδέχοιτο· εἰ δ' οὖν, ἀλλ' εἰπεῖν τί τὸ βούλευμά οἱ καὶ τίς ὁ σκοπὸς προτρέπεται.

Καὶ ταῦτα μὲν ἡ πόλις διὰ τοῦ κήρυκος· ὁ δέ — ἀλλ' ὦ[2]! πῶς εἴπω; πῶς ἀναγγείλω τὴν αἴτησιν; — ἐπισχὼν χρόνον ὀλίγον, καὶ τρίψας τὴν κεφαλήν, κάτω τε κλίνας τὸ ὄμμα (ᾔδει γὰρ ἴσως βαρέως ἕξοντας τοὺς ἀκούσαντας), παριδὼν πάντα, καὶ τούτων, ὡς ἄν τις εἴποι, σμικρότητα καταγνούς, πολίτην, ὦ Ζεῦ! αἰτεῖται πρὸς φόνον· ὃν εἰ δημοτικὸν καὶ εὔνουν λέγοιμι τῇ πατρίδι, ἴσως οὐκ ἀπιστηθήσομαι. Ἀνάγκη γάρ, τοῦ κοινοῦ καλῶς ἔχοντος, καλὸν εἶναι καὶ τὸν καθ' ἕκαστα. Ὅμως γε μήν, κἂν ὁποῖός τις ἦν, ἀλλ' οὖν πολίτης ἠκούετο πόλεως, ἧς ἐκ πολλοῦ τὸ τυραννικὸν τοῦτο καὶ ἀπηνὲς ἀπῴκιστο.

Εὐθὺς τοίνυν πρὸς ταῦτα, ὃ δὴ καὶ ἐχρῆν, γέγονε παρ' ὑμῶν, καὶ πάντας ἔβλεπον ἀπεχθανομένους καὶ μυσαττομένους τὸ βούλημα, καὶ βαρὺ τιθεμένους, εἰ βαρβάρων φυγόντες ὠμότητα,

tentia Cor. 53 : καλούσης τῆς κοινῆς τῆς πατρίδος φωνῆς.... ἣν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι.

[1] Et infra p. 107, 8: οἱ πολῖται λαμπρὸν τὸν θρίαμβον ἄξουσι. Declamatori, qui se fingit esse Atheniensem, evitandum fuit vocabulum θρίαμβος, ut et modo Britannorum mentio ac Sauromatarum, et dictatoris romani, p. 64.

[2] Codex, ὦ. Demosthenes De Symm. § 12 : ὦ πρὸς τοῦ Διός, οἴεσθε; Malim, ὦ πρὸς τοῦ Διός! οἴ.... Alex. Sutsus Epistola ad Othonem, mordaci insulsum regis laudatorem sale defricans : Καί (ὢ τῆς γελοιότητος) διὰ νὰ σὲ ἰδῶσι Τὰς Ναϊάδας στὰ κλαδιὰ τῶν δένδρων ἀνεβάζει, Καὶ τοὺς δελφίνας στὰ ὑγρὰ παράθυρά των κράζει. Debuit ὢ τῆς γελοιότητος! ponere typographus; nam talia magnum poetam non sollicitant. Sed vix credere queo exstitisse poetastrum stultum adeo et cacozelum, ut Sanctamandi, quem jam Boilavius secuit, putidas imitaretur ineptias : « N'imitez pas ce fou qui, décrivant les mers, Et, peignant au milieu de leurs flots entr'ouverts L'Hébreu sauvé du joug de ses injustes maîtres, Met, pour les voir passer, les poissons aux fenêtres » ; τοὺς ἰχθὺς στὰ ὑγρὰ παράθυρά των. Ridiculus fuit plus nimio Cercæus Loyolita, qui, spreto Boilavii edicto, sic lusit insipide : « Vous pourrez prêcher les poissons, Qui, réveillés par vos doux sons, Et curieux de vous connaître, Pour mieux entendre vos leçons, Mettront la tête à la fenêtre ».

αὐτοὶ κἀκείνους ὑπερελάσειαν, καὶ[1] ὅσον ἐκεῖνοι μὲν τοὺς ἀλλοξένους, οὗτοι δὲ τοὺς ἰδίους ἀπεμπωλοῖεν πρὸς τὴν ἀναίρεσιν. Τότε πολλοὺς ἤκουον λέγοντας καὶ τὴν νίκην κακίζοντας, καὶ δυςτυχίαν νομίζοντας, εἴπερ εὐθὺς καὶ ἐκ προοιμίων νικήσαντες, τοὺς πολίτας ὡς ἐχθροὺς προδιδοῖεν καὶ σφάττοιεν. Ὅμως (νόμος γὰρ ἤπειγε, καὶ οὐκ ἦν ἀνανεύειν) ἑκόντες ἀκούσῃ γνώμῃ[2] τὴν αἴτησιν ἐκπληροῦσι, καὶ τῷ γεννάδᾳ τούτῳ καὶ ἀριστεῖ φόνον πολίτου χαρίζονται· πλὴν καὶ τοῦτο μετὰ πολὺν χρόνον, ὑπερτιθέμενοι, ὡς ἂν που φανείη ἀκούσας ὁ ταλαίπωρος ἐκεῖνος ἄνθρωπος καὶ ἑαυτόν, ὡς εἰκός, ἐξαιτήσηται. Ὡς δ' οὐκ ἑωρᾶτο (οὐδὲ γὰρ ἦν[3] τὸν ἐκ πολλοῦ θανόντα ζῶντα φαίνεσθαι καὶ λαλεῖν ἱκετεύοντα), κυροῦσι τὴν ψῆφον ἐπικειμένῳ, καὶ γράμματι βεβαιοῦσι τὴν δωρεάν. Καὶ νῦν αὐτὸς μὲν λαμβάνει τὸ γέρας καὶ τοῦ βουλευτηρίου ἐξέρχεται, μηδὲν πλέον τοῦ μόνον λαβεῖν ἐργασάμενος. Ὁ δὲ πολίτης ἐκεῖνος εὕρηται δεξιᾶς ὢν ἔργον πρὸ χρόνου τοῦ καλοῦ τούτου ἀριστέως καὶ ὑπὲρ τῶν πολιτῶν καὶ τῆς πόλεως κινδυνεύοντος.

Καλά γε ταῦτα[4], ὦ ἄνδρες; καλὸν τὸ τοὺς πολίτας παρ' ὁτου-

[1] Addidi καί. Contraria ratione tollenda conjunctio ex Hypati Anatomia p. 152 : γλουτά, αἱ σφαιροειδεῖς σάρκες καὶ ἐπικείμεναι τοῖς κώλοις. Optime codex 3035, in quo ille tractatus caret auctoris nomine : σάρκες αἱ ἐπικ. Tollenda et ex Theodori Prodromi Rhodantes supplemento ✝ 158 : ψυχρὰν δὲ ποιεῖ τοῦ πυρὸς τὴν οὐσίαν Ψιλῇ κελεύσει καὶ θελήσεως μόνης. Lego ψιλῇ κελεύσει τῆς θελήσεως μόνης, vel potius κἀκ θελήσεως « Huc volo, sic jubeo », poeta dixit.

[2] Antithesis non rara, cujus fons est Homericus. Jupiter Iliade quarta v. 43 iræ Junonis tradidisse se ait sacrum Ilium, urbem sibi dilectissimam, sed invitum simul nec invitum : ἐγώ σοι δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ. Meleager Anthol. 12, 85 : Αὐτόματος δ' ἄκων ποσσὶ ταχὺς φέρομαι. Quod bene illustravit Jacobs. in Analectis. Nunc editum est temere αὐτομάτοις ex inutili conjectura. G. Acropolita Hist. c. 77 : ἑκὼν ἄκων εἰς τὴν βασίλειον ἀνήχθη περιωπήν. Invenies nonnulla in meis ad Phil. Her. notis p. 462; in Palaireti Observ. ad Epist. 1 ad Cor. 9, 17.

[3] Codex παρῆν. Scripsi γὰρ ἦν. In Eunapio scriptum nunc est παρῇ pro γὰρ ᾗ. Ibi nota p. 257. Adde de illa permutatione notas ad Tiberium Rhet. p. 33, ad Manassis fragmenta p. 406, ad Proclum in Cratylum p. 14. In Theognide, 1207, pro Ἀργαλέος γὰρ ἐών, καὶ φίλος εὖτ' ἂν ἀπῇς. Camerarii conjecturam παρεών bene receperat Neander Theognideæ editionis p. 120, bene revocavit Welcker. v. 1024. Antithesis παρεὼν ἀπῇς conjecturam pulchre asserit.

[4] Schol : προβολή.

δήποτε κτείνεσθαι; καὶ πόθεν ἡμῖν τὸ νικᾷν, καὶ πόθεν τὸ ἀριστεύειν; εἰ μὴ οὗτος δή, κἀκεῖνος καὶ ἄλλος, γενναῖα τῆς πόλεως ὄντες θρέμματα, καὶ τὰ τροφεῖα δεῖν εἰδότες ἀποτιννύειν τῇ πατρίδι, εἰς ταυτὸν συνελθόντες, ἐπὶ καιροῦ παρατάξαιντο, καὶ πάσαις ἀγωνίζοιντο προθυμίαις, ὥςπερ ἄρα καὶ τὰ νῦν γέγονεν. Ἔχοι τις γάρ, ὦ ἄνδρες, εἰπεῖν ὡς δίχα τῶν πολιτῶν ἡμῶν ἡ ἀριστεία τῷ γεννάδᾳ τούτῳ συνέβη; πῶς, καὶ τίνα τρόπον;

Εἰ μὲν γὰρ ἔστι τὸν στρατηγὸν νικᾷν δίχα στρατιωτῶν, ἔστω τοῦτο, καὶ οἱ πολῖται κτεινέσθωσαν· καὶ στρατηγὸς εἷς ἀρκέσει κἂν αὐτὸς[1] κἂν ἄλλος τῇ πόλει πρὸς τὸν κατ' ἐχθρῶν ἀγωνισμὸν καὶ τὴν ἀριστείαν. Εἰ δ' οὐκ ἔστι δίχα λαοῦ παρατάττεσθαι καὶ στρατοῦ (τούτῳ γὰρ καὶ στρατηγὸς ὠνομάσθη, τῷ ἄγειν στρατόν, στρατὸς δ' οὐκ ἂν εἴη τῇ πόλει γνήσιος, εἰ μὴ ἡμεδαπὸς καὶ πολίτης), ποῦ δίκαιον ἐγχωρεῖν τούτῳ ἢ ἐκείνῳ φονεύειν πολίτην καὶ θρέμμα τῆς πόλεως;

Φονεύει δῆμος[2]· ἀλλὰ κατὰ κρίσιν καὶ νόμον κείμενον παλαιόν. Ἐξεδώκατε καὶ ὑμεῖς εἰς φόνον πολίτην· ἀλλὰ νόμῳ τῷ τῆς ἀριστείας πειθόμενοι. Φονεύει καὶ οὗτος· διὰ τί, ὦ ἄνδρες; διὰ τί; Πότερον δυναστείαν ἔχων τυραννικήν, ἢ ἐκκεχωρημένον ἔστιν αὐτῷ παρ' ὑμῶν πράττειν ὅ τι καὶ βούλοιτο, καὶ φονεύειν πολίτην ὅντινα θέλοι παρ' ἡντιναοῦν πρόφασιν;

Ἐγὼ δέ, οὐδ' ἂν ἀριστεὺς ᾖν ἀρχῆθεν, οἶμαι δεῖν ὑπολαβεῖν ὑμᾶς ἱκανὴν τὴν ἀριστείαν ἐκείνην πρὸς τὸ οὕτως ἔχειν αὐτὸν ἀκρίτως καὶ ἀναιτίως φονεύειν ὅντινα βούλοιτο. Καὶ τί; δημότου τοῦτο καὶ νόμοις ὑποκειμένου, ἀλλὰ μὴ τυράννου πικροῦ καὶ ἀπαραιτήτου, καὶ νόμον τὸν τρόπον ἔχοντος; Φονεύεις, ἄνθρωπε, τὸν πολίτην· καὶ βούλει φιλόπολις λέγεσθαι; ἀκρίτως[3]· καὶ λέγεις οὐ καταυθεντεῖν νόμων τῆς πόλεως; ἀναιτίως, ὡς ἐγὼ λέγω· καὶ προφάσεις πλάττῃ κατὰ τοῦ γείτονος. Μὴ τοίνυν, ἄνδρες φιλοπολῖται καὶ φιλοπόλιδες, τὸ ἄγος τοῦτο καὶ ταύτην τὴν προςτροπὴν καταδέξησθε. Φόνος ἐτολμήθη πολίτου παρὰ πολίτου, φόνος δει-

[1] Fortasse, οὗτος.

[2] Sch.: ἡ τῶν καλουμένων χωρίων ἀγωγή. Technicum χωρίον rarum est. Confero Ciceronis « regiones. » De Or. 2, 34.

[3] Pendent ἀκρίτως et ἀναιτίως a verbo φονεύεις.

νός, μὴ δίκης προβάσης, μὴ κινηθέντος ἐγκλήματος, μηδὲν αἰσθανθέντων ἡμῶν.

Καὶ ὁ μὲν ταλαίπωρος ἐκεῖνος κεῖται σιγῶν, οὗτος δὲ ὁ τέως φιλοπολίτης δοκῶν καὶ ὑπὲρ αὐτῶν[1] ἀριστεύς, ἐς τοσοῦτον ἀναιδείας ἥκεν ἢ ἀπονοίας, ἢ — οὐκ οἶδ' ὅ τι φῶ — ὥςτε καὶ τολμᾷ παραγράφεσθαι[2] τὴν κατηγορίαν, καὶ ἀπωθεῖν τὸν ἀγῶνα, ὡς μηδὲν αὐτῷ προςήκοντα, καὶ δεικνύειν γράμμα συμβόλαιον εἰς τὴν τοῦ φόνου συγχώρησιν τῆς ὑμετέρας βουλῆς· καὶ περιττὸν τὸ ἀπολογεῖσθαι λέγει σχηματιζόμενος, ὅπου δηλαδὴ δῆμος ἐγχωρεῖ τὴν ἀναίρεσιν.

Δῆμος[3], εἰπέ μοι, συγχωρεῖ τὴν ἀναίρεσιν· πότε; καὶ ἐπὶ ποίᾳ προφάσει; εἰπὲ τὴν αἰτίαν· δεῖξον τὸ γράμμα. Πότε ζητήσας ἔσχες; καὶ τίς ὁ δούς; Οὕτως ὁ δῆμος εὔκολος τῷ παντὶ ὡς προδιδόναι τοὺς πολίτας εἰς θάνατον μηδεμιᾶς οὔσης ἀνάγκης, μηδενὸς ἐγκλήματος, μὴ προςτιμήματος, μὴ νόμου κελεύοντος; Καὶ πότε καὶ τίς ἄλλος εἶδε τοιαύτην τοῦ δήμου πρᾶξιν, καὶ ἐπὶ τίνι; εἶδές τινα παρελθόντα ποτέ, καί, καθημένου τοῦ δήμου, ἀξιοῦντα καὶ λέγοντα· « Ἄνδρες τῆς ἡμετέρας ἐπώνυμοι πόλεως, ἐχθρὸς ἐστί μοι ὁ δεῖνα. Οὐ φέρω ζῶντα βλέπειν αὐτόν· θέλω φονεῦσαι τοῦτον. Δότε μοι τὴν ἐκχώρησιν[4] »· καὶ εὐθὺς τὸν δῆμον, μὴ μικρὸν μὴ μέγα ζητήσαντα, ἀλλ' εὐθὺς ἐκχωρήσαντα τὴν ἀναίρεσιν; Ἐγὼ μὲν οὖν οὔτ' εἶδον, οὔτε μὴν οἴομαι μήτε τινὰ εἰς τοῦτο φρενοβλαβείας ἐλθεῖν καὶ ζητεῖν, μήτε τὸν δῆμον εἰς τοῦτο ἀσυνεσίας καὶ ἀπηνείας, ὥςτε διδόναι ζητήσαντι.

« Ἀνῄρηται » λέγεις « ἐκδεδομένος ». Καὶ ζῶν ἐξεδόθη; ποῦ γῆς ὤν; ἢ ποῦ διάγων τῆς πόλεως; Ἐγὼ δὲ λέγω· οὐκ ἐκδεδομένος ἀνῄρηται. Λέγεις καὶ σὺ τοῦτο; καὶ φονεὺς εἶ[5], μὴ λαβών, ἀνε-

[1] Αὐτῶν, scilicet τῶν πολιτῶν, quos continet nomen φιλοπολίτης.

[2] Schol.: παραγραφικὸν τὸ ἀπὸ ῥητοῦ.

[3] Schol.: ἡ λύσις κατὰ μετάληψιν.

[4] Fort. ἐγχώρησιν, et sic p. 98, 8, 99, 26; et ἐγχωρηθεὶς pro ἐκχωρ. p. 99, 15. Modo v. 9, rectius ἐγχωρεῖ. Eadem permutatio ap. Chumnum in An. Novis p. 153.

[5] Codex, ἦ. Scripsi εἶ. Permutatæ passim vocales η ει, quod et passim notationis fuit occasio. Menander Prot. c. 5, p. 287 : οἱ πρέσβεις τῶν Ἀβάρων ἐς πεῖραν ἰέναι τοῦ βασιλέως ἐβούλοντο, εἴγε οὐκ ἄλλως δῶρα λαμβάνειν αὐτοῖς, καὶ τῇ Ῥωμαίων ῥᾳθυμίᾳ ἐπεντρυφᾷν καὶ τὸ ἀμελὲς αὐτῶν οἰκεῖον τίθεσθαι κέρδος.

λών. Τί τηνάλλως τὸ τοῦ δήμου προτείνεις γράμμα, καί, πρὸς οἷς ἐτόλμησας τὸ δεινόν, καὶ τῷ δήμῳ προςκατασκευάζεις ὄνειδος;

Οἶδα τὸν δῆμον ἐκδόντα, οἶδα τὸν πολίτην ἐκδεδομένον ἐξ ἀνάγκης καὶ τότε, καὶ σοῦ ζητοῦντος, καὶ νόμου κελεύοντος. Ἀλλ' ὡς ζῶν ἐξεδίδοτο. Οὕτω γὰρ ᾔτεις καὶ σύ. Ὅτε δὲ τὸ ξίφος ἐπέφερες τῷ πολίτῃ καὶ ἔσφαττες, τίς δῆμος ἐδίδου τὸ σφάττειν; καὶ ποίαν τὴν ἐκχώρησιν εἶχες, καὶ παρὰ τίνος ἐλάμβανες; πῶς δ' ὁ δῆμος ἐδίδου καὶ τότε, λέγε. Οὐκ ἐνθυμῇ πόσοις ἐπῄει δακρῦσαι[1], καὶ ἑαυτῶν κατεύξασθαι καὶ τῆς πόλεως, καὶ ἀριστείαν ἐκείνην ταλανίσαι καὶ τρόπαιον, καὶ μὴ θέλειν ἐκείνην, εἰ τοιαύτην ἔμελλες ζητεῖν δωρεάν; ἀλλ' ὅμως (νόμος γὰρ ἐκέλευε, κἂν ὅ τι ζητοῖς[2], διδόναι) ἐδίδουν καὶ ἄκοντες. Τίνος δὲ τὸ ἔργον; οὐ δὲ σοῦ τοῦ αἰτήσαντος; σὺ δ' ἀφεὶς σεαυτὸν αἰτιᾶσθαι, καὶ πρὸ τοῦ φονεύσας, ἀπηνείας τῷ δήμῳ προςάπτεις ἔγκλημα!

Ἀλλ' ὁ δῆμος (δεῖ γὰρ ὑπεραπολογεῖσθαι καὶ τούτου), μέσον παρανομίας καὶ ἀπηνείας ληφθείς, καὶ τῷ μὲν μὴ διδόναι ὅτι αἰτοίης νόμον ἔχων τὸ προςιστάμενον, τὸ δὲ διδόναι φύσιν καὶ Ἑλληνικὰ ἤθη ἡγούμενος τὰ κωλύοντα, δεῖν ἔγνω καὶ κατ' ἀμφότερα ἀσφαλίσασθαι, καὶ πληρῶσαι μὲν καὶ νόμον διδόντας, φυγεῖν δὲ καὶ βαρβαρικὴν ἀπήνειαν, οὓς ὑφέξοντας ἂν ἱλαρὸν τῷ τέως ἐκδιδομένῳ, ἥν που φανείη, καὶ τὰ ὑπὲρ αὐτοῦ λέγοι δίκαια.

« Φανήσεται γάρ » ἔλεγον, « ἐξ ἀνάγκης, καὶ προτενεῖ πολλὰ

Sententiam imperfectam restituere voluit vir d., conjiciendo εἴγε οὐδαμῶς ἐξέσται δῶρα. Id nullo modo satis potest facere, et οὐκ ἄλλως est forma dicendi apud Menandrum non infrequens. Puto, facilem mutationem ἥ γε, pro εἴγε, sufficere : « volebant imperatoris periculum facere, aut saltem non alio modo (ac prius) munera capere.... »

[1] Codex, δακρύσαι.

[2] Cod., ζητεῖς. Scripsi ζητοῖς. Fere malebam ζητοίης. Est infra αἰτοίης. Sed ad ζητοῖς ducebar solita vocalium ει οι permutatione. Libanius, t. IV, p. 225: ἠρώτων τοὺς ἐντυγχάνοντας περὶ αὐτοῦ· ποῖ γῆς ἐστι; Codex 3017, πῆ. Quod prætulerim libens, etsi sciam qui possit ποῖ defendi, si libri consentirent. Idem in meis Anecdotis Gr. t. I, p. 270 : εἴθε ποῖ γῆς ἔστι ὁ κάκιστ' ἀπολούμενος ἐπυθόμην. Et hic πῇ legendum videtur. In Herodoto, 5, 73, pro ποῖ γῆς οἰκημένοι reposuerunt, post Schæferum, Schweighæuserus et Bæhrius e codice πῆ, quam emendationem absolvit Bekkerus, ionicam formam κῇ restituens.

καὶ μεγάλα, μᾶλλον δὲ τὸ τῆς ἡμετέρας ἀξίωμα πόλεως καὶ τὸ τοιαύτης πράξεως ἄηθες· καὶ ὅτι πολίτης εὔνους καὶ παῖδας θρέψας τῇ πόλει τυχόν, καὶ τῇ πατρίδι χρήσιμος· καὶ ἀντιλέγων τῷ χρηστῷ[1] τούτῳ πείσει καὶ ἀκυρώσει τὸ ψήφισμα. Καὶ οὕτως οὐχ ὁ δῆμος, ἀλλὰ τὰ ἐκείνου δίκαια καθυπερτερήσει τοῦ ἐκ τῶν νόμων δικαίου, καὶ ἄκυρον ἐσεῖται δικαίως τὸ ψήφισμα ».

Ταῦτ' ᾤοντο οὗτοι· διὰ ταῦτ' ἐδίδουν ὅπερ οὐκ ἤθελον.

Σὺ δέ, ὥσπερ ἂν εἰ ἐχαρίζου νῦν ἐμοὶ τόδε τυχὸν τὸ σὸν ἱμάτιον, ἐγὼ δ' ἔφθασα κλέψας αὐτὸ πρὸ καιροῦ, βαρέως ἤνεγκας, καὶ κλέπτην ἐνεκάλεις ᾧ τέως ἑκὼν ἐχαρίζου. Οὕτως ἔχων καὶ ἐπὶ τούτοις, οὐκ οἶδας πόσῳ τὸ ἄκων καὶ τὸ ἑκὼν διΐστατον; Καὶ εἰ ἓν ταῦτα καὶ ἀδιάφορα, τί λοιπὸν καθίζομεν δικαστηρία, καὶ κρίνομεν δίκας, καὶ τοῦτον μὲν ἀθωοῦμεν ὅτι παρ' ἑκόντος ἔλαβε τοῦ διδόντος, ἐκεῖνον δ' εὐθύνομεν ὅτι ἄκοντος τοῦ κεκτημένου καὶ μηδὲν ἐκχωρηθεὶς ἔσχε· κακεῖνο μὲν δωρεὰν λέγομεν ἢ μισθόν, ἢ ἄλλο τι τῶν ἑκουσίων, τοῦτο δὲ κλοπὴν καὶ ἁρπαγήν, ἢ ἄλλο τι τῶν ἀκουσίων ὅσον ἐπὶ τοῖς ἔχουσιν;

Εἰ δὲ βούλει, καὶ τούτους ἐρωτήσομεν. Αὐτοὶ γάρ εἰσιν οἱ διδόντες, ὡς λέγεις.

Τί φατέ, πρὸς θεῶν, ἄνδρες; ὑμεῖς ἐκδεδώκατε τότε πρὸς σφαγὴν τὸν ἡμεδαπόν; τί δέ; ἀλλ' αἰδεῖσθε τοῦτον[2]; — Ἀκούεις, ὦ βέλτιστε; — Καὶ καλὸν ὑμῖν δοκεῖ τὸ συνάγειν ἐν ταὐτῷ καιροὺς πολλὰ καὶ μεγάλα μέσον ἔχοντας; ποῦ ἡ πολιορκία τότε; ποῦ ἡ σκέψις ἡμῶν; ποῦ ἡ τοῦ στρατηγοῦ ζήτησις καὶ κατάστασις; ποῦ τὰ ἐν μέσῳ, καὶ ἡ νίκη, καὶ ἡ ἀριστεία καὶ τὰ τῶν πολεμίων[3] τρόπαια, ἐφ' οἷς τῆς δωρεᾶς αἴτησις αὕτη καὶ ἡ ἐκχώρησις;

[1] De χρηστῷ ironice p. 38, n. 1.

[2] Schol.: ὅτι πρὸς τό « αἰδεῖσθε τοῦτον » ἀπολογησομένου ἴσως τοῦ δήμου τό « οὔ », ὧδε πρὸς τό « ὑμεῖς ἐκδεδώκατε τὸν ἡμεδαπόν » ἐκλαμβάνει. Si respondentium τὸ οὔ ad quæstionem ἐκδεδώκατε retulisset orator, suum ἀκούεις post ἡμεδαπόν posuisset. Potuit simulare audivisse τὸ οὔ post αἰδεῖσθε τοῦτον. Cæterum est manifesta imitatio loci Demosthenici De Cor. § 53 : πότερον ὑμῖν, ὦ ἄ. Ἀθ., μισθωτὸς Αἰσχίνης ἢ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ; Ἀκούεις ἃ λέγουσιν.

[3] Τὰ τῶν πολ. τρόπαια] non cogitandum de inserenda præpositione τὰ κατά, τὰ ἀπὸ τῶν π. τρ. Sæpe omissa fuit. Anonymus Anthol. 7, 135, de Hippocrate : Πλεῖστα τρόπαια νόσων στή-

Ἀλλ' οὗτος[1], ὥςπερ εἰ ἀγνοῶν τὰ κατὰ κόσμον ἦν, καὶ μηδὲν εἰδὼς τῶν πραγμάτων, μηδ' ἐν τῇ πόλει τραφείς, ἀλλ' εἰ[2] ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης ἦν[3], οὕτω συνάγει τὰ διεστῶτα, καὶ τὴν νῦν δόσιν πρὸς τὸν τότε ἐπαναστρέφει καιρόν, καὶ τὰ ἀσύναπτα συλλογίζεται, καί, ὅτι δέδωκε νῦν ὁ δῆμος ζητήσαντι, δέδωκε λέγει[4] καὶ μὴ ζητήσαντι, καὶ μηδὲν διαφέρειν κἂν τότε κἂν νῦν ἰσχυρίζεται.

Οὐ διαφέρει[5] τὸ τότε πρὸς τὸ νῦν; εἰπέ μοι. Οὐ διαφέρει τὸ δωρεὰν εἶναι τὸ πρᾶγμα καὶ τὸ σὴν θέλησιν μόνου[6]; σὺ δὲ καὶ ἐςαεὶ στρατηγήσεις λοιπόν, ἅπαξ τοῦ δήμου δόντος, φανεὶς στρατηγός; καὶ ὅτι τότε δέδωκε στρατηγεῖν, καὶ νῦν ἰσχυρίζῃ καθηγεῖσθαι τοῦ ἡμετέρου στρατοῦ καὶ πάντοτε; εἰ δὲ βούλει, ὅτι[7] ἠρίστευσας νῦν, τῆς τύχης, οὐκ οἶδα εἴτε τῆς σῆς εἴτε τῆς πόλεως[8], δῶρον λαβών, βίασαι καὶ στρατηγὸς εἶναι τότε καὶ ἀριστεύς, ὅτε μηδὲν τῶν τοιούτων ἧς[9] μηδενὸς ἀξιούμενος;

Ἔχει τὰ πάντα καιρόν, βέλτιστε, καὶ τῇ τύχῃ, καὶ τῷ δήμῳ, καὶ τοῖς θεοῖς. Καὶ στρατηγεῖ μέν τις, ᾧ δὴ καὶ ὅτε διδοῦσι θεοί· ἀριστεύει δέ, ὅτε τύχη παρέχει, καὶ οὐκ ἀεί. Δωρεῖται δὲ καὶ δῆμος, ὅτε ἡ χάρις τῇ πόλει πρόδηλος κεῖται καὶ τὴν ἀντίχαριν ἀπαιτεῖ. Εἰ δὲ καιροὺς συγχέεις[10] καὶ τὰ πράγματα στρέφεις, ὅρα μὴ καὶ μᾶλλον ἐντεῦθεν ὁμολογήσῃς ὅτι δικαίως κατηγορῇ, καί, ὅτι φονεὺς ἅπαξ ἐγένου, οὐκ εἶ λαμβάνειν δίκαιος δωρεάν, κἂν στρατηγῶν ἠρίστευσας ὕστερον. Καὶ τί λοιπόν,

σας ὅπλοις Ὑγιείης. Ibi Jacobs. in Analectis. Isocrates Archid. 42 : ἀναμνήσθητε τῶν προγόνων.... οὓς φασιν.... τρόπαιον στῆσαι πολλῶν μυριάδων. Plato Menex. 10 : στήσαντες τρόπαια τῶν βαρβάρων. Ibi Gottleb. Indice. Monui et ad Aristæn. 1, 17, p. 470.

[1] Schol.: συλλογισμός.

[2] Repetendum mente ὥςπερ, ὥςπερ εἰ. Nitidior fieret oratio sic scripta : ἀλλ' ἢ ἀπὸ δρυὸς ἢ ἀπὸ π. ὤν.

[3] Homerus Od. 19, 163 : Οὐ γὰρ ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης. Ad quem locum sæpe allusum fuit. Plurima annotavi ad Nicetam Eug. 1, 342, ad Chumnum in Anecd. Novis, p. 147.

[4] Codex, λέγοι.

[5] Schol.: ὅρος.

[6] Σὴν θέλησιν μόνου] pro σοῦ θέλησιν μόνου. Syntaxis eadem in Pluto, 33 : τὸν ἐμὸν τοῦ ταλαιπώρου βίον. Choricius sic est loquutus p. 64, ubi græca ac latina exempla apposui.

[7] Codex, ὅτ'. Scripsi ὅτι.

[8] Vide similia pp. 69, 4 ; 93, 25.

[9] Fortasse εἶς.

[10] Codex, συγχέοις.

ἀναξίως τὴν τοῦ δήμου σχὼν δωρεάν, ἀνθέξῃ ταύτης δι' ὅλου, καὶ διὰ ταύτης συγκαλύψεις τὸ ἔγκλημα; Ἠρίστευσας ἐν πολέμῳ; ἀλλ' οὐ λαμβάνεις τὴν δωρεὰν ὅτι πεφόνευκας. Καὶ λοιπὸν δίδου καὶ τὰς δίκας τοῦ φόνου, μηδὲν ἔχων παρὰ τοῦ δήμου, ἐφ' ᾧ καὶ συγκαλύψεις τὸ σὸν πλημμέλημα.

Μὴ γάρ μοι λέγε ὅτι δωρεὰ τοῦτο, τὸ μηδέν σε λαβεῖν ὅτι πεφόνευκας. Ἡ τοῦ φόνου γὰρ συγχώρησις δωρεὰ οὐκ ἔστιν οὕτως ὡς λέγεις. Διὰ τί; ἐγὼ λέγω.

Εἰ μὲν γὰρ ἄλλον μὲν ἐτίθης τὸν τοῦ φόνου καιρόν, τὸν τότε, ἄλλον δὲ τὸν τῆς ἀριστείας, τὸν νῦν, εἶχεν ἂν λόγον τὸ προβαλλόμενον, καὶ ἀδικήματι εὐεργέτημα παρετίθετο· καὶ ἴσως τὴν δίκην ἐξέφευγες. Ἐπεὶ δὲ συγχέεις τοὺς χρόνους, καὶ τὸν νῦν τότε[1] λέγεις, καὶ ἀμφοτέρους ἕνα ποιεῖς, ὡς ἂν τάχα δείξῃς μετὰ τῆς τοῦ δήμου γνώμης πράξας τὸν φόνον, λάβε καὶ τὸν τοῦ φόνου καιρὸν τὸν αὐτὸν τὸν[2] τῆς ἀριστείας. Καί, ὥςπερ τότε παρὰ πάντων ὡς ἐναγὴς μυσάττεσθαι ἔμελλες, μυσάττῃ καὶ νῦν· καὶ πρὸς τὸ μύσος[3] ἡ ἀριστεία οὐδέν. Ταύτης δὲ μὴ λογιζομένης,

[1] Fortasse, τὸν νῦν τὸν τότε.

[2] Fortasse, τὸν αὐτὸν τῷ, vel καὶ τόν.

[3] Cod. μῦσος et pariter inferius. Librarii passim circa tonum ejus nominis peccant, quod, pronuntiatione illos decipiente, confundant μύσος et μῖσος. Inde fit ut grammatici utrumque nomen una tractent. Scholiastes Euripideæ Andromachæ, 135 : μύσος, τὸ μίασμα, ὀξύνεται καὶ βραχὺ ἔχει τὸ υ. μῖσος δέ, ὃ γίνεται ἀπὸ τοῦ μισητός, ἐκτείνεται καὶ περισπᾶται. Eadem est regula Moschopuli Π. σχ. p. 129. Restituendum μύσους Themistocli Epist. 9 : οὐδὲ ἐπιχωρήσομεν Ἀθηναίοις μὲν ἐναγέσι γενέσθαι τοῦ ἡμετέρου μίσους, καὶ παλαμναῖον ἢ ἀλιτήριόν τι προςρίψαι τῇ πόλει ὃ οὐκ ἀρεστόν. Bene Caryophylliana, μύσους.... προςτρίψαι τ. πόλει οὐκ ἀρ. Vocalium ι et υ facillima permutatio passim obtinet. Nicephorus Gregoras Florentio, p. 487 : νῦν πλὴν πολιχνίων ὀλίγων. Codex Paris., πολυχνίων. Illud est hoc multo usitatius. Joannis Damasceni λογίδριον damnat et emendari jubet vir doct. Sed potuit et λογίδριον dici, quidni? Nunc quidem esse videtur in usu. Possideo ex dono auctoris Λογίδριον φωνηθὲν εἰς κηδείαν Α. Κοραῆ ὑπὸ Π. Λαζαρᾶ. Panag. Sutsus Leandro, cujus in libri compositione multum adhibuit curæ ac diligentiæ — (nollem tamen negasset auctor elegantissimus Leandri sui et Wertheri Gœthiani similitudinem, quæ manifesta est; nec Foscolo et ipsi homini græco, auctorique Litterarum Jac. Hortisii suavissimo, Wertherianæ imitationis negatio prospere cessit) — Sutsus igitur : ποδοσύρων τὴν ἅλυσόν του ἐφάνη ὁ δέσμιος, ἐπλησίασε πρὸς τὸ σφαγεῖον (τὸ Γιλοτίνιον ἀνθρωποσφαγεῖον, vernacule *la guillotine*), εἶπε λογίδριά τινα μετανοίας. Et Mich. Schinas Byzantius vir doct. scripsit λογίδριον. Usitatius quidem est λογύδριον, nec tamen altera forma prorsus rejicienda.

οὐκ ἔχει χώραν ἡ δωρεά. Καὶ λοιπὸν ὡς μυσαρὸς εἰςαχθήσῃ, καὶ δίκας ὑφέξεις τῆς τόλμης, κἂν μυριάκις ἠρίστευκας.

Καὶ μηδὲν ὡς λῆμμα λογίζου τοῦτο παρὰ τοῦ λόγου. Οὐ γὰρ λῆμμα, ἐξ ὧν ἰσχυρίζῃ καὶ λέγεις, τὸ σὲ ὡς φονέα καταδικάζεσθαι· ἀλλὰ βούλημα μὲν τοῦ παντὸς λόγου τοῦτο, καὶ δίκαιον βούλημα καὶ σκοπὸς ἀληθής. Λῆμμα δ' ἂν εἴη τὸ καὶ παρὰ σοῦ συνομολογεῖσθαι ὡς τῷ λόγῳ δίκαιος ὁ σκοπός, ἐξ ὧν τοὺς καιροὺς συγχέεις, καί, ὅτι ἔλαβες νῦν τὴν δωρεὰν ταύτην, τότε λέγεις λαβεῖν.

« Ναί » φησίν[1]· « ἀλλ' ἄξιος ἦν θανάτου ὁ δεῖνα, ὅπου γε καὶ ὁ δῆμος ἀκούσας μόνον ἐκείνου κατεψηφίσατο ».

Τίνι δῆλον[2] ὡς ἄξιος θανάτου ὁ ἄνθρωπος; Κακοῦργος ἦν; ἀλλὰ προὔδωκε τὰ τῆς πόλεως; ἀλλὰ δύςνους τῇ πόλει; καὶ τὰ ἀπόρρητα τοῖς ἐχθροῖς ἐξεκάλυψε; κέκλοφεν; ἱεροσύληκε; πεφόνευκεν ἄλλον, καθὼς ἐκεῖνος πεφόνευται; Ἐπὶ τούτοις πᾶσιν εἰσὶ κρίσεις καὶ δικαστήρια, μικρὰ καὶ μεγάλα τὰ ἐπιτίμια ἔχουσαι[3]. Ἔδει κρίνεσθαι τὸν ταλαίπωρον· ἔδει τόπον ἀπολογίας ἔχειν, καὶ αὐτουργὸν τῆς δίκης τὴν τοῦ δημίου χεῖρα εἶναι, καὶ μὴ τὴν σήν.

Ἔστω· πεφόνευκεν. Οὕτω δικαιοῖς ἐκεῖνον ἀκρίτως ἀπάγεσθαι; Ἀπάγου καὶ σὺ ἀκρίτως τὴν ἐπὶ θάνατον· καὶ σὺ γὰρ πολίτην πεφόνευκας. Εἰ δ' ἠρίστευσας σύ[4], προϊόντος τοῦ χρόνου, ἠρίστευσεν ἂν περιὼν κἀκεῖνος ἴσως, ἢ ἄλλως τὴν πόλιν ἡμῶν εὐηργέτησε. Καί, εἴπερ ἀξιοῖς σὺ τὰς δίκας φυγεῖν τοῦ φόνου ἐξ ὧν ἠρίστευσας, ἔφυγεν ἂν κακεῖνος τὴν δίκην ἄλλο τι τῇ πόλει διαπραξάμενος.

Ὅμως δὲ δεῖξον τὴν κακουργίαν, καὶ μὴ τοῦ δήμου κατηγόρει τὰ μὴ προςήκοντα. Ὁ δῆμος ἐκείνου κατεψηφίσατο· πλὴν οὐχ ὡς κακούργου καὶ ἄλλως ἀχρησίμου, ὡς λέγεις, τῇ πόλει· ἀλλὰ βιασθεὶς παρὰ σοῦ καὶ νόμοις ἴσως ἀκολουθῶν· βιασθείς, ὦ Ζεῦ!

[1] Schol.: ἀντίθεσις ἀντεγκληματική.

[2] Schol.: ἔνστασις.

[3] Ne offendat lector ad ἔχουσαι, fortasse cum transpositione corrigendum, δικαστήρια, καὶ κρίσεις Sed eadem negligentia dixit aut dixisse videtur Declam. VII: τοῦ φόβου πάντας καὶ τῆς ταραχῆς ἕλκοντος· ubi etiam malim τῆς ταρ. καὶ τ. φόβου ἕλκοντος.

[4] Schol.: ἀντιπαράστασις.

ἄνω καὶ κάτω σοβοῦντος, καὶ τὴν ἀριστείαν προτεινομένου, καὶ δήλου ὄντος δεινὰ ποιήσειν, εἰ νόμος ὑπερορᾶται καὶ τοῦ γέρως ὃ θέλεις οὐκ ἀξιοῖ[1]. Δέδωκε τὴν σφαγήν, οὐ καταγνοὺς ἄλλως ἐκείνου, ἀλλὰ δυςωπηθεὶς τὴν αἴτησιν.

Καὶ σὺ μὲν λέγεις ὡς κακὸς ἐκεῖνος καὶ ἄχθος ἀρούρης[2] καὶ τοῦ ζῆν ἀνάξιος. Ἐγὼ δέ φημι· — καὶ σκοπεῖτε εἰ δικαίως καὶ τρόπον τὸν ἁπλοῦν λέγοιμι· οἷς γὰρ αὐτὸς ἀδήλοις χρᾶται κατ' ἐκείνου, ἔστι χρᾶσθαι κἀμοὶ τοῖς ἐναντίοις ὑπὲρ ἐκείνου — καλὸς ἐκεῖνος, καὶ τῇ πατρίδι χρήσιμος, καὶ εὔνους τῷ δήμῳ, καὶ δημοτικὸς τοῖς γείτοσι, καὶ ἄλλα μυρία καλὰ καὶ μηδὲν ἀπηνὲς ἔχων, καὶ ἄξιος ζῆν. Εἰ δὲ ζητεῖς δεῖξιν τούτων, ζητῶ κἀγὼ δεῖξιν ἐκείνων· καὶ παραπληκτίσομεν ἄμφω ἀναποδεικτικοῖς ἰσχυριζόμενοι. Μᾶλλον μὲν οὖν, εἰ σκοποίη τις ἀκριβῶς, τὰ τοῦ ἡμετέρου λόγου πιστὰ ἢ τὰ τοῦ σοῦ[3]· καὶ πῶς; Ἐγὼ λέγω.

Ὅρα τὸ δικαστήριον τοῦτο· τί λέγουσιν ὁσημέραι οἱ παριόντες ἐνταῦθα, καὶ ἐπὶ τίσιν ἐκκαλοῦνται τοὺς δικαστάς; ὅτι καλόν τις τούτοις πεποίηκε, ἢ πτωχοῖς οὖσιν ἐπήρκεσεν, ἢ συνεξέδωκε θυγατέρας αὐτοῖς, ἢ δημοτικός ἐστι πρὸς αὐτούς, καὶ χρηστὸς τοὺς τρόπους, καὶ τὸ ὅλον ἀγαθὸς γείτων, ἀξιοῦσι λαμβάνειν αὐτοὶ[4] δωρεάν; ἢ μᾶλλον ὅτι πεφόνευκεν, ἢ ἥρπακεν, ἢ ἀλαζών ἐστι καὶ ὑβριστικὸς πρὸς πάντας, ἢ τὸ καὶ τὸ τῶν κακῶν ἐποίησε, δίκας δεῖν ὑπέχειν τοῦτον, καὶ τὰς μεγίστας, διϊσχυρίζονται; Ἐγὼ μὲν οὖν, οἶμαι, τοῦτο.

Ἔχε τοιγαροῦν καὶ μὴ θορύβει, πρὶν τοῦ παντὸς διακούσῃ λόγου.

Ἐλθὲ καὶ ἐπὶ τὸν πολίτην ἐκεῖνον, καί, ὡς μὲν σὺ λέγεις, τίθει τοῦτον κακόν, καὶ πρὸς πάντας βαρύν, καὶ ἀσελγῆ, καὶ κακοῦργον. Τίς ἐγκέκληκε τοῦτον ἐπὶ τοῦδε τοῦ βήματος; ἐπὶ τίσι κατηγορήθη ποτέ; τίς αὐτοῦ κατέγνω κλοπήν, τίς ἁρπαγήν; τίς τὸ

[1] « Et si præmii quod cupis dignus non haberis ».

[2] Homericum est αὔτως ἄχθος ἀρούρης, ex Od. 20, 379, ubi Duport. Gnomol. p. 273; collato Schotto ad Proverbia Metrica, 377, et Erasmo Adagio « telluris onus », 1, 7, 31.

[3] Sic codex. Subaudiatur de more adverbium μᾶλλον.

[4] Fortasse αὐτόν.

καὶ τὸ τῶν κακῶν, ἵνα μὴ καθ' ἕκαστον λέγω, καὶ μάτην τὸ ἐμὸν ὕδωρ[1] χέηται. Λάβε[2] καὶ τὸν ἐμὸν λόγον, καὶ τίθει τοῦτον καλὸν καὶ δημοτικόν, καὶ μηδὲν ἔχοντα τῶν δεινῶν. Ἂν δ' οὐκ ἐλάλησέ τις ἐπὶ τοῦ βήματος καὶ διεξῆλθε τἀκείνου καλά, τί θαυμαστόν; πόσα λέγειν τις ἔχοι περὶ τοῦδε καὶ τοῦδε τῶν καθημένων ἐνταῦθα καλά; ἀλλ' οὐδείς, ἐπὶ τοῦ βήματος στάς, συνεῖρεν ἑκάστου ἐγκώμιον. Εἰ δὲ βούλει, πάντως οἴει καὶ σὺ πολλῶν πλεονεκτεῖν ἐπί τισι δώροις τῆς φύσεως· ἀλλ' οὐδεὶς ταῦτα ἐπὶ τοῦ μέσου προήνεγκεν. Εἰ δὲ διὰ τοῦτο κακὸς ὁ δεῖνα ὅτι τὰ τούτου καλὰ σεσίγηνται, ἔσο καὶ σὺ κακὸς τὸν ἄλλον τρόπον. Ἐπέκεινα δὲ καὶ προφανοῦς φόνου φεύγεις, ὃν ἀρνεῖσθαι καὶ σὺ οὐμενοῦν οὐ[3] τολμᾷς. Καὶ λοιπὸν καὶ ἡ εἰςβολὴ τοῦ ἐλέου, ἡ τῷ δικαστηρίῳ τούτῳ συνήθης, παντί γε μᾶλλον ἢ σοὶ προςήκει, καὶ δίδου τὰς δίκας εὐθὺς τοῦ φόνου, παρὰ μηδενὸς ἐξαιτούμενος.

Ὁρᾷς ὅπη προϊὼν ὁ λόγος κατήντησε, καὶ ὅπως τοῖς σοῖς ἁλίσκῃ, πτεροῖς[4] μὲν οὖν οὐκ ἂν εἴποιμι, τέως δὲ λόγοις, οὓς κατ' ἄλλων

[1] Τὸ ἐμὸν ὕδωρ] vide p. 56, n. 6.

[2] Modo scripsit ἐλθέ, non ἔλθε. Nunc habet, et habuit p. 101, λάβε, non λαβέ. A codice nolui recedere.

[3] Οὐμενοῦν οὐ] vide p. 90, n. 5; et mox.

[4] Basilius Scholiis in Gregorium Naz., quæ inserui Notitiis mann. t. II, 64: πολλοῖς βάλλων αὐτὸν τοῖς ἐγχειρήμασι, ἀλλὰ καὶ τοῖς αὐτοῦ πτεροῖς κατατοξεύων. Ibi nota mea. Zacharias Mityl. p. 139: πάλιν δ' αὖ τοῖς ἰδίοις, κατὰ τὴν παροιμίαν, ἑάλωσαν πτεροῖς. Et ibi mea nota. Manuel Palæologus ab Hasio v. d. editus in Notitiis mann. t. VIII, p. 333: ἐβλήθη μὲν τοῖς ἡμετέροις βέλεσιν ὁ τοξότης, ἐβλήθη δὲ καὶ τοῖς αὑτοῦ, ὃ δὴ καὶ πικρότερον εἶναι πάντως δοκεῖ. In qua de summo illo infortunio sequitur Aristidem Orat. 53, quæ est pro Leptinea lege contra Demosthenem, p. 624: ὅτι σοι ταῦτ' ἔπεισι λέγειν, οὐ μόνον ὅτι τοῖς οἰκείοις πτεροῖς καὶ λόγοις ἁλίσκει, ὃ δεινότατόν ἐστι πάντων καὶ συμφορὰ τοῖς χρωμένοις.... Ibi Stievenarti vid. notam, qui καὶ λόγοις esse glossema suspicatur. Id Noster invenit, et ego nihil facile mutaverim in Aristide; sed apud Palæologum malim πάντων. In Classico Diario, t. XXXI, p. 195, qui legerat ista episcopi J. Taylori verba, « the eagle seing her breast wounded, and espying the arrow that hurt her to be feathered, cried out, πτερόν με τὸν πτερωτὸν ὀλλύει, *the feathered nation is destroyed by their own feathers* »; qui ista verba legerat vir d. petit ut velit aliquis ipsi fontem græci loci indicare. Nescio an responsum tulerit quod poscebat. Taylorus utebatur fabula Gabriæ, vel Ignatii Diaconi, p. 74 Corayanæ editionis, de Aquila: Βέλει τὸ στῆθος ἀετὸς τρώθη πάλαι. Quæ quum vidisset pennatam esse sagittam, exclamavit: Βαβαί! πτερόν με τὸν πτερωτὸν ὀλλύει. Primi versus aliam lectionem evulgavit Ed. Millerus vir d. in Notitiis mann. t. XIV, p. 235: Βέβλητό τις πρὸς στῆθος ἀετὸς βέλει· quam reperi et in

ἐπινοῶν, αὐτὸς ὡς ἀρκύστατα ἔχεις περικυκλοῦντας[1], καὶ πανταχόθε τὸν κίνδυνον ἐπιφέροντας;

Θέλω[2] λέγειν, ἄνδρες, αὐτῷ πῶς κατὰ τρόπον[3] ᾔτησεν ἄν, εἴπερ ἠβούλετο πολίτου φόνον αἰτεῖν. Καὶ ἦν οὗτος ὁ τῆς αἰτήσεως τρόπος·

« Ἄνδρες πολῖται, φόνος ἐμοὶ καὶ φόνος δεινὸς τετόλμηται. Πολίτην ἀπὸ θυμοῦ, ἢ συναρπαγείς, ἢ βασκήνας, πεφόνευκα, πολίτην, ἀδελφὸν ἐμόν, καὶ δημοτικὸν καὶ τῇ πόλει χρήσιμον. Ἀλλ' ἐν ἀδήλῳ ἐςδεῦρο τοῦτο, καὶ οὐδεὶς κατηγόρηκε. Νῦν, ἀριστεύσας καὶ δωρεὰν ἐξ ὑμῶν ἐκδεχόμενος, θαῤῥῶν ἐξαγγέλλω. Δότε μοι, παρακαλῶ, τὴν χάριν ταύτην, καὶ γράμμα γενέσθω δίκης πάσης ἀφέσεως. Ἐγὼ δὲ πρὸς τοὺς οἰκείους ἐκείνου τὸ ἀπὸ τοῦδε φιλανθρώπως καὶ εὐμενῶς διακείσομαι ».

Θέλω γοῦν λέγειν ὡς οὕτως ἔδει ζητεῖν τὸν γεννάδαν τοῦτον, καὶ μὴ ἐκείνως, εἴπερ ἠβούλετο ἀψευδεῖν, καὶ μηδὲν τὸν δῆμον παραλογίζεσθαι.

Ἀλλ' ἐπέχει τὴν ἐπιχείρησιν τοῦ τὸν τρόπον κακίζειν ὃν αὐτὸς ἐδοκίμασε τῆς αἰτήσεως, πρῶτον μὲν ὁ τρόπος αὐτοῦ καὶ τὸ ἀνάλγητον πάντῃ πρὸς τοὺς ἐκείνου[4] καὶ ἀδυςώπητον· ὁ γὰρ κειμένῳ ἐπεμβαίνων[5], καὶ ἄξιον θανάτου ἐκεῖνον ἀποφαινόμενος

codice 2991 A. Conferenda Phyllidos Ovidianæ verba : « Heu! patior telis vulnera facta meis »; et Apuleii Met. 5, p. 104 : « præclarus ille sagittarius ipse me telo meo percussi ». Sic Amor loquitur. Ibi Pricæus. Adde notam sequentem.

[1] Et est ibi allusio ad notum proverbium. Symeon Sethi Ichnel. p. 68 : πολλάκις ὁ ἐπιβουλεύων τινὶ ταῖς οἰκείαις ἄρκυσιν ἁλίσκεται. Idem, p. 134 : σὺ δὲ ὅρα μὴ ταῖς ἰδίαις ἄρκυσι ληφθῇς. Anonymus Suidæ in Πάγας : καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσών, καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε. Ibi Tupius. Addam nostros sic loqui vicinos : « Percy Askham was taken in his own toils ». Habemus et nos similia.

[2] Schol.: ἑτέρα μετάληψις.

[3] Κατὰ τρόπον] vide p. 67, n. 4.

[4] Sic codex, cum ellipsi, ut videtur, nominis οἰκείους, συγγενεῖς, et mox pariter τοῖς ἐκείνου. Cf. v. 12; et p. 106, 1, 2.

[5] Cod., ἐπιβαίνων, superscripto ἐμ litteris ιβ, ut fiat ἐπεμβ. Eadem permutatio in scholio ad Ajacem, 42 : ἐπεμπίπτει βάσιν] οἱ λέγοντες τὸ ἐπεμπίπτειν ἀντὶ τοῦ ἐπιβάλλειν.... τἀληθὲς ἀγνόουσιν. Codex 2812 A, ἀντὶ τοῦ ἐπεμβάλλειν. Quod prætulerim composito bicompositum in causa fuit et major sententiæ vis et exemplorum idoneorum copia. Noster Declamatione decima : τί ἐπεμβαίνεις τῇ ταλαιπώρῳ οὕτω κειμένῃ; et sic undecima. Aristides, sophistarum recentiorum dux et exemplar, Orat. 46, p. 346 : ἐπεμβαίνειν, ὃ δὴ λέγεται, κει-

τὸν ταλαίπωρον, τίς ἂν ἐγένετο τοῖς ἐκείνου, καὶ πῶς κατεδέξατο τὴν πρὸς τοὺς οἰκείους ἐκείνου κηδεμονίαν ὑποστῆναι, ἢ μὴν ἱλαρότητα, καὶ ἐφ' ἡμῶν ἀδελφὸν λέγειν ἐκεῖνον καὶ τὰ δυνατὰ οἰκτίζεσθαι, ὃν καὶ πρὸ πολλοῦ θανόντα μισεῖ; Πάλιν δὲ πνέοντα κατ' ἐκείνου, καὶ κατηγοροῦντα, καὶ ἄξιον θανάτου ἀποφαινόμενον, καθὼς νῦν καὶ ἀκούετε λέγοντα, τῶν ἀδυνάτων ἦν παρ' ὑμῶν εὑρεῖν τὴν συγχώρησιν.

Καὶ πρῶτον μὲν ὁ τρόπος τούτου καὶ τὸ ἀπηνὲς ἦθος οὕτως ὑποτίθησι μὴ σκώπτειν ἐμὲ τὴν αὐτοῦ αἴτησιν· δεύτερον δὲ ὁ ὑμέτερος τρόπος ὁ ἱλαρὸς καὶ φιλάνθρωπος. Ἆρ' ἂν κατεδέξασθε κἂν ἀκοῦσαι τὸν λόγον τότε, καὶ οὐκ εὐθὺς ἀνεπηδήσατε, καὶ ἀριστείαν ἐκείνην καὶ τρόπαιον καὶ πάντα τἀκεῖ λῆρον ἡγήσασθε, ὅτι φόνος ἀκούσαντες πέπρακται[1] καὶ πολίτης παρὰ τουτουῒ τοῦ ἀριστέως τοῦ θαυμαστοῦ διαπέπρακται; Ὅθεν οὐκ ἔχων ἐπαινεῖν τοῦτον τὴν πρᾶξιν, ἐπαινῶ τὴν διάνοιαν, ὅτι οὕτω τὴν αἴτησιν μετεχείρισεν.

Εἰ καὶ[2] οὗτος συγκαλύπτων ἴσως ἐρεῖ, ὡς « Ἔξεστί μοι ζητεῖν καθὼς προῃρούμην, καὶ οὐχ ὑμᾶς τοὺς ὁρίζοντας ἔχειν καθ' ὃν τρόπον ἔδει καὶ τὴν δωρεὰν ἐξαιτεῖν ». Ἀλλὰ δεῖ[3], ὦ ἄνδρες πολῖται, δεῖ τοιαῦτ' ἐφεῖναι ποιεῖν τοὺς τῆς ἡμετέρας πολίτας πόλεως; καλά γε ταῦτα καὶ τῇ πόλει συμφέροντα[4] τὸ τρόπον συῶν ἀγρίων[5] κατ' ἀλλήλων θήγειν τὰς δεξιὰς ἐπιτρέπειν; ἐπιτρέψετε δὲ πῶς; πάντως, εἰ παρὰ μικρὸν τὰ τούτῳ θείητε τολμηθέντα καὶ μὴ εὐθὺς πρὸς τὸ τιμωρεῖν καὶ κολάζειν διεγερθείητε. Δεῖ γὰρ οἷς ἕκαστος ἔχει καὶ δύναται, ταῦτα κοινῶς προτιθέναι τῇ πόλει,

μένοις. Joannes Chrys. in Eutropium, § 3 : καὶ ταῦτα λέγω οὐκ ἐπεμβαίνων τῷ κειμένῳ. Rursus : οὐκ ὀνειδίζων, οὐκ ἐπεμβαίνων τῇ συμφορᾷ. Plutarchus De Genio Socr. § 22 : κατέβαλε πονηρὸν ἄνθρωπον, ᾧ καὶ μεθ' ἡμέραν ἐπενέβησαν καὶ προσέπτυσαν οὐκ ὀλίγαι γυναῖκες. Aristophanes N. 545 : Ὃς μέγιστον ὄντα Κλέων' ἔπαισ' ἐς τὴν γαστέρα, Κοὐκ ἐτόλμησ' αὖθις ἐπεμπηδῆσ' αὐτῷ κειμένῳ. Noster infra composito utetur κατεπέμβαινε. — Shakesperius Henrico Octavo: « 'tis a cruelty To load a falling man ».

[1] Sic codex. Fortasse transponendum πέπρ. ἀκ.

[2] Schol.: ἀντίληψις.

[3] Schol.: ἡ θέσις ἀκόλουθος.

[4] Vocabuli συμφέροντα litteræ fere sunt evanidæ, nec nitidum sequentis ἐπιτρέψετε initium. De mea lectione vix tamen dubito.

[5] Τρόπον συῶν] vide p. 84, n. 6.

πλὴν εἰς ἀγαθὸν καὶ συμφέρον τῶν πολιτῶν. Καὶ ὥςπερ ἀριστεὺς γεγονὼς τὸ πρέπον εἶχε ζητεῖν εἰς τιμήν, οὕτω καὶ φονεὺς πεφηνὼς τὸ πρέπον τῆς τιμωρίας δικαίως ἂν λήψαιτο. Ἔχεις χεῖρα γενναίαν καὶ θάῤῥος ἀρεϊκόν; μὴ ἐπιχείρει τοῖς πολίταις μηδέν. Εἰσὶν ἐχθροὶ καὶ ἐναντίοι τῇ πόλει· πρὸς ἐκείνους φιλοτίμου, θυμοῦ κατ' ἐκείνων· ὅπλιζε τούτοις[1] τὴν δεξιάν. Καλὸν ἐσεῖταί σοι τὸ ἀγώνισμα· τὴν δεξιὰν στεφανώσουσιν οἱ πολῖται, καὶ λαμπρὸν τὸν θρίαμβον[2] ἄξουσιν. Εἰ δέ, παριδὼν τοὺς ἐχθρούς, τοῖς φίλοις ἐπιχειρεῖς, οὗτος τρόπος τῶν αἰσθανομένων μηδέν, οὗτος τρόπος τῶν μαινομένων. Ἐκεῖνοι δάκνουσι τοὺς θεραπευτάς, ἐκεῖνοι τοὺς οἰκείους ὑφορῶνται, καὶ τὸν τὴν θεραπείαν ἐπάγοντα ἰατρόν, ὡς ποιοῦντα τούτους τὰ ἔσχατα, ἀποστρέφονται, καὶ καιρὸν λαβόντες πλήττουσι καὶ φονεύουσιν[3]. Εἰ κατ' ἐχθρῶν ἀριστεύσεις καὶ πολίτην φονεύσεις, ὅμοιον ποιεῖς ὥςπερ ἂν εἰ, κυβερνήτης ὢν ἢ γεωργός, τὴν μὲν ὅλην ναῦν προηροῦ σώζειν, μίαν δὲ παρασπῶν τῶν σανίδων παρ' οὐδὲν ἐτίθεις· ἤ, θεραπεύων μὲν τὸ δένδρον ἅπαν, ἐμόσχευες, κλῶνα δ' ἐκσπῶν ἕνα ἢ μίαν ἐκτέμνων ῥίζαν, οὐκ ᾤου τὸ πᾶν ἀφανίζεσθαι. Ἄφες τὴν ἀριστείαν, ἄφες τὴν δωρεάν. Λογίζου τὸν τοῦ πολίτου φόνον, καὶ εἰ τοῦτον πρακτέον σοι ἐννοοῦ, πολίτῃ καὶ ταῦτα ὄντι καὶ ἀριστεῖ φημιζομένῳ, καὶ ὑπὲρ αὐτοῦ κινδυνεύειν οἰομένῳ ὡς ὑπὲρ ἑκάστου παντός. Πολίτης εἶ; ἀγάπα τὸν συμπολίτην· ἔνδοξος; μὴ ἀποστρέφου τὸν ἄδοξον· πλούσιος; καὶ τῷ πένητι, εἰ μὲν δύνῃ, καὶ ἀπὸ τῶν σαυτοῦ χορήγει· εἰ δ' οὖν, μὴ κατεπέμβαινε[4] σεμνυνόμενος. Ἠδικήθης τι ἢ καὶ ὑβρίσθης; τὸ δικαστήριον βλέπε, καὶ μὴ ἀνάρχως δικαιοῦ, καταφρονῶν κρίσεως. Τοῦτο γὰρ δημοτικῆς πολιτείας τρόπος, καὶ αὐθαδείας πόῤῥω τυραννικῆς.

Ἀλλὰ[5] τί δεῖ μοι πρὸς τοῦτον λέγειν, ἅπαξ τὸ αὐτόνομον ἀγα-

[1] Fortasse ἐπὶ τούτοις.

[2] Vide p. 94, n. 1.

[3] Plutarchus, De Progr. § 11, ægrotos depingit furiosos, qui medicos οὐδὲ φοιτῶντας ἐνιαχοῦ πρὸς αὐτοὺς ἀνέχονται, ἀλλ' ἐξελαύνουσιν ἢ φεύγουσιν, ὑπὸ τοῦ σφόδρα νοσεῖν, μηδ' ὅτι νοσοῦσιν αἰσθανόμενοι. Ibi Wyttenb. Horatius S. 2, 3, 30: « Ut lethargicus hic quum fit pugil et medicum urget ».

[4] Vide p. 105, n. 5.

[5] Huc retraho scholium, ἐπίλογος, male adpositum a librario infra ad verba ἐφ' ἑκάστου.

πήσαντα, καὶ δεῖν ἐγνωκότα κτείνειν ὃν ἂν καὶ βούλοιτο; Πρὸς ὑμᾶς λέγω τὸν δῆμον, καὶ ἐρωτῶ εἰ δεῖ ἐπιτρέπειν ταῦτα· εἰ δεῖ, καὶ συμφέρει τῇ πόλει τὸ τυραννικὸν τοῦτο καὶ αὔθαδες· καὶ ἂν ἐγὼ τόνδε, ἐκεῖνος δ' ἄλλον, ἄλλος ἕτερον, μόνον ἂν βουληθῇ τις καὶ θέλῃ, ποιήσῃ κακόν, εἰ ταῦτα διαφέρει τυραννικῆς ὠμότητος καὶ συγχύσεως. Καὶ μὴν πότε ταῦτα καὶ ἐπὶ τῶν τυράννων ἐκείνων τετόλμηται; ἐπὶ τῶν καιρῶν Πεισιστράτου τοῦ καταράτου; ἐπὶ τῶν καιρῶν τῶν Τριάκοντα[1]; ἐφ' ἑκάστου τῶν ἀλιτηρίων ἐκείνων καὶ ἀλαστόρων τῆς πόλεως; ὧν τὰς τυραννίδας ὡς χαλεπὰς ὑμνουμένας ἔχοντες ἐσαεί, τοιαύτην ἀκοὴν οὐκ ἴσμεν παρὰ πατέρων λαβόντες, οὔτε μὴν οὐδ' ἐλπίσαντες τὸ μετέπειτα.

Καὶ εἰ μὲν προαιρεῖσθε κολάζειν τὸ μύσος, ἵνα τί οὐκ αὐτόθεν καταψηφίζεσθε, ὡς ἂν δόξητε καὶ τῶν ζώντων ἡμῶν ἑκάστῳ οὕτως εἰς ἐκδίκησιν πρόθυμοι γενησόμενοι, ἤν που κακόν τις πάθοι παρὰ τοῦ γείτονος; ἢν δὲ καθυφῆτε καὶ μὴ κολάζητε[2], ἐπιτρέπετε πάντως. Καὶ πρῶτον ἔστιν εἰκὸς τὸ δικαστήριον τοῦτο καταβαλεῖν εἰς ἔδαφος, καὶ δικαστὰς μὴ εἶναι μηδὲ λογίζεσθαι, καὶ τότ' ἐπιτρέπειν ταῦτα. Καὶ εἰ καλὰ ταῦτα τῇ πόλει, γινέσθωσαν. Καὶ τί λοιπὸν πόλις ὁ τόπος οὗτος καὶ πῶς ἡμεῖς ἄνθρωποι, ἀλλὰ μὴ ἔρημός τις, καὶ θηρία τὰ ἐνοικοῦντα, μὴ λόγου, μὴ ἡμερότητος, μὴ πολιτείας μετέχοντα; Ἔξελε λόγον ἐξ ἀνθρώπων καὶ κρίσιν, καὶ λογίζου τὸ λοιπὸν τί ἂν καὶ εἴη ἄλλο ἢ θηρίων ὠμότης ἄλογος καὶ ἀκάθεκτος. Ἐπειδὴ γὰρ ὁ ἐνοικῶν τὴν καρδίαν θυμὸς καὶ ἡ σύζυγος τούτῳ ἐπιθυμία ἔστι μὲν θηρίοις, ἔστι δ' ἀνθρώποις, καὶ πολλὰ μὲν κατορθοῦσι ταῦτα, πολλὰ δὲ καὶ σφάλλονται, ἀπεκληρώθη λόγος ἡμῖν εἰς βοήθειαν. Κἂν ἐγὼ μὴ λόγῳ κινοίμην, τῶν παθῶν τὸν ἐν ἐμοὶ λόγον νικησάντων, ἔστιν ὁ κοινὸς[3] τῆς κρίσεως, καὶ εἰς εὐταξίαν ἄγει τὴν ἀταξίαν, κολάζων τὸν ἡττηθέντα, καὶ τίθησιν ἄνω τὸν ἡνίοχον[4] λόγον, καὶ καθυπο-

[1] Τῶν Τριάκοντα] quos jam memoravit p. 86, 17: ἐκείνους δὴ τοὺς ὑμνουμένους Τριάκοντα.

[2] Codex κολάζετε, superscripto η.

[3] Sic codex, ellipsi, ut videtur, nominis δήμιος : « est judicii carnifex », carnifex publicus a judicibus constitutus qui judicia exsequitur. Ni propter sequentia potius sit capiendum de interiore conscientiæ tortore.

[4] Respectu ad phantasiam Platonis Phædro, § 54, cui Ratio est ἡνίοχος

τάττει τὰ χείρονα. Εἰ δὲ ταῦτα ἐξ ἀνθρώπων ἀφαιρεθῇ, τί λοιπὸν ἐσεῖται, ἢ τὸν τῶν θηρίων βίον ἡμᾶς ζῆν; ἐξαιρεθήτωσαν δικαστήρια· ἐξαιρεθήτωσαν βουλευτήρια, κρίσεις, λόγοι, κολάσεις, ἔπαινοι τὸ λοιπόν. Οὕτω γὰρ ὁ χρηστὸς οὑτοσὶ νεανίας κελεύει καὶ ἀριστεύς. Καὶ πρώτην ἀριστείαν ἐχέτω ταύτην τὴν κατὰ τῶν ἡμετέρων ἐθῶν καὶ τῆς πολιτείας κατάλυσιν, εἴπω δὲ καὶ πάσης ἀνθρώπων τάξεως.

Ἐγὼ μὲν[1] ὁποῖος οὗτος καὶ τὸν πρότερον ἄλλον βίον οὐδέποτ' ἐρωτήσαιμι τὸν εἰδότα, γινώσκων ὡς ὁ ταῦτα τολμῶν οὐδενὸς ἄλλου τῶν εἰς κακίαν ἀπόσχοιτο. Ὁ φόνον τελέσας, οὐ βασκήνειε πρότερον; οὐ παρ' οὐδὲν τὸ ἁρπάζειν θήσει, τὸ ἀδικεῖν, τὸ λοιδορεῖσθαι, τὸ κατὰ πάντων ἐπαίρεσθαι; τὸν γὰρ εἰς τοὔσχατον τῶν κακῶν ἀφικόμενον εἰκὸς καὶ διὰ τῶν ἄλλων ἐλθεῖν. Ὅθεν καί, ὥςπερ εἰ ἐπ' ἐκείνοις ἐδίδου δίκας, οὐκ ἂν ταῦτ' ἔπραξεν, οὕτω, νῦν ἀφεθείς, τολμήσει τὰ χείρονα.

Ἀναλογίσασθε τὸν πολίτην ἐκεῖνον, καὶ τὴν ἐπὶ τοῦ δικαστηρίου στάσιν ἄν[2], καὶ τὰ ἐλεεινὰ δάκρυα. Τὸ συμβὰν ἐκείνῳ ἕκαστος ἐφ' αὑτῷ[3] ἡγείσθω. Ἂν κασίγνητος ἦν, ἂν υἱός, ἂν πατήρ, ἂν προςήκων ἄλλως[4], πῶς ἂν διέκεισθε πρὸς τὸν πράξαντα; Οὐκ εἰσὶ παῖδες ἐκείνῳ; ἀλλὰ τοῖς ἄλλοις εἰσί· καὶ μή, διότι ὁ ἐγκαλῶν οὐδεὶς ἐξ ἐκείνων, μηδὲν εἶναι καὶ τὸ κοινὸν τῆς πόλεως οἴεσθε.

bigæ, iræ videlicet atque cupiditatis.

[1] Schol.: ποιότης καὶ γνώμη.

[2] Sic codex. Est fortasse ἂν initium vocabuli, verbi ἀναφαντάζεσθε, vel ἀντιλεγόντων. Conf. p. 111, 5: δάκρυσι προςκαλοῦνται τὸν ἔλεον.

[3] Cod. ὑφ'. Scripsi ἐφ'.

[4] Codex ἄλλως, superscripto ος. Vicinæ sono vocales duplicem passim pariunt lectionem. Theodorus Prodromus, Rhodantes Supplemento quod Basso debemus viro doct., v. 101: Ὅμως περισχὼν τὸν θυμὸν καὶ τὸν φόβον, Καὶ κυριεύσας τῶν παθῶν ἑκατέρου. Editum ἑκατέρου e conjectura, quum sit ἑκατέρων in uno codicum, in altero ἑκάτερον. Illud sumendum fuisse videtur, mihi quidem: « utrorumque victor affectuum ». Ipse se vindicat Theodorus, 1, p. 33: Εὐθὺς νομίζω, συνδοκοῦν καὶ τοῖς νόμοις, Ἐπακροᾶσθαι τῶν μερῶν ἑκατέρων. Sic et p. 30: Καὶ συνιόντων τῶν μέρων ἑκατέρων. Idem Tetrast. p. 212: Ἄϋπνε Παῦλε, καὶ μέσων νυκτῶν λέγεις· Ὦ ζῆλος.... Codex mihi obtulit μέσον, quod non præferendum. Ibidem, p. 60: Ἆσμα τόδ', ᾆσμα φόβοιο θεοῦ βέλη ἄμμιν ἀπειλοῦν, Αἵματος ἐκμεθύοντα, κρεοφάγου τε μαχαίρης Χείλεα παμφαγέα. Inveni κρεωφάγου, bene. Sed tertia manet invalida. Erit φα producendum. Vide p. 71.

Οὐκ εἰσὶ προςήκοντες; οἶμαι, καὶ πολλοί· ἀλλὰ καὶ καλοί, τὶς εἴποι. Ἀλλ' ὅμως, ἤ, καὶ θέλοντες, ἐγκαλεῖν, ὑποπτήσσουσιν ἴσως μὲν τὴν ἀριστείαν, ἴσως δὲ τὴν ἀπήνειαν· ἢ τὸν ζῆλον ὑμῶν ἰδεῖν ἀναμένουσιν. Ἀριστεύσουσι κἀκεῖνοι, σὺν θεοῖς ἀριστεύσουσιν· εἰ δ' οὖν, ἀλλ' ἕτερον[1] ὠφέλιμον πράξουσι· πλὴν οὐ φονεύσουσιν ἄλλον, οὐδὲ τὸ κακὸν καλῷ συγκρύπτειν πειράσονται.

Ἂν προτενεῖ τὴν ἀριστείαν, τὸν φόνον ἀντίθετε. Καλὸν ἀριστεύειν, ἀλλὰ μηδὲ φονεύειν· εἰ δὲ φονεύει, κἂν ἀριστεύοι, οὐκ ἂν τὸ μύσος ἐκλείψειεν. « Ὁ ἀριστεύς » τὶς εἴποι· ἀλλὰ καὶ « ὁ φονεύς » ἐρεῖ[2]. Καὶ ἄλλος ἴσως, περὶ ὑμῶν ἀναμνησθείς, διηγήσεται ὡς παρεῖδον πολίτου φόνον ὁ δῆμος, παρεῖδον λαβόντες πρόςωπον, καὶ τὸ σχῆμα τῆς ἀριστείας ὄνειδος μέγα προςκατασκευασθῆναι τῇ πόλει πεποίηκεν.

Ἂν παῖδας ἀναβιβάσηται[3], παῖδας αὐτοὺς φονέως, οὐκ ἀριστέως ἡγήσασθε. Καὶ οἷς ἐτιμήσατε τὸν τούτων πατέρα, δόντες τὸ ζητηθέν, πρὸς ἀριστείαν ἐνάγοντες, οἷς αὖθις διὰ τὸν φόνον κολάσετε, πρὸς δημοτικὴν κατάστασιν ἐκπαιδεύσατε. Ἐγγύας δότε τούτοις, ὡς, καλοὶ γεγονότες, διὰ πατέρα κακὸν οὐ παροφθήσονται. Καὶ δίκαιον μᾶλλον εἴπατε τούτοις ἡμᾶς ἡγεῖσθαι τοῦτο, ἢ τὸ δι' ἀγαθοὺς υἱοὺς πατέρα κάκιστον τῇ πόλει περιποιεῖν.

Ἂν τὴν δωρεὰν προβαλεῖται, μὴ ἀποδέξησθε. Εἴπατε πρὸς αὐτόν·

« Ὁρᾷς τὴν δωρεὰν ταύτην; ἀπηνὴς ἦν καὶ λίαν πρὸς τοὺς τρόπους τοὺς ἡμετέρους ἀπᾴδουσα. Τί γοῦν τὸ κινῆσαν ἡμᾶς εἰς τοῦτο, καὶ παρὰ τὴν ἡμετέραν ἐποιοῦμεν[4] γνώμην καὶ πόῤῥω τοῦ ἤθους τῆς πόλεως; νόμος. Νόμος, οὐ λόγος κατηγωνίσατο τὴν προαίρεσιν. Κἂν πολλάκις ἔλεγες, οὐκ ἤνυες ἄν, εἰ μὴ νόμον εἴχομεν τὸν κελεύοντα ».

Εἶεν· νόμος ἐστὶ κἀνταῦθα, ὁ τιμωρῶν τοὺς φονεῖς, νόμος ὁ τῶν πολιτῶν παιδευτής, εἰ κακῶς πράττοιεν, καὶ τῶν πολιτῶν ὑπέρμαχος, εἰ ἀδίκως πάσχοιεν. Νόμος ἡμᾶς πείσει κολάζειν

[1] Fortasse, ἕτερόν τι.

[2] Fortasse, ἄλλος ἐρεῖ.

[3] De reis liberos producentibus movendæ causa misericordiæ, p. 19, n. 1.

[4] Fortasse, pro καί, legendum ὅτε, vel ὅτι, servato καί· εἰς τοῦτο ὅτι καὶ

λοιπόν· νόμος ἀπηνεῖς καὶ κατὰ σοῦ θήσει τοὺς κρίνοντας, ἐπεὶ καὶ τότε ἀπηνεῖς ἐτίθη τοὺς δωρουμένους κατὰ πολίτου μηδὲν ἀδικοῦντος. Οὐ λόγος ἡμᾶς παράξει καὶ παραπείσει ἄλλο τι κρίνειν ἢ ὡς ὁ νόμος διακελεύεται. Δάκρυσι προςκαλοῦνται τὸν ἔλεον οἱ λέγοντες ὑπὲρ σοῦ; δάκρυσι προςκαλοῦνται τὸν ἔλεον καὶ οἱ ὑπὲρ πολίτου λέγοντες. Ἠ σοὶ μέν εἰσιν οἰκεῖοι καὶ συγγενεῖς, ἐκείνῳ δὲ καὶ τελευτήσαντι οὐκ εἰσί; Πορεύσῃ καὶ σὺ πρὸς τοὺς κάτω· ἐκεῖνο πίῃ ὅπερ ἐκέρασας[1]. Ἔστι καὶ κάτω τῶν ἀπελθόντων συναγωγή, εἰσὶ καὶ δικασταὶ νεκρῶν, ὡς ἀκούομεν. Ἐκεῖνοι κρινοῦσιν ἅτ' ἐκεῖνος πάθοι, καὶ ἃ σύ γ' ἀλοὺς ὑπέσχες χάριν τῆς εἰς ἐκεῖνον ὕϐρεως. Κἂν ἡμῖν ἐκεῖνοι σύμψηφοι γένωνται, ἔχεις τὴν δίκην δικαίαν. Καὶ τῶν ἐκεῖ βασάνων ἴσως ἐξαιρεθήσῃ, καὶ πάλιν ἡμεῖς εὐεργέται σου καὶ τελευτήσαντος γενησόμεθα. Εἰ δὲ βαρεῖα δόξει καὶ πόῤῥω τοῦ πρέποντος, ἀλλ' ἐσεῖται καὶ ἡμῖν ἀπολογία πάνυ δικαία καὶ πρέπουσα, παρ' ἐκείνοις μὲν ἴσως εἰς τὸ ἑξῆς, παρὰ δὲ τοῖς ζῶσιν ἔγκαιρος ἐκ τοῦ παραχρῆμα.

Ἠκούσαμεν ἀπηνεῖς, σοῦ βιαζομένου καὶ ἀπαιτοῦντος τὴν δωρεάν· ἠκούσαμεν ἄσπλαγχνοι πρὸς ἡμέτερον ἀδελφὸν καὶ πολίτην· κατεγνώσθημεν ἄδικοι, προδόται, διὰ μιᾶς καὶ τοῦ τυχόντος ἐκδόσεως, πάσης πόλεως, καὶ δόξαν ἔσχομεν παρὰ πᾶσι τὴν ἡμῖν οὐ πρέπουσαν. Ἤδη καιρός, ἄνδρες, τὴν ἐναντίαν τῆς προτέρας λαϐεῖν, καὶ δεῖξαι ὡς πάντ' ἂν ἢ νόμον παρίδοιμεν κείμενον. Παρ' ἣν αἰτίαν καὶ πρότερον δόξαντες ἀπηνεῖς καὶ κατὰ πολίτου, νῦν καὶ πάλιν ὑπὲρ αὐτοῦ, νόμου κελεύοντος, ἐφάνημεν ἀπηνεῖς. Καί, ὥςπερ τότε οὐχ ἡ τοῦ πολίτου χρηστότης, εἰ χρηστὸς ἦν, οὐ τὸ μέτριον πρὸς νόμον κείμενον ἴσχυσε, τοῦ μὴ παθεῖν ἐκεῖνον ὃ δὴ τῷ αἰτοῦντι ἦν βουλομένῳ, οὕτως οὐδὲ τὰ νῦν ἡ ἀρετὴ τούτου τῆς ἀριστείας, εἰ καὶ μόνου ἦν αὕτη καὶ μὴ ἁπάντων τῶν πολιτῶν, πρὸς νόμον ἰσχύσει κείμενον φονικόν, τοῦ μὴ παθεῖν τοῦτον, ὃ δὴ οὐχ ὑμεῖς, ἀλλ' ἐκεῖνος προηγουμένως βούλεται. Καὶ οὕτως ἐκδικηθήσεται μὲν καὶ ὁ φόνος, κολασθήσεται

παρά· vel repetito τί γοῦν· κ. τί γ. παρά. ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ

[1] Meminisse videtur Apocal. 18, 6: διπλοῦν.

δὲ καὶ ὁ τρόπος. Κἄν που καὶ ἁμαρτεῖν ἐδόξαμεν, τὴν αἰσχύνην ταύτην ἀποτριψόμεθα, καὶ τοῦ λοιποῦ πολίτας ἕξομεν ἀγαθούς, καὶ πρὸς ἀλλήλους μὲν εὔνους ὅτ' εἰρηνεύομεν, πρὸς δ' ἐχθροὺς φοβεροὺς ὅτε μαχόμεθα. Κἂν ἀριστεῦσαι συμπέσοι τινί, ἐκεῖν' ἐλευθέρως ζητήσει, ἃ δὴ κἀκείνῳ καὶ τῇ πόλει εἰς δόξαν ἔσται διαιωνίζουσαν.

ΜΕΛΕΤΗ Ζ'.

Πολέμου ὄντος καὶ πολιορκίας, ἀνελθών τις ξένος ἐπὶ τὸ τεῖχος ἠρίστευσε, νόμου κελεύοντος μὴ ἀνιέναι ξένον ἐν τοιούτῳ καιρῷ. Καὶ ὑπάγεται τῷ νόμῳ[1]. Μελετῶμεν τὸν φεύγοντα[2].

Ἐγὼ μέν[3], ὦ ἄνδρες, καὶ πρὶν εἰς ἀπολογίαν καταστῆναι ὧν ἐγκέκλημαι παρὰ τοῦ χρηστοῦ τούτου καὶ ἐς ἄκρον νομοτριβοῦς, ὡρακιῶ καὶ τρέμω, μή πως νόμος τις ἄλλος τῶν παλαιῶν ἐξ ἀφανοῦς μέσον ὑμῶν προταθῇ, καί, ὡς οὐ μετόν μοι τῆς ἐνθάδε παρόδου ὅπου πολῖται καὶ μόνοι κρίνονται, τὰς ἐσχάτας δίκας ὑφέξω, καί, νόμῳ λαχὼν εὐθύνας διδόναι, νόμον ἄλλον εὕρω καὶ πρὸ τῶν λόγων καταδικάζοντα.

Εἰ γάρ, ὅπου, πολιορκίας οὔσης καὶ δεινῶν ἐπικειμένων τοῖς πολίταις τῶν ἐκ πολέμου, καὶ τῶν κινδύνων ἐν χρῷ τῆς πόλεως ὄντων, ξένος ἐγώ, καὶ μηδὲν προσήκων τοῖς ἐν τῇ πόλει, ὅμως τὸ τηνικάδε ἐντὸς ὢν καὶ τῶν δεινῶν μετέχων, καὶ δεῖν ἡγούμενος διὰ ταῦτα ἀμύνειν, ἀνελθὼν ἐπὶ τὸ τεῖχος ἠρίστευσα, κἀκ τῶν δυνατῶν[4] ἐμοὶ ὤθησα τῇ πόλει τὸν κίνδυνον[5]· εἰ γοῦν, ὅπου ταῦτα, καὶ εὐεργετήσας, οὐκ ἀδικήσας, φαίνομαι, οὐκ ἀπέσχετό τις κατηγορεῖν, καὶ νόμον προτείνει ἔχων, ὡς λέγει, τὸν ταῦτα κω-

[1] Schol.: ἡ στάσις· ῥητὸν καὶ διάνοια.
[2] Μελετῶμεν] vide p. 90, n. 3.
[3] Schol.: τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ κατηγόρου· φθόνον γὰρ προανακρούει.
[4] Ἐκ τῶν δυνατῶν] vide p. 59, n. 8.
[5] Ὠθεῖν....] vide p. 29, n. 5.

λύοντα[1] καταδικάζειν ἐμέ, σχολῇ γ' ἄν, εἴ που φανείη νόμος ἐξωθῶν τοῦ δικαστηρίου τὸν ἄλλοθεν ἐλθόντα καὶ νέηλυν, συγγνώσαιτό τις μὴ εἰδότι καὶ τῆς κολάσεως ἐξαιρήσαιτο.

Ἀλλ' ἀντιβολῶ ὑμᾶς, δικασταί, μᾶλλον δὲ τὸν βαρὺν τοῦτον κατήγορον, ἥν που τοιοῦτον παρ' ὑμῖν καὶ τοῖς ὑμετέροις ἤθεσιν εἴη, φράζειν ἐμοί, ὡς ἂν μή, πεσὼν εἰς ἀρκύστατα, γνῶ, ἄλλον τρέχων ἀγῶνα, εἰς ἄλλον ἐμπεπτωκώς. Εἰ δὲ μή, δότε μοι τὰς ἐγγύας, παρακαλῶ, ἵνα θαῤῥούντως ἱστάμενος ἀπολογοίμην πρὸς τὴν τῆς ἐμῆς ἀριστείας κατηγορίαν, ἣν καινὴν οὗτος καὶ παρὰ πᾶσαν προςδοκίαν εἰςάγει με τὸν ταλαίπωρον.

Ὁ μὲν[2] οὖν δῆμος, μόλις ἀπαλλαγεὶς τῶν ἐκ τοῦ πολέμου κακῶν, γέγηθέ τε καὶ στεφανηφορεῖ, καὶ παιᾶνες[3] ἀνὰ τὴν πόλιν κροτοῦνται, καὶ πάνδημος ἄγεται καὶ πολυτελὴς ἑορτή, καὶ οὐδεὶς ὅςτις τῆς τοιαύτης ἐλευθερίας ἄλλον λέγει τὸν αἴτιον ἢ ἐμέ. Καὶ δὴ πολλοὶ καὶ τῶν θερμοτέρων τὰ ἐς πίστιν τῇ πόλει, ὥςπερ καὶ πέπεισμαι, ἰέναι πρὸς τοὺς φράτορας ἡτοιμάζοντο, προτενοῦντες τὴν ἀριστείαν, καὶ τὴν ἐμὴν εἰς τὴν πολιτείαν εἰςποίησιν, ὡς δικαίαν καὶ πρέπουσαν τῷ καιρῷ, ψηφισόμενοι. Καὶ γὰρ οὕτως εἶχον, καὶ πολλάκις λεγόντων τινῶν ἤκουον· « Ὡς εὖ γέ σοι τῷ ξένῳ, ἐάνπερ τέως ἐνέχῃ τῷ τῆς ξενιτείας προςρήματι, καὶ οὐχὶ τῶν μάλιστα πολιτῶν καὶ ἡμεδαπῶν εἶ! εὖ δέ σοι καὶ μᾶλλον[4], ὅτι, οὐ κατὰ γένος ἀπὸ πατέρων καὶ πάππων ὡς οἱ λοιποί, ἀλλὰ τὴν ἀριστείαν ὡς μισθὸν καταθέμενος, καλῶς καὶ ὡς δεῖ πεπολιτογράφησαι »! Καὶ οἱ μὲν τῆς πόλεως οὕτως εἶχον ἐμοί, καὶ δωρεὰς καὶ μισθοὺς ἐκ πολλοῦ τοῦ περιόντος ἡτοίμαζον· μένος δ' οὗτος ὁ φιλόπατρις καὶ χρηστὸς καὶ τῶν νόμων ὑπέρμα-

[1] Sic codex. Fort. τὸν ταῦτ' ἀπολύοντα.

[2] Schol.: δεύτερον προοίμιον ἐξ ὑπολήψεως τοῦ πράγματος.

[3] Cod. videtur exhibere παιάνες. Sed adeo deformibus utitur sæpe librarius litteris, ut παιᾶνες legi, puto, voluerit. Vide p. 66, n. 3; 119, 14.

[4] Forsan repetendum εὖ γέ σοι καὶ μᾶλλον, majore cum vi. Theodorus Prodr. Rhod. 2, p. 54 : Ὡς εὖ γέ σοι γένοιτο τῆς ὁμιλίας, Μικρὸν διασχών, εἶπα, σεμνὴ παρθένε. Philes Epitaphio Pachymeris quod præfationi subjungam ✝ 88 : Ὡς εὖ γέ σοι γένοιτο καὶ τῶν νῦν λόγων. Quæ exempla in causa sunt cur non scripserim, ἤκουον ὡς « Εὖ, sed ὡς ab εὖ non disjunxerim. Optime ὡς in optativis sententiis locum habet.

χος, οὐκ οἶδα τί παθὼν παρ' ἐμοῦ[1] ὅτι μὴ τὸ μέρος καὶ αὐτὸς τῶν δεινῶν ἐλευθερωθείς, καὶ τὴν ἐλευθερίαν δυςχεραίνων, ὡς ἔοικε, μόνος οὗτος προβάλλεται νόμον κατὰ τῆς ἐμῆς ἀριστείας, καὶ ὅτι σέσωσται δι' ἐμοῦ οὐ μόνον οὐκ ἀγαπᾷ σωζόμενος[2], ἀλλὰ καὶ δεινὰ ποιεῖ καὶ τὸν δῆμον ἀνασοβεῖ[3] ὅτι σέσωσται, καὶ κακῶν πολιορκίαν ἐμοὶ περιβάλλει, ἑλεῖν μηχανώμενος τὸν ἅπαν καθ' ὑμῶν τῶν πολιορκούντων μηχάνημα διαλύσαντα. Ἐγὼ δὲ τοῦτο καὶ μόνον ζητῶ, ὑποσχεῖν ὑμᾶς τὴν ἀκοὴν λέγοντι, καὶ μὴ ὡς ξένου καταφρονεῖν, καὶ μηδὲν εἰδότος τῶν ὑμετέρων, ὅτι μὴ[4] μόνον ἀριστεύειν μεμαθηκότος, κἂν οὐκ ἐξ ἐμαυτοῦ, ἀλλ' ὑφ' ὑμῖν διδάσκουσιν, ὃ δὴ καὶ ἀπωνάμην ἴσως τῆς ξενιτείας, ὁμολογῶ, οὐδ' ὅλως εὐκαταφρόνητον ὄν, ἥκιστα καὶ αὐτόχθοσιν. Ἀλλ' ἀληθῶς[5] μὲν ἰδιώτης ὢν οἶδα· τέως δ', ὡς ἂν οἷός τε ὦ, τὰ συμπεσόντα μὲν τῇ πόλει, συμπεσόντα δ' ἐμοὶ διηγήσομαι, καὶ δείξω τίς ὢν ἐγώ, καὶ εἰ καταφρονήσας κειμένων νόμων, εἴτε ζηλώσας ὑπὲρ τῆς πόλεως, τὸ τεῖχος ὑπερανέβην, καὶ διὰ τὴν ὑμετέραν ἴσως εὐλάβειαν, θεῶν διδόντων, ἠρίστευσα.

Πόλεμος[6] ἐπῆλθε τῇ πόλει βαρύς, πόλεμος ἐκ τοῦ παραχρῆμα, μὴ προςδοκηθεὶς πρότερον, μήτε μὴν ἀγγελθείς· ὃ δὴ καὶ μᾶλλον ἐτάραξε τοὺς πολίτας καὶ εἰς ἀμηχανίαν ἐνέβαλλε. Τὸ γὰρ ἀπροςδόκητον ἐπελθόν, κἂν στεῤῥοῖς οὖσι καὶ ἀνδρείοις πρὸς τὰ δεινά, δουλοῖ τὰ φρονήματα. Τοῦτο κἀμὲ συγκατέχει καὶ ἐντὸς ἀναγκάζει μένειν, μὴ ἐξιέναι, μηδ' ἐπ' οἴκου[7] οἷόν τ' ὄντα πορεύεσθαι. Οὐδὲ γάρ, ὡς κακὸς τῇ 'μῇ πόλει φυγὴν κατακριθείς, τοῖς ἐνταυθοῖ ἐπεδήμησα, οὐδ' ὡς ἄλλως ἀλήτης καὶ περιττός, μηδὲν ἔχων πράττειν ἐκεῖ, τῆς πατρίδος ἐξώρμησα· ἀλλά — οὐ δύναμαι δὲ λέγειν τὰ κατ' ἐμέ· κἂν λέγω, ἴσως οὐ πιστευθήσομαι — μόνον δὲ τοῦτο ὑμῖν παριστῶ, ὡς, οὐδὲν ἐγκαλεῖν ἐχούσης ἐμοὶ τῆς πατρίδος, οὐ μᾶλλον ἢ ἐκείνη ἐμοῦ, ἀπεδήμησα. Καὶ ἀπεδήμησα

[1] Similia p. 59, 20.

[2] Οὐ μόνον οὐκ] vide p. 20, n. 4.

[3] Verbum ἀνασοβεῖ e codice restitui pro ἅμα σιτεῖ Pachymeri Progymn. ad Choricium, p. 216. Redibit Decl. IX.

[4] Ante ὅτι μή fortasse omissum est μηδέν.

[5] Schol.: προκατάστασις.

[6] Schol.: κατάστασις.

[7] Ἐπ' οἴκου] in patriam scilicet.

κατὰ θέαν μὲν ἴσως τῶν ἄλλων· οὐ μὴν δέ, ἀλλ' ἵνα καὶ πολλῶν μὲν ἀνθρώπων ἄστεα ἴδω καὶ νόον γνῶ[1], πολλὰ δὲ καὶ μαθήσομαι γνούς. Καὶ ἐπεδήμησα μὲν Μεγάροις, εἶδον δὲ Βοιωτίαν, καὶ Φωκίδα ἐπῆλθον πᾶσαν, καὶ τὸ κλεινὸν τοῦ Πυθίου τέμενος καθιστόρησα. Καί, ἵνα μὴ λέγω καθ' ἕκαστον, ἀκούσας καὶ περὶ τῆς ὑμετέρας ταυτησὶ πόλεως καὶ τῶν πολιτῶν, ὅλως ἐγενόμην τοῦ δρόμου[2] τοῦ πρὸς ὑμᾶς, καὶ φέρων ἐμαυτὸν τῇ λαμπρᾷ ταύτῃ καὶ περιφανεῖ πόλει δίδωμι.

Καὶ δή, δεῖ γὰρ μαρτυρεῖν ὑμῖν τἀληθῆ, πάντ' ἐκεῖνα τὰ θεαθέντα πρὸς τὰ παρόντα παραβαλλόμενα λῆρος ἦν, καὶ λόγος ἄλλως, εἴ που τις καὶ περὶ ἐκείνων διέξεισι. Καί, συνελόντα λέγειν[3], εἶδον ὀχυρὰν πόλιν καὶ τετειχισμένην ὡς ἄλλα τείχη τὰ Σεμιράμεια[4]. Εἶδον κοσμιότητα πολιτῶν, εἶδον γερόντων εὐ-

[1] Meminit Odysseæ initii de Ulysse : Πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νοὸν ἔγνω. Cujus meminit et Plautus Persa, 4, 4, 2 : « Urbis speciem vidi, hominum mores perspexi parum ».

[2] Ὅλως ἐγενόμην τ. δρ.] vide dicta p. 48, n. 1.

[3] Συνελόντα λέγειν] Noster Progymn. c. 3, p. 554, 20 : συνελόντα φάναι, οὔτε τοῖς κοινοῖς χρήσιμος, οὔτε τοῖς οἰκείοις (vid. ad Choric. p. 229) ὠφέλιμος, ἀλλ', οἷον ἄχθος ἀρούρης, τὴν γνώμην παντὶ ἀνέμῳ συμφέρεται τῇ κουφότητι, οὐδὲν μέσου (cod. μέσον bene) διαστέλλων ὠφελοῦντος καὶ βλάπτοντος. Athenagoras Leg. § 17. Julianus Or. 1, p. 19 : ξυνελόντι δ' εἰπεῖν. Demosthenes Phil. 1, § 7 : συνελόντι δ' ἁπλῶς εἰπεῖν. Ibi editor præstantissimus e codd. duobus εἰπεῖν omisit, cui non paruerunt recentiores, et recte, ut videtur. Eadem tamen brevitate Anaxilas Athenæi, 13, 6 : συντεμόντι δ' οὐδὲ ἓν Ἔσθ' ἑταίρας ὅσα περ ἔστι θηρί' ἐξωλέστερον. Addesis n. ad Man. Palæologum in Anecd. meis N. p. 243.

[4] Cod., Σεμιράμια. Malui scribere cum diphthongo. Suidas citat ex anonymo Σεμιράμεια τείχη. Herodianus Epim. p. 122. Σεμίραμις.... ἐξ ἧς καὶ Σεμιράμεια τείχη. Meæ scripturæ favet constans vocalium ι ει permutatio Inde in Epigrammate Constantini Siculi Anth. 15, 13, κλεισμός codex Pal. male exhibet pro κλισμός. Sed de illo Epigrammate habeo quæ moneam paulo graviora. Ait Jacobsius reperisse se, κλεισμὸς ἐγὼ φορέαν σοφίας ἐπιίστορας ἄνδρας, et edidit κλισμὸς ἐ. φορέειν. Melius dederat Reiskius φορέων, quod nitide ferre codicem testor. Est et in prioribus versibus lacuna : Εἰ μέν τις σοφὸς ἐσσί, ἐφίζεο· εἰ δέ γε Μούσης Δακτύλῳ ἀκροτάτῳ ἀπεγεύσαο.... Πόῤῥω στῆθ' ἀπ' ἐμεῖο καὶ ἄλλοθι δίζεο ἕδρην. In codice versum secundum claudit adverbium πόῤῥω, tertius incipit in στῆθ'. Inde impleri posse puto lacunam hocce modo : .... ἀπεγεύσαο, ὦ ξένε, πόῤῥω Πόῤῥω στῆθ'· quod non caret emphasi. Oculis et calamo properantibus facilis fuit adverbii repetitio alterum omittendi causa. Nota illa dicendi formula ἄκρῳ δακτύλῳ γεύσασθαι in memoriam revocat mihi locum Himerii Orat. 1, 16 : Σαπφοῦς ἦν ἄρα μήλῳ μὲν εἰκάσαι

κοσμίαν· εἶδον νεανίσκους ἱκανοὺς μὲν πρὸς μαθημάτων ἀνάληψιν, ἱκανοὺς δὲ συμμάχους καὶ τῇ πατρίδι γενησομένους κατὰ καιρούς· εἶδον φιλόξενον ἦθος, καὶ εὐνομίαν, καὶ πολιτικὰς ἄλλας χάριτας. Τοῦτό με πείθει καὶ ἐγχρονίσαι τῇ πόλει, καὶ ἐμβραδῦναί με πρὸς τὴν ἔξοδον. Τὸ γὰρ ἀφ' ἑκάστου περὶ ἐμὲ προςηνές, καὶ τὸ μηδ' αἰτοῦντα ἔχειν ὅ τι καὶ βούλομαι, ἀμνημονεῖν καὶ τῶν ἰδίων ἐποίει καὶ τῆς ἐνεγκαμένης, ἧς οὐδὲν γλύκιον[1].

Ἀλλ' ἐν τοσούτῳ, μεταξὺ τοῖς πολίταις συνόντος ἐμοῦ, πόλεμος ἐφειςτήκει, καὶ τὴν πόλιν περικαθίσαντες[2] οἱ ἐχθροὶ δεινὰ ἐποίουν[3], δεινὰ ἠπείλουν. Καὶ τὰ δρώμενα τῶν λεγομένων ἦσαν

τὴν κόρην, τοσοῦτον χαρισαμένην τοῖς πρὸ ὥρας δρέψασθαι σπεύδουσιν, ὅσον ἄκρῳ τοῦ δακτύλου γεύσασθαι. Conjecit Wernsdorf. οὐδ' ἄκρῳ. Sed sine negatione sensus est λεσβιακώτερος. Utroque autem modo nonnihil inest κακεμφάτου. In Florentio Nicephori Gregoræ id proverbium, levi mendo vitiatum est p. 512 : οἱ δ' Ἰταλοὶ καὶ ὅσοι κατ' ἐκείνους τῶν τῆς παιδείας προθύρων ἄκρῳ δακτύλῳ γενόμενοι. Reponendum γευόμενοι, quod habet codex Parisinus. Verbi γεύεσθαι προθύρων metaphora ferenda est. Idem mendum occurrit e p. 510 : τοὺς κορυβαντιῶντας καὶ μαινομένους καὶ τῶν οἰκείων σαρκῶν γενομένους οὐκ οἶδ' ὅπως ἐμιμήσω. Codex Paris., ἀπογευομένους, quod est omnino recipiendum.

[1] Respectu ad Od. 9, 34 : Ὣς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων Γίνεται. Ibi Duportus Gnomol. similia contulit.

[2] Codex, περικαθήσαντες, permutatione vocalium jam observata pp. 7, 39. Sic καρπήσεται p. 118, 19. Georgides Gnomologio in Anecdotis Gr. meis, t. I, p. 30 : δανειστικὸν πλούτου ἡ θεράπεια τῶν δεομένων. Sic usus iotacismo mutavi codicis scripturam δανιτικόν parvo cum emolumento sententiæ. In alio codice reperi bonam scripturam δαπανητικόν. In Anthologia, 15, 4, Vaticanæ membranæ ᾧ περὶ δηρήσαντο, bene mutatum in δηρίσαντο ab editoribus. Sed hoc epigramma, et vicina quæ sunt scripta in virum præcipuum quemdam, et nomine sacerdotem et munere, non opinor de christiano presbytero intelligenda, quod opinabatur vir doct., cui opinioni obstat non parum mentio severæ conjugis; obstant multum verba Αὐσόνιος Ζεύς quibus in epitaphio christiani hominis poeta, isque non malus, non fuisset usus. Addam totius orationis colorem esse videri hominis absque Christo et ethnici. In sequentibus, quos ineditos esse reor, versibus κυβέρνισον male scriptum fuit pro κυβέρνησον : Ἂν ἴδῃς ξένον ἄνθρωπον, τὸν κατ' ἐμέ σοι λέγω, Ὑπὸ τῆς τύχης τῆς πικρᾶς ἀτίμως ἐῤῥιμμένον, Ἐν ξένοις διατρίβοντα, πενόμενον τελέως, Σὺ μὴ παρίδῃς τὸν αὐτὸν ὡς ἕνα τῶν ἀδόξων. Ἀλλ' οἴκτειρον, βοήθησον, κυβέρνησον ἀξίως, Ἵν' ἀντιλάβῃς ἐκ θεοῦ τὰς ἀμοιβὰς πλουσίας Εἰς τὴν ἡμέραν τοῦ κριτοῦ τὴν φοβερὰν ἐκείνην. Mihi notaveram codicis regii numerum unde hos versus descripsi ac auctoris nomen, si fuit a librario appositum; sed meæ pars schedulæ periit. Probabili conjectura illos Theodoro Prodromo tribuerim.

[3] Modo δεινὰ ποιεῖ p. 114, 5. Vide p. 92, n. 3.

δεινότερα. Οὐ μὴν δὲ καὶ ὑμεῖς ἠμελεῖτε, ἢ τὸ στρατιωτικὸν ὑμῖν ἐῤῥαθύμει πολεμικῆς μελέτης[1] καὶ παρατάξεως. Ἀλλ' εὐθύς, τῶν ἄλλων βουλευομένων πῶς ἂν τὰ τοῦ πρὸς ἐκείνους πολέμου διάθησθε, ἐκεῖνοι, ἀναθαῤῥήσαντες καὶ μένος σχόντες σύνηθες, οἶμαι, καὶ πάτριον, καὶ τὰ ὅπλα λαβόντες, ἐξώρμων. Καὶ πολὺ μὲν τὸ ὑμέτερον ἦν, πολὺ δὲ καὶ τὸ ξενικόν. Περὶ ὧν πυνθανόμενος, ἤκουον ὡς οἱ μὲν τροφεῖα τῇ πόλει ἀποτιννύειν σπουδάζουσιν, οἱ δέ, τροφὰς λαμβάνοντες καὶ μισθούς, ἐπικούρων ἐπέχουσι τάξιν, καὶ μάχονται συστάδην καθ' ἑαυτοὺς ἑκάτεροι, ἔστι δ' ὅπου καὶ ἀναμίξ. Τὸ γὰρ εὐνοϊκὸν πρὸς τὴν πόλιν τῶν ξένων οὐ ξένους αὐτούς, ἀλλ' αὐθιγενεῖς ἀπεργάζεται· καὶ κρείττω τὸν εὔνουν ξένον ἢ τὸν δύσνουν πολίτην (ἀλλ' ἀπείη[2] τὸ βλάσφημον) ἔκρινον. Καὶ δὴ παραταξάμενοι, καί, ὡς ἐχρῆν, τὸν πόλεμον διαθέμενοι, εἶχον μὲν οὕτω παρασκευῆς καὶ ῥοπῆς, ὥςτε ἢ κατὰ κράτος νικῆσαι, ἢ καὶ τὴν ζωὴν προςαποβαλεῖν. Ἀλλὰ νικῶσι τὰ τῶν θεῶν — καὶ τί γὰρ ἂν ἕτερον εἴποιμι; — πρὸς οὓς οὐδ' ὁ καρτερώτατος ἀντισχεῖν ἂν δύναιτο. Καὶ τόσον ὠθοῦσι τοὺς ὑμετέρους ἐκεῖνοι, ὥςτε καὶ πρὸς αὐταῖς ταῖς πύλαις τῆς πόλεως τελεῖσθαι τὸν πόλεμον. Καὶ οὐδεὶς ἦν, οὐ μικρός, οὐ μέγας, ὅςτις, βοῆς ἐκείνης ἀκούσας καὶ πολυθρόου θορύβου ἐγγύς, ὡς εἰκάσαι, οὐκ εὐθὺς τὸ τεῖχος ἀνέβαινε. Καὶ παῖδες, καὶ γυναῖκες, καὶ γέροντες, ἐμοὶ δοκεῖν, καὶ οἷς ἰδεῖν ποτὲ τὸ τεῖχος οὐκ ἐξεγένετο, οὐδ' ἐκεῖνοι ἀπῆσαν ἐκεῖθε, τοῦ φόβου πάντας καὶ τῆς ταραχῆς ἕλκοντος[3].

Ἀνῆλθον σὺν τοῖς ἄλλοις κἀγώ. Ἀνῆλθον, καὶ οὐκ ἀρνοῦμαι. Πλὴν οὐ κατ' ἐκείνους κἀγὼ τὴν ἄνοδον ἐποιούμην, οὐδ' ἐφ' ὁμοίῳ τῷ σκοπῷ.

Ἀλλὰ συνειδὼς μὲν ἐμαυτῷ πολλάκις πολέμους συνδιενέγκας τοῖς ἐμοῖς πολίταις ὑπὲρ τῶν δικαίων τῆς θρεψαμένης με πόλεως, συνειδὼς δὲ καὶ πεῖραν ἔχων ἐπὶ τοῖς τοιούτοις αὐτάρκη καὶ δοκιμήν, λαμβάνω λογισμόν, οὐκ οἶδ' ὁπόθεν μοι ἐπελθόντα τότε,

[1] Eadem syntaxis verbi ῥᾳθυμεῖν p. 62, 12.

[2] Codex, ἀπήει. De confusis illis temporibus ad Planudem Metam. p. 572.

[3] Vide p. 102, n. 3.

ὡς πολλοῖς ἀριστεῦσαι καὶ ἀπὸ πύργου συνέβη, καὶ πολλοὶ ξένοι τυχόντες ὠφέλησαν τοὺς αὐτόχθονας·

« Λάβω τὰ ὅπλα κἀγώ· καταλήψομαι τόπον οὗ καλὸν ἵστασθαι. Κατοπτεύσω μὲν σὺν τοῖς ἄλλοις τὸν πόλεμον, ἴδω τὴν μάχην. Κἂν κλίνωσι πρὸς ἡμᾶς οἱ τῆς πόλεως, ταῖς φωναῖς ἐπιθαῤῥυνῶ. Φαινόμενος ἄνωθεν, αἰσχύνην ἐμβαλῶ τούτοις, ὡς τὸ εἰκός, εἰ, ξένος ὢν ἐγὼ καὶ μηδὲν προςήκων τῇ πόλει, παρακαλῶ τοὺς πολίτας περὶ τῆς ἑαυτῶν μάχεσθαι. Ἂν ἐκείνους οὗτοι ὠθοῦνται, τοῖς παρακλητηρίοις[1] ἄνωθεν ἐνισχύσω· καί· « Εὖ γε ὑμῖν, » εἴπω, εὖ γε, πολῖται τῆς πόλεως· οὐκ ἄνευ θεατῶν μάχεσθε· τὸ τεῖχος γέμει τῶν θεατῶν· ἀρῶνται καὶ γυναῖκες ὑπὲρ ὑμῶν τοῖς θεοῖς. Εἰ δὲ καὶ πρὸς ἀλλοδαποὺς φημίζεσθαι θέλετε, οὗτος ἐγὼ νῦν μὲν θεατής, μετέπειτα δὲ καὶ κήρυξ, ἰδών, οὐκ ἀκούσας[2], εἰς ἅπαντας οὕτω πράξω[3], οὕτω τοὺς καλοὺς πολίτας τῆς ξενίας ἀμείψομαι. Εἰ δὲ καὶ θεὸς ἀνὰ χεῖρας θήσει τῶν πολεμίων τινά, καὶ μᾶλλον τὸν ἐξηγούμενον, τοῦτό μοι εὐκτόν, καὶ δῶρον τύχης τῆς ἐμῆς ξενιτείας ἐπάξιον. Ὠφελήσω τὴν πόλιν, οἶδα· τιμήσω καὶ τὴν ἡμεδαπήν, καὶ ξένος ὢν ἐκεῖ φημισθήσομαι. Καὶ ἄλλη μὲν τοὺς πόνους καρπίσεται τοὺς ἐμούς, ἡ δ' ἐμὴ πατρίς, ὥςπερ αὐτὴ παθοῦσα καλῶς, μεγαλυνεῖ τὸν ἐπ' ἀλλοδαπῆς ἀριστεύσαντα ».

Ταῦτα λογισάμενος, εὐθύς (ἤπειγε γὰρ καὶ ὁ τῶν πολεμούντων τάραχος) ὁρῶ θέαμα δεινὸν καὶ ἐλεεινόν, ἄνδρες, τοὺς μὲν ὑμετέρους ἡττωμένους, καὶ παρὰ τοσοῦτον μὴ τέλεον πίπτοντας, παρ' ὅσον, τὸ νῶτα δεῖξαι τοῖς πολεμίοις αἰσχρὸν ἡγούμενοι, ὑπὸ πόδα ἐχώρουν ἀντοφθαλμοῦντες, καὶ ὅσον οὔπω πεσούμενοι· τοὺς δὲ πολεμίους ἐπέχοντας ἀνὰ κράτος καὶ στεῤῥῶς βάλλοντάς τε καὶ πλήττοντας, καὶ ἀκηρυκτὶ τοὺς πάντας ἕξειν ἐλπίζοντας, ἤδη δὲ καὶ τρόπαιον ἱστάντας καὶ τὸ ἐπινίκιον ᾄδοντας.

[1] Παρακλητηρίοις] vide p. 88, n. 4.

[2] Lucianus Hist. Conscr. 29 : γράφω τοίνυν ἃ εἶδον, οὐχ ἃ ἤκουσα. Plautus Bacch. 3, 3, 64 : « sic est ut loquor. Quin ego quum peribat vidi; non ex audito arguo ». Exempla adposui et ad Choric. Procopii Laudatione p. 12, n. 5.

[3] Sic codex. Videtur periisse nonnulla oratoris verba, jam non spectatorem tantum ac præconem gerere se volentis, sed pugnæ socium et amicæ urbis defensorem.

Τότ' ἐγώ, ὁ ξένος, ὁ ἀλλοδαπός, ὁ μηδὲν προςήκων τῇ πόλει, ὁ μηδὲν ὀφείλων αὐτῇ, ἐκκαίομαι τὴν καρδίαν, καὶ θερμὸν ζῆλον ἀναλαμβάνω, βλέπων ἐν χρῷ τοῦ τείχους[1] μαχομένους τοὺς πολεμίους, καὶ ἤδη προςδοκησίμους ὄντας καὶ στρατὸν ἐκεῖνον καταγωνίσασθαι καὶ τὴν πόλιν ἑλεῖν. Ἐκρήσσω τοιγαροῦν φωνὴν ἀξίαν τοῦ θάρσους. Ἐκτείνω τὸ δόρυ, ἀφίημι, βάλλω καὶ ἄλλον αὖθις τοῖς λίθοις, καὶ ἐφεξῆς ἕτερον. Τέλος, τὸν στρατηγὸν μαθὼν πρὸς τῷ τείχει τοὺς ἰδίους θαῤῥύνοντα, βάλλω καιρίαν. Καὶ εὐθὺς πίπτει μὲν ἐκεῖνος καὶ ἅμα τὸ ἐκείνου σύμβολον· τρέπονται δὲ οἱ τέως νικῶντες. Κἀμοῦ πάλιν τοὺς ἄλλους πλήττοντος καὶ τοὺς τῆς πόλεως διεγείροντος, ἀναθαῤῥοῦσιν οὗτοι, καὶ ἑτεραλκὴς ἡ μάχη γίνεται. Καὶ οἱ μὲν κτείνονται, οἱ δὲ πίπτουσιν, οἱ δ' ἁλίσκονται. Καὶ τέλος κατ' ἐκείνων ἱστᾶσι τὸ τρόπαιον οἱ τῆς πόλεως, καὶ ἤδη νίκη τῇ πόλει περιφανὴς καὶ παιᾶνες καὶ τρόπαια, καὶ ὁ ξένος ἐγὼ νικητής, ἀριστεύς, εὐεργέτης ἀνακηρύττομαι.

Καὶ τέως περὶ δωρεᾶς ἐμοὶ καὶ μισθοῦ σκοπούντων ὑμῶν, ὁ πάντα βάσκανος οὗτος, καὶ μηδ' εὐεργετηθεὶς ἱλαρός[2], ὥςπερ ἂν ἠδίκητο τὰ μεγάλα ἢ ἐζημίωτο, κατ' ἐμοῦ πνεῖ, καὶ ὅλαις προθυμίαις[3] ἀνάπτει τὸν δῆμον, καί, συλλέξας τούτους ἀπὸ τοῦ βουλευτηρίου εἰς τὸ δικαστήριον, νόμον προτείνει, οὐκ οἶδα πόθεν λαβὼν καί πότ' ἰδὼν ὑμᾶς χρησαμένους αὐτῷ. Καὶ οὐχ ὅπως δίδωσι δωρεάν, ἀλλὰ καὶ κολάζειν προαιρεῖται, ὡς παρὰ νόμον εὐεργετούμενος, καὶ ξένον ἐπὶ τὸ τεῖχος ἀνελθόντα φονεύειν ἐπιχειρεῖ, ἀναγινώσκων ἴσως γράμματα[4], καὶ μὴ διανοίαις[5] προσέχων, αἷς μᾶλλον ἐπὶ πᾶσι προσέχειν ἄξιον.

Ἴδε τοῦ νομοθέτου τὴν γνώμην παρακαλῶ. Ἐπὶ τίνι κωλύει τὸν

[1] Ἐν χρῷ] sic jam p. 112, 19. Psellus De Oper. Dæm p. 24 : μεγάλων ἐν χρῷ συμφορῶν γενήσῃ. Ibi mea nota p. 250, quæ in Delectu Patrum Sinneriano mendosis numeris 280 fuit allegata.

[2] Obiter reddatur vox ἱλαρός Theodoro Prodr. Rhod. 7, p. 317, qua eum fraudavit incuria, puto, typographi : Ὁ δ' ἄλλος λαρός τις εἰς τὴν ἰδέαν Καὶ φαιδρός· imo ἱλαρός.

[3] Dixit ὅλαις ὁρμαῖς, πάσαις προθυμίαις p. 22, 11, 16.

[4] Schol.: προβολὴ τοῦ ῥητοῦ.

[5] Sic opponimus « la lettre et l'esprit ».

ξένον εἰς τεῖχος ἀνέρχεσθαι; Ἴδε τὴν ἐμὴν προαίρεσιν[1]. **Πῶς** *ἀνῆλθον, καὶ ἐπὶ τί ἐρήσομαί σε. Σὺ δ' ἀπόκριναι.*

Ἔστι τινὰ λέγειν μὴ πρότερον διανοηθέντα ὅ τι καὶ λέξειεν; ἔστι τινὰ γράφειν ἐν δέλτοις, καὶ ταῦτα νόμους κοινούς, μὴ πρότερον διασκοπησάμενον ὅ τι νομοθετήσοι καὶ ὅ τι γράψοι, εἰ συνοίσει πολιτευόμενον, καὶ ἢ[2] *βλάβην ἐκκόψει ἢ προξενήσει ὠφέλειαν; Ἐγὼ μὲν οὖν οὐδὲ τὸν ἁπλῶς λόγον, μὴ ὅτι γενόμενον, μάτην τιν'*[3] *ἐξερεῖν εἴποιμ' ἄν.*

Σκέψαι τοίνυν τὸν τοῦ νομοθέτου σκοπόν, ἀφεὶς τὰ γράμματα. Ἐξηγοῦ τὸν νόμον καὶ τοῖς λόγοις ἐφάρμοζε τὴν ἐξήγησιν. Οἶδεν ὁ νομοθέτης τοὺς ξένους, ὅτι οὐ πάντες ἀγαθοί, οὐ πάντες εὖνοι, ὅπου ποτ' ἂν ἐπιστῶσιν, ἀλλ' οἱ πολλοὶ τούτων κατάσκοποι. Ἀνελογίσατο τὸν ἐπὶ Τροίαν[4]*, καὶ αὖθις τὸν ἐπὶ Βαβυλῶνα· οἷς φανερὸν ὅτι ξένοι, οὐκ εἰςιτὸν*[5] *τοῖς πολίταις ἐδόκει, εἰ μὴ μώλωπας καὶ ποινὰς εἶδον ἐπὶ τοῦ σώματος*[6]. **Καὶ** *οὕτως εἰς κακὸν*[7] *ἑαυτοῖς εἰςῆγον, καθὼς ἔδειξε*[8].

Διὰ τοῦτο καὶ δεῖν ἔγνω νομοθετεῖν ἐπὶ τούτοις, καὶ τὸν ξένον κωλύειν τῆς ἐπὶ τὸ τεῖχος ἀνόδου καὶ τῆς ἐπ' αὐτοῦ στάσεως.

Ὅλον ἐρεύνα κἀμέ, καὶ σκόπει τὴν ἐμὴν πρᾶξιν, καὶ καταμάνθανε τὴν προαίρεσιν. Οὔτε γὰρ ἐκεῖνος ἁπλῶς πάντας τοὺς ξένους κωλύειν ᾤετο δεῖν, ἀλλὰ τοὺς ἐπὶ δυςνοίᾳ καὶ κατασκοπῇ τοῦ πολίσματος[9]*· τὸν δ', εἰ ἀνέλθοιεν*[10]*, εὐεργετήσοντα καὶ λίαν*

[1] Schol.: *διάνοια τοῦ φεύγοντος ἐν ταὐτῷ καὶ τοῦ νομοθέτου.*

[2] Fortasse *εἰ*, iotacismo juvante.

[3] Codex, *τίς*. Scripsi *τιν'*. Codex distinguit post *γενόμενον*. Pro *γενόμενον*, opinor legendum fortasse *λεγόμενον*· « nisi dictum, jam dictum et ob id nunc repetitum ».

[4] Ulyssem innuit Homericum et Euripideum, ac statim Zopyrum Herodoteum.

[5] In codice non est lacunæ signum, sed post *ξένοι* duo puncta in versuum interstitio posita lectorem remittunt ad oram paginæ, ubi *λείπει* compendio scriptum non obscuro. — De adjectivo *εἰςιτός* vide p. 27.

[6] Respicit narrationem Herodoti de Zopyro qui se mutilavit immaniter, ut ipsum reciperent Babylonii.

[7] Videtur esse *καλόν* in codice. Sed res ducit omnino ad *κακόν*. Sunt nomina similia ac passim confusa.

[8] Scilicet *ἔδειξε τὸ ἔργον*.

[9] Videtur verbum deesse, quod ad *τοὺς* referatur, *ἐπιδημοῦντας, ἀνελθόντας, ἀνερχομένους, ἀναβαίνοντας*. aliud.

[10] Sic codex. Formas similes optativi *καταλάβοιε, διαμένοιε* attigi ad Anecd. Gr. t. IV, pp. 155, 404. Tzetzes scripsit *λάβοιε* Chil. 2, 828, et *φέροιε* Chil. 3, 807: *Μιᾷ νηὶ ὁ Ἡρακλῆς πρὸς Ἀμαζόνας πλέων, Ὡς Ἱππολύτης φέροιε ζω–*

προὔτρεπεν ἂν ἀνιέναι· οὐδὲ γὰρ ξένος οὗτος, ἀλλὰ καὶ γνήσιος. Οὔτ' ἐγὼ εἰς τοῦτ' ἀνῆλθον, κακὸς ὤν, ὦ Ζεῦ, καὶ πανοῦργος, καὶ πολυπραγμονῶν ὕψη καὶ βάθη τῆς πόλεως. Οὐχ, ὅτι τὸ πλέον ὁ ξένος κατάσκοπος, διὰ τοῦτο κἀγὼ κακός, ἀνελθών. Ἕκαστον ἡ πρᾶξις δεικνύει. Ἂν ἀφέλῃς τὴν πρᾶξιν ἑκάστου, καὶ ψιλὰ κρίνῃς ἐπί τινι πρόςωπα, εὔνουν εἴποις καὶ τὸν δυςνούστατον· ἂν ἀπὸ τόπου καταδικάζῃς, πόρνον ἐρεῖς τὸν κοσμιώτατον. Πολίτης γὰρ οὗτος κἀκεῖνος· ὁ μὲν τυχὸν εὔνους, ὁ δὲ τῇ πόλει πολέμιος. Ἀθωώσῃ τοῦτον κρίνων, ὅτι πολίτης μόνον, καὶ οὐ τὴν πρᾶξιν λογίσῃ, λαβὼν πρόςωπον; οὗτος αὖθις[1] εἰς χαμαιτυπεῖον εἰςέρχεται, καὶ οὗτος ἐκεῖ συχνῶς παραβάλλει· ἀλλ' ὁ μὲν ἵν' εὐπαθήσῃ τῇ μέθῃ καὶ τῇ πορνείᾳ· ὁ δὲ ἵνα τυχὸν ὠνήσηται τὰ ἐφόδια[2]. Τί φής; καταδικάσεις καὶ τοῦτον, καὶ οὐ ζητήσεις τὴν πρᾶξιν, τίς ὢν ἐκεῖνος καὶ ἐπὶ τίνι εἰςέρχεται;

Καὶ τί λοιπὸν τὸ παρὸν δικαστήριον; καὶ ἵνα τί συμβαίνει τοὺς ἐνταῦθα κριτὰς σκύλλεσθαι; τί δὲ καὶ δεήσει ἀπολογεῖσθαι τὸν ἐνταῦθα κρινόμενον, εἰ ὅ τι γε εἴποι οὐχ ἱκανὸν ἔσται ἐξαιρεῖσθαι τῆς δίκης αὐτόν, εἰ μόνον φανείη διαπραξάμενος; Ἀλλ' ἐγὼ πολλοὺς οἶδα — καὶ ὑμεῖς, εἰ θέλετε, μαρτυρήσετε — κρινομένους

στῆρα τῇ Ἀδμήτῃ. Epigrammata Anth. Plan. 5, 353 : Εἰ φθόνος ἠρεμέοι κρίνειν δ' ἐθέλοιεν ἀέθλους. Themistius Orat. 1, p. 10 : κακὸς βουκόλος πολὺ βδάλλειν μόνον εἰδὼς καὶ τοὺς γαυλοὺς ἐμπιπλάναι τοῦ γάλακτος, καὶ τῆς μελούσης ἀγέλης τὴν τροφὴν ὑποτέμνεσθαι, νομῆς δὲ ἀγαθῆς οὐ φροντίζων, καί, εἰ ξυντύχοιεν, ὑφαιρούμενος. Deberi opinor formam insolitam non Themistio, qui est castigatissimus, sed librario. Est in participio μελούσης quod lectorem moretur. Interpres latinus legebat νεμούσης, cujus scilicet hæc sunt verba : « cibaria ei quod pascit armento deducere ». Sed de νομῇ mox agetur, nunc de lacte. Legerim, μελλούσης, enotatum e bono codice. Malus ille pastor qui scit mulgere tantum, et lacte mulctras implere, futuri gregis alimenta deminuit, vitulos nunc lactentes futuri spem gregis parte materni lactis defraudat. Omissum unum e duobus λλ jam fuit p. 36, n. 7.

[1] Forsan ἐκεῖνος, opponendum sequenti οὗτος, et εὐθύς pro αὖθις, ut sit εὐθύς « continuo, exempli causa ».

[2] Non intelligo quæ ἐφόδια, quæ viatica emere, conducere velit qui in lupanar descenderit. Fortasse legendum ἀφόδια, « ut purgamenta et retrimenta emat ». Fuerunt fortasse latrinæ publicæ lupanaribus adjunctæ et continentes. Atque Columella teste 2, 15, inter præcipua stercorum genera, secundum est, idque ferventissimum, « quod homines faciunt », nec adhibendum nisi idonea mitigetur præparatione.

φόνου ἤ τινος ἀδικήματος, ὃ δὴ καὶ πεπράχασι φανερῶς· ὅμως δὲ δικασταὶ συνελθόντες οὐκ εὐθὺς ἐκείνων καταψηφίζονται· ἀλλὰ χώραν ἀπολογίας διδοῦσι κἀκείνοις, εἴ πως δικαίως ἀπολογήσαιντο.

« Ἀνῆλθες », λέγεις, καὶ τὴν διάνοιαν οὐ σκοπεῖς. Ἀνῆλθον, ὁμολογῶ, ξένος ὤν· οὐκ ἀρνοῦμαι· ἀλλ' οὐκ ἐπὶ δυςνοίᾳ καὶ κατασκοπῇ. Ἀλλ' ἐφ' ᾧ καὶ ἀνῆλθον, μὴ ἐμὲ πυνθάνου· ἀλλὰ τὸ τέλος ὅρα, καὶ μάνθανε.

« Τεθνάτω » λέγει ὁ νομοθέτης, « εἰ ξένος ἀνέλθοι ». Φημὶ κἀγώ. Πλὴν οὐ προςέχω μόνοις τοῖς γράμμασιν· ἀλλ' ἐμβατεύω καὶ τῇ διανοίᾳ τοῦ γράψαντος, ὅτι τὸν δύςνουν πάντως κωλύει, οὐ τὸν ἐπ' εὐνοίᾳ καὶ τῷ καλῷ τῆς πόλεως ἀνερχόμενον. Καὶ τοῦτο τοῦ νομοθέτου τὸ βούλημα. Τί γὰρ βούλεται ἄλλο, ἢ τί νοεῖ τὸ οὕτω περὶ τῶν ξένων τὸν νομοθέτην ἀποφήνασθαι;

Εἰ δ' οὐ προςδιώρισε[1] τί ξένον, καὶ ποίαν ἔχει τοῦτο διάστιξιν, πολλὰ τῶν δήλων οἱ γράφοντες παραλείπουσιν. Οὐδὲ γὰρ τὸ πᾶν ἐκεῖθεν τῆς καταδίκης ἢ τῆς ἀφέσεως. Ἀπολελοίπασί τι καὶ τοῖς κριταῖς· οἴδασι[2] γὰρ σοφοὺς ἐκδεξομένους καὶ σοφῶς ἐξηγησομένους τὸ τούτων[3] βούλημα. Δίελθε πᾶσαν βίβλον τῶν νόμων, καὶ κατὰ λεπτὸν[4] τοὺς νόμους ἐξέταζε, εἴ που κωλύει τινά, κἂν ὁποῖος ἄρα καὶ εἴη, κἂν πολίτης, κἂν ξένος, εὖ τὴν πόλιν ποιεῖν, καὶ ταῦτα ἐν καιροῖς ἀνάγκης, καὶ κινδύνων ἀπαραιτήτων ἐπικειμένων καὶ καταληψομένων τὴν πόλιν, ἢν μή τις θεῶν ὑπερέξῃ χεῖρα δι' οὐδήποτε τῶν ἐκεῖ. Ζήτει προςδιορισμοὺς[5] ἐφ' ἑκάστῳ τῶν ἀναγκαίων, ἐπειδὴ δοκεῖ τῷ γράφοντι παραλείπειν ὡς δῆλον, καὶ χρήσῃ καλῶς τοῖς νόμοις, καὶ ἐπὶ καλῷ τῆς πατρίδος καὶ τῷ συμφέροντι.

« Ἀλλὰ[6] δέος μή πως καὶ πόλις ἐκείνη, καὶ νόμοι, καὶ πᾶν ἀγαθὸν ἐκλείψῃ, σοῦ πολυπραγμονοῦντος τὸ λεῖπον τῶν νόμων ὡς δῆλον, καὶ ζητοῦντος ὡς ὁ νομοθέτης οὐ προςδιώρισεν.

[1] Schol.: τὸ μὴ προςδιωρίσθαι.

[2] Schol.: ἡ διάνοια τοῦ νομοθέτου, πῶς προςδιώρισεν.

[3] Potius αὐτῶν. Vide p. 71, n. 1.

[4] Noster, p. 19, 4: ἐρευνᾶτε τὴν ἐμὴν κατὰ λεπτὸν πολιτείαν.

[5] Cod., προςδιωρισμούς.

[6] Est objectio adversarii.

Ἕν ἐστι[1] τὸ δῆλον προςδιορίσαι καὶ μή, καὶ οὐδὲν διαφέρει ταῦτα, εἰ μὴ μόνῳ τῷ γράφεσθαι καὶ μὴ γράφεσθαι. Εἰ προςδιώρισε, γέγραπται καὶ δῆλον ὡς ἀναμφίβολον. Εἰ μὴ προςδιώρισεν, οὐ γέγραπται μόνον, δῆλον δ' ἔστι τοῖς κατὰ τρόπον[2] ἐξηγουμένοις καὶ ὅπως ἄρα παρέλειψε· καὶ τὸ δῆλον εἶναι τὸ λεῖπον ὡς ἐπακουόμενον[3] ἔξωθεν, δήλην ποιεῖ καὶ τοῦ νομοθέτου τὴν γνώμην, εἰς ὅ τι βλέπων παρέλειψε. Σὺ δ' ὥςπερ ἂν μηδὲν εἰδὼς ἢ νόμους ἢ νομοθετούντων διάθεσιν, τὸ μὲν γραφόμενον δέχῃ, τὸ δὲ νοούμενον οὐ μεμάθηκας συννοεῖν, καὶ ἄλλο μὲν λέγεις ἐκεῖνο, ἄλλο δὲ τοῦτο, ἀγνοῶν ὡς τούτῳ σοφοῦ ἰδιώτης διώρισται. Καὶ[4] ἰδιώτης μὲν τὸ γεγραμμένον οἶδε καὶ μόνον, καὶ οὐκ εἰς νοῦν ποτὲ ἄξεις τοῦτον, κἂν πολλὰ κάμοις διδάσκων· σοφὸς δὲ ἄρα, ὁ τοῖς γράμμασιν ἐμβαθύνων καὶ τῷ ἐγγράφῳ συνάγων τὸ ἄγραφον. Εἰ μὲν γὰρ ἦν ἀεὶ ζῶντα τὸν νομοθέτην, ἢ μὴν τὰ γεγραμμένα πνοὴν ἔχειν καὶ ζῆν, καὶ ἐρωτώμενα λέγειν ὅπως ἐγράφησαν[5], οὐκ ἔδει σοφοῦ τούτοις ἐξηγητοῦ, ἀλλ' ἅπαξ

[1] Schol.: συλλογισμός.

[2] Κατὰ τρόπον] p. 105, n. 3.

[3] Fortasse ὑπακουόμενον. Cf. p. 73, n. 3. Permutatio facilis præpositionum ἐπὶ ὑπό. Paulus Silent. S. Sophia, 189: Πάντα δ' ὑπεσκίρτησεν ἐν ἄστεϊ βάθρα θεμείλων, Γαῖα δ' ἐπεστενάχιζεν ἐπὶ χρόνον. Codex melius ὑπεστεν., quod tacite edidit Bekkerus. Lucianus Nav. 15: ἐπιστὰς μικρόν.... ἀποπλευσοῦμαι.... συνεμβησόμεθά σοι καὶ αὐτοὶ ὑποστάντες. Proposuit Guietus, et recte, ni fallor, ἐπιστάντες, quod respondebit præcedenti ἐπιστάς. Sed ipsi nondum fuit auscultatum. Symeon Metaphr. V. Joannis Evang. p. 28: μύχιόν τι στενάξας ὁ πρεσβύτης ἐν θερμοτέρῳ τῷ πνεύματι, καὶ ὑποδακρύσει ἐλεεινόν. Reponendum, ἐπιδακρύσας, collato, quem Symeon sequitur, Clemente Alex. *Quis dives*, § 42. Nicephorus Basilacas Prog. 17, p. 510: ὃ γὰρ ὑφ' ἑνὸς ἐκεῖνος ἁπλοῦν ἐδυςτύχησε, τοῦτο πρὸς πολλῶν ἐγὼ πολλαπλάσιον. Codex 2918, ἐφ' ἑνός. Melius ὑφ'. Fortasse et ἀφ', quum ἐπί et ἀπό sæpe confundantur, nec raro ἀπό et ὑπό. Leonidas Anth. 7, 480: Ἤδη μευ τέτριπται ὑπεκκεκαλυμμένον ὀστεῦν, Ἁρμονίῃ τ', ὦ 'νερ, πλὰξ ἐπικεκλιμένη. Propono ἀπεκκεκαλυμμένον. Nam quod tritum est os, debuit esse prorsus detectum. Gravius aliud ibi mendum est: Ἢ γὰρ τὴν οὔπω πρινὶ τὴν ὁδὸν ἐτμήξαντο Ἄνθρωποι, κατ' ἐμῆς νειόμενοι κεφαλῆς. Sic codex. Edidit Jacobs., sejunctis litteris, πρὶν ἴτην. Quæ emendatio viro et docto et ingenioso digna est, speciosior tamen, ni fallor, quam verior. Displicent vicina verba duo synonyma, ac præsertim tam subita numeri mutatio. Legere malim οὔπω στιπτήν, vel τριπτήν· quæ epitheta non valde recedunt a corruptis syllabis πρὶν ἴτην.

[4] Schol.: ὅρος.

[5] Codex, ἐγράφεισαν. Quid frequentius quam confusio illa vocalium η et ει? Symeon Metaphr. V. Lucæ, p. 66: παντὶ δὲ σχολάσας ἐκ παιδὸς ᾖδει παι—

ἣν ἐρωτᾷν καὶ μανθάνειν τὸν ἐπί τι διστάζοντα. Ἐπεὶ δ' οὐχ οἷόν τε ταῦτ' εἶναι, τῶν πολιτῶν οἱ σοφώτεροι κρίνειν ἐκλέγονται, καὶ ὑποφῆται τοῖς γράψασι γίνονται. Καὶ τὸ δῆλον οὐ παρ' ἐκείνων ζητοῦσι μαθεῖν, ἀλλ' αὐτοὶ προςάπτοντες συννοοῦσιν ἐκ τῶν κειμένων, καὶ κατὰ σκοπὸν τὸν ἐκείνων δικάζουσιν.

Ἐπεί τοί γε, κειμένου νόμου τιμωρεῖν, κἂν ἱκετεύῃ, κἂν δυςωπῇ, τὸν πολέμιον, τί ποιητέον σοι τότε, ὅταν ἐκεῖνος ἀγαπήσῃ τὰ σά, καί, τῶν ἰδίων ἀμελήσας, σοὶ προςχωρήσῃ καὶ μετὰ σοῦ μάχηται; χρήσῃ τῷ νόμῳ, καὶ τιμωρήσεις ἀπαραιτήτως προσχὼν τοῖς γράμμασιν, ἢ συλλογίσῃ τὸ λεῖπον τοῖς γεγραμμένοις, καὶ ὑποδέξῃ ὑπτίαις[1] αὐτομολήσαντα; Ἐγὼ μὲν οἶμαι τοῦτο. Διὰ τί; ὅτι οὐ πολεμίων ἔργον, ἀλλὰ φίλων ἐργάζεται.

Καὶ ἐγὼ τοίνυν, ξένος τὸ γένος ὤν, οὐ ξένων ἔργον, ὑμῖν συμμαχῶν, ἀλλ' αὐτοχθόνων πέπραγα· καὶ εὐεργέτης ἐγὼ καὶ δωρεᾶς ἄξιος.

« Οὐ προςδιώρισται, » λέγεις, « τοῦτο »· ἀλλ' ἀναγκαίως τοῖς νενομοθετημένοις ἐμφαίνεται. Ὁ γὰρ ξένον κελεύων κολάζειν πάν-

δείας. Imo εἴδει. Idem V. Joannis Evang. p. 42 : ὡς καὶ πλήθει περιεστοιχεῖσθαι χρεῶν· imo περιεστοιχῆσθαι, quod scripsit Hasius ad Leonem Diac. p. 472; ni tamen alia permutatione scribendum et forma meliore περιεστοιχίσθαι. Obiter mendum ex illo Symeonis opusculo, non sæpe ad partes vocando tollere liceat. Sic fert editio Oxoniensis, p. 10: ὅρα τῆς παῤῥησίας τὸ παριόν· interpretante Brettio : « attende paulo præsentem confidentiam ». Quo sensu παρόν dicendum fuerit. Sed legendum περιόν· « vide confidentiæ abundantiam ». Suidas : περιόν, ὑπερβάλλον. Pachymeres alio loco : τὸ περιὸν τῆς θειότητος. Adde not. ad Choric. p. 9. Permutatio solita præpositionum περὶ παρά mendorum est fons. Themistocles Ep. 15, 6 : τοσαῦτα γὰρ ὁ τελευταῖος λογισμός... ἀπέφαινεν ἔτι παρὰ σοὶ παρεῖναι τῶν ἐμῶν. Sic Bremeriana, quum recte legatur in Caryophylliana et Schœttgeniana πέριεῖναι, quod et exhibet codex.

[1] Ὑπτίαις subaudito χερσί, vel omisso. Eunapius, p. 33 : ὑπτίαις χερσὶ δέξαι τὰ λεγόμενα. Ibi notæ, pp. 245, 579. Joannes Diac. carmine in Jo. Palæologum, v. 203 : Ὑπτίαις ὑπεδέξατο χερσί σε, τὸ τοῦ λόγου. Anastasius Sinaita Homilia, p. 30 : ἅπερ καὶ Ἀθανάσιος ὑπτίαις χερσὶν ἀσμένως ἐδέξατο. Auctor Vitæ Euthymii, § 124 : καλῶς δὲ αὐτοὺς ὁ πατριάρχης. καί, ὡς ἂν εἴποις, οὐ χερσὶ μόνον ὑπτίαις, ἀλλὰ καὶ καρδίας κόλποις δεξάμενος. Quem confer et § 14. Joannes Climacus non sine ineptia Scala gradu, 25, p. 312 : ὑπτίαις χερσὶ ψυχῆς προςδεχομένης καὶ περιπτυσσομένης ταύτην. Constantinus Man. Chron. 5742 : Ὑπτίαις ὑποδέχονται τὸν ἄνδρα παλάμαις. Vide et Herald. ad Mart. 1, 16; Jacobs. ad Philostr. p. 403.

τως ὡς ἀδικοῦντα, ἐκεῖνος κελεύει καὶ ξένον στεφανοῦν εὐεργετήσαντα. Εἰ γὰρ διὰ τὴν προςδοκωμένην ἀδικίαν ἡ κόλασις, πολλῷ γε μᾶλλον διὰ τὴν γενομένην εὐεργεσίαν ἡ ἀποδοχή.

Ἀνῆλθον, λέγεις, ξένος ὤν; ἀλλ' οὐ κατὰ ξένους τοὺς ἄλλους ἠρίστευσα. Ἔστω τὸ ἀνελθεῖν ἐμὸν ἀδίκημα, καὶ παρὰ νόμον ἡ πρᾶξις ἐμή[1]· ἔστω[2] καὶ ἡ ἠριστεία, τῆς πόλεως εὐεργέτημα παρ' ἐμοῦ, οὐκ ἄλλοθεν, ἀλλὰ διὰ ταύτης τῆς πράξεως. Εἰ δ' ἐτηρεῖτο νόμος καὶ ἡ πόλις ἡλίσκετο, τί λοιπὸν ἦν ἢ καὶ νόμους αὐτοὺς καὶ πολιτείαν ἀφανισθῆναι καὶ πάντα τὰ τῆς πόλεως δίκαια. Ἔστω παραβασία νόμου τῆς πατρίδος ἀντίλυτρον[3], καὶ σωζέσθω νόμοις ἡ πόλις, πλὴν κατ' ἀμφότερα, ἵν' ἣν σώζουσι φυλαττόμενοι, ταύτην καὶ παραθεωρούμενοι σώζοιεν. Εἰ δὲ σώζουσι μὲν ὅτι φυλάττονται, ἀπολλῦσι δέ, εἰ παραθεωροῖντο μικρόν, καὶ τοῦτ' ἔσται ἐξ ἅπαντος[4], δεῖξον τοῦτο, καὶ νίκα λέγων, καὶ δίκας ὑπεχέτω ὁ τῇ πόλει τῆς ἀπωλείας αἴτιος. Ἐμοὶ δ' οὐ προςήκει διδόναι· ἔσωσα γάρ, οὐκ ἀπώλεσα. Καὶ δῆλον ὡς οὐδὲ νόμον παρεῖδον, ἀλλὰ κατὰ νόμους ἔπραξα. Εἰ γὰρ παρεῖδον, ἀπώλεσα ἄν, οὐκ ἔσωσα κατὰ τὴν ὑπόθεσιν. Ἐπεὶ δὲ οὔτε νόμος παρεβάθη, κἀγὼ τὴν πόλιν ἐκ τῶν δυνατῶν[5] εὐηργέτησα, τιμῆς, ἀλλ' οὐ κολάσεως εἴην ἂν ἄξιος. Τί λοιπὸν ἐπέχεις ἐμοί, καὶ ἄνω καὶ κάτω τὸ « ξένος εἶ », καὶ « ἀνῆλθες » λέγεις, τὰ δὲ τῆς ἀριστείας παρατρέχεις ἑκών; ὥςπερ ἂν εἰ καὶ ἰατρὸν ἔκρινες τομῆς καὶ καύσεως[6] τῶν ἀλγεινοτάτων τῷ πάσχοντι, τὴν δ' ἑπομένην οὐ συνενόεις ὑγίειαν. Εἶπε γὰρ ἂν ἐκεῖνος μετὰ παῤῥησίας πρὸς σέ· « Ἄνθρωπε, θέλεις ὑγείαν; καὶ ταῦτα καταδέξαι. Οὐ γὰρ ἔστιν ὅπου ταύτης τύχοις, ἐκείνων χωρίς ». Ἀλλ' οὐ καταδέχῃ ταύτης[7], καὶ ἴσθι μηδὲν ἄλλοθεν ἂν τὴν ἀριστείαν ληψόμενος.

Μὴ λέγε[8]· « Ἄλλως ἐχρῆν ἀριστεύειν, ὁπλοφορεῖν, ἐξιέναι,

[1] Hinc firmari videtur quod proposui scribendum p. 39, n. 4 : ἡ πρᾶξις ἐμή, pro ἡ πρᾶξις ἐμοί.

[2] Schol.: ἀντίστασις.

[3] Ἀντίλυτρον nomen est personæ assumptæ non conveniens.

[4] Ἐξ ἅπαντος, scilicet τρόπου.

[5] De formula ἐκ δυνατῶν p. 112, n. 5.

[6] De medicis urentibus et secantibus infra dicendi locus erit ad Declamationem octavam. Cf. Cicer. locum supra p. 65, n. 4.

[7] Sic codex. Locus non est integer.

[8] Schol.: μετάληψις.

παρατάττεσθαι, μάχεσθαι »· οὐ γὰρ ἦν ταῦτα ξένῳ μοι ὄντι, καὶ μηδὲν ἔχοντι τοῖς πολίταις συναριθμεῖσθαι καὶ ὑπὸ τὸν στρατηγὸν τὸν τῆς πόλεως τάττεσθαι.

Τί δ' εἰ καὶ νόμος ἦν ἄλλος τῇ πόλει κείμενος, καὶ κρείττων ἢ οὗτος, καὶ παρὰ κρείττονος ἐκδοθείς, κἀκεῖνος ἐκώλυε ξένον τοῖς πολίταις συμπαρατάττεσθαι, τίς οὐκ ἂν ἐλιθολεύστει ἀποδιώκων; τίς οὐκ ἂν ἀπῆγε πρὸς δικαστὰς τὴν ἀρχήν; Εἰ δὲ καὶ λαθὼν ἠρίστευσα, ἆρ' ἂν καὶ τότε τὴν κατηγορίαν ἐξέφυγον; Εἰ γὰρ μὴ σύ γ' αὐτὸς ἦς ἂν ὁ διώκων, ἀλλ' ἄλλος ἴσως, τὴν σὴν προαίρεσιν ἔχων, καὶ δοκεῖν θέλων ἀσφαλὴς περὶ τὴν τῶν νόμων πρόσταξιν, καὶ δόξαν θηρᾶσθαι, τοιαῦτ' ἂν κἀκεῖνος κατ' ἐμοῦ προὔτεινε τότε, οἷα σὺ νῦν.

Πῶς τοίνυν ἄλλως; λέγε, καὶ δέχομαι· διδόναι χρήματα; ἀλλ' οὐκ εἶχον· συμβουλεύειν; καὶ τίς ἂν ὡς ξένου τὴν συμβουλὴν οὐχ ὑπώπτευσε; καί, εἰ πράξαντος οὐ δέχῃ τὴν ἀριστείαν ὡς ξένου, πολλῷ πλέον ἄλλος τις ἀκούων λέγοντος ἀπεστρέφετο· ἀλλ' ἡσυχάζειν οἴκοι καὶ μηδὲν πολυπραγμονεῖν; καλὸν ἂν τῇ πόλει τοῦτο ἦν καὶ σωτήριον; εἶχες ἂν ἄλλοθεν καὶ τὴν ἀριστείαν;

Ἀλλὰ σύγγνωτέ μοι ἀναγκαζομένῳ; παρακαλῶ. Οὐ γάρ, τοὺς ὑμῶν στρατιώτας διασύρειν βουλόμενος, ταῦτα λέγω· μὴ γένοιτο! οἶδα γὰρ αὐτοὺς καὶ ἀνδρείους καὶ ἔμπνους εἰς πόλεμον, οἶδα καὶ τότε παραταττομένους ἀρίστως καὶ μαχομένους γενναίως, καὶ τροφίμους ἀξίους τούτους τοιαύτης πόλεως κατενόησα· οἶδα καὶ πρὸς δαίμονα μάχεσθαι θέλοντας. Ἀλλ' οὐκ ἦν αὐτοῖς καὶ νικᾷν, δίκην συῶν[1] ἐπικειμένων τῶν πολεμίων, καὶ θαῤῥούντων τοῦτο μὲν τῷ πλήθει καὶ τοῖς συμμάχοις, τοῦτο δὲ οὐ τόσον τῇ πολεμικῇ ἕξει ὅσον τῷ βαρβαρικῷ καὶ παραλόγῳ φρονήματι. Ἤδη μὲν καὶ ἄλλους πολέμους εἶδον, καὶ ἄλλοις ἀνδράσιν ὡμίλησα· ἀλλὰ τοιαύτην μάχην ἀνδρῶν τίς ἂν καὶ διηγούμενος οὐ φρίξει, μὴ ὅτι γ' ὁρῶν;

Ἐξεκέχυντο[2] γὰρ τῶν κλισιῶν ἕκαστος οὐκ ἀνειμένως καὶ μά-

[1] Δίκην συῶν] sic supra p. 106, n. 5. [2] Schol.: ἔκφρασις τοῦ πολέμου.

την, ἀλλ' ὅπλοις στεῤῥοῖς κατάφρακτος[1], καὶ δόρυ κινῶν, καὶ μέλπων Ἄρη[2], καὶ φοβερὸν[3] ἀναβαίνων ἵππου. Καὶ σὺν γενναίῳ καὶ ἀρεϊκῷ[4] φρονήματι πάντες ἐκύκλουν τὸν στρατηγόν. Ὁρμὴ δὲ τούτοις μία καὶ σκοπός, ὡς ἰδεῖν, ἀπαραίτητος τοῖς τείχεσι προςβαλεῖν. Ταῦτα γὰρ καὶ ὑμῖν ἠγγέλλετο, καὶ ἡμῖν ἦν ἀκούειν. Τὰ δ' ἐντεῦθεν εἶδον κἀγὼ σὺν πολλοῖς· πῶς, τῶν ὑμετέρων γενναίως προςκρουσάντων αὐτοῖς, ἐκεῖνοι, μηδὲν ὑπενδόντες, ἀλλ' ὑποστάντες τὴν συμβολήν, καὶ καθ' αὐτοὺς μᾶλλον συστάντες, κινοῦσι τούτους, οὓς καὶ πλήττοντες οὐκ ἀνίεσαν, βαλλόντων ὄπισθε καὶ τῶν τοξοτῶν, καὶ μὴ ἐώντων ἀντοφθαλμεῖν, ἕως οὗ τοῖς τείχεσι προςεπέλασαν. Καὶ εἰ μὴ ἦν ἄνωθεν συχνὰ τὰ ῥιπτούμενα, κἂν ὑπερέσχον κατὰ κράτος, καί τι καὶ τῶν δεινοτάτων ἐγένετο.

Τότε[5] οὕτως ἐχόντων τῶν πραγμάτων τῇ πόλει, εἰ παρέστην ἐγώ σοι τῷ νῦν ὑπερμαχοῦντι τῶν νόμων, καὶ τὴν βουλὴν ἐκοινολογούμην λέγων· « Περιαλγῶ τοῖς ὑμετέροις πάθεσι· τὸν κίνδυνον βλέπω· ὁρμᾷ βοηθεῖν ἡ καρδία. Ἀλλὰ τὸν νόμον οἶδα καὶ ἀνελθεῖν δέδοικα »· εἰ ταῦτα λέγων καὶ προςετίθουν καὶ τὰς εἰς θεὸν ἐλπίδας ὅτι νικήσω, καὶ συμβουλὴν ἐζήτουν, τί ἂν ἔλεγες σύ; καὶ τί συνεβούλευες; τὸν σκοπὸν ἀφιέναι καὶ μὴ ὁρμᾷν; μὴ ἀνέρχεσθαι, μὴ βοηθεῖν ἄνωθεν, μὴ νικᾷν, εἰ καὶ δυνατόν ἐστιν, ὅτι νόμος τὸ κώλυμα; ἢ καὶ ἀνέρχεσθαι, καὶ τὰ δυνατὰ[6] συναίρεσθαι, μηδὲν δείσαντα. Ἐγὼ μὲν οἶμαι ὡς καὶ τὸν νόμον ἂν ἐξηγοῦ τότε, καὶ τὴν τοῦ νομοθέτου διάνοιαν ἐξεκάλυπτες, καὶ ὅσα νῦν ἐγὼ διατείνομαι, ταῦτ' ἔλεγες σὺ τότε, καὶ παρώτρυνες πρὸς ὅ τι δυναίμην ἂν βοηθεῖν.

Μὴ γοῦν, ταῦτ' ἔχων λέγειν τότε καὶ παροτρύνειν, ἐξ ἀνάγκης φιλόπολις ὢν καὶ τὴν σωτηρίαν θέλων τῆς πόλεως, νῦν ἀντιστρόφως τίθει τοὺς λόγους καὶ τὸν εὐεργέτην κατάκρινε.

[1] Cum ἕκαστος plurale verbum ἐξεκέχυντο nil habet quod morari queat, sed κατάφρακτοι exspectabatur, et κινοῦντες, etc.

[2] Vide p. 15, n. 3.

[3] Codex sic.

[4] De ἀρεϊκός ad Decl. XII.

[5] Schol.: πλαστόν.

[6] Τὰ δυνατά] sic p. 106, 3 : τὰ δυνατὰ οἰκτίζεσθαι. Vide p. 59, n. 8.

Ἐρωτῶ γάρ[1]. Τί δοκεῖ μεῖζον ὑμῖν, ἡ ὑπὲρ τῆς πόλεως ἀριστεία ἐξ ἧς καὶ τὸ νικᾷν ὑμῖν γέγονεν, ἢ ἡ τοῦ νόμου παραθεώρησις; Νόμος, οἶμαι, εἰ πρὸς καιρὸν παραθεωρηθείη, καὶ ταῦτα ἐπὶ συμφέροντι, ἐπεὶ καὶ ἐπὶ συμφέροντι γέγραπται, πάλιν τηρεῖται τῇ πόλει κείμενος· καί, εἰ παρορώμενος τὰ μεγάλα ὠφέλησε, πολλῷ γε μᾶλλον τηρούμενος ἄλλοτε τὰ μέγιστα ὠφελήσειε. Παρεωράθη μικρὸν ἴσως (οὕτω γὰρ συνέφερεν), οὐκ ἠκύρωται. Κείσθω τῇ πόλει ἀπαρεγχείρητος, καὶ μενέτω τις τὴν ἐξ αὐτοῦ φυλαττομένου ὠφέλειαν. Ἔχει πάλιν τὸ κῦρος μετὰ τῶν ἄλλων, καὶ διπλᾶ στρέφων τις τοῦτον, μόνον ἐπ' εὐνοίᾳ τῆς πόλεως, ἀμφοτέρωθεν ἔχει τοῖς κοινοῖς συντελεῖν. Καιρὸν λοιπὸν εὗρε τυχὸν καὶ πρὸ τοῦ πρὸς τὸ ὠφελεῖν· καιρὸν ἀναμένει καὶ πάλιν, καὶ πάλιν δείξει τὰ ἔσχατα ὠφελῶν.

Τί δέ; Ἔστι καὶ τῇ ἀριστείᾳ, εἰ κατὰ καιρὸν συμπίπτει τινι, παροράσθαι ὡς ἄλλοτε ἴσως γενησομένης; Ἔστιν εἰπεῖν τῇ Τύχῃ ῥεψάσῃ εἴτ' ἀφ' ἑαυτῆς (θεὸς γὰρ καὶ αὕτη), εἴτε καὶ ἄλλοθεν, ἀστέρων τισίν, εἴποι τις, συμπλοκαῖς; « Οὐ θέλω δῶρα τὰ σά, οὐ θέλω ἄρτι νικᾷν· ἀνάμεινον εἰς καιρόν, ἐπίστηθί μοι ἐς νέωτα, καὶ οὕτω νικήσω· καὶ οὕτω χάρις μέν σοι παρ' ἐμοῦ, χάρις δὲ κἀμοὶ παρὰ τῶν εὐεργετηθέντων ἐσεῖται[2], οἷς εἰς καιρὸν ἠρίστευσα »;

Ἡ ἀριστεία τὴν πόλιν συνέστησε, καὶ δέδωκε ταύτῃ καὶ τοῖς ἐν ταύτῃ χρᾶσθαι νόμοις[3] τοῖς κειμένοις ἐλευθέρως, καὶ τοῦτον μὲν κυροῦν τοῦτον, δ' ἀκυροῦν, καὶ πράττειν ὡς βούλονται. Ἡ δὲ τοῦ νόμου παρόρασις οὐδὲν ἐλυμήνατο τοῖς κοινοῖς.

Εἰ δὲ βούλει, πέμψας τοὺς πολεμίους ἐρώτησον. Μαθήσῃ καὶ παρὰ τῶν ἐχθρῶν, εὖ οἶδα, τὸ ἀληθές, τί τὸ λυπῆσαν αὐτούς, τί τὸ πεῖσαν ἐκ πολλῶν ὀλίγους ἐπαναζεῦξαι, καὶ μετ' αἰσχύνης. Τί γὰρ λέγουσιν, ἢ καὶ τί[4] μελετῶσι λέγειν, ἥν πού τις αὐτοὺς παρ'

[1] Schol.: πρός τι.

[2] Vide p. 58, n. 5, de ἐσεῖται.

[3] Addidi νόμοις.

[4] Scripsi posterius τί e conjectura. Guttula atramenti locum syllabæ operit. Id obiter pronomen reddam auctoribus nonnullis. Aristides Orat. 52, p. 606 : οὐδέν ἐστιν ἀθάνατον τῶν ἐν ἀνθρώποις, οὐ πόλεμος, οὐκ εἰρήνη, οὐ χάρις, οὐκ ὀργὴ οὐκ ἄλλο τῶν πάντων οὐδέν. Codex 963 : οὐκ ἄλλο τι τ. Libanius, t. I, p. 434 : τῶνδε κάλλιον ἔχω λέγειν. Co-

ἐκείνοις εἰςάγῃ[1] λόγον τῆς μετ' αἰσχύνης ὑποστροφῆς δώσοντας; ἡ τοῦ νόμου παρόρασις καὶ παρατροπή, ἧς ἐγὼ ταῖς δίκαις ὑπεύθυνος, ἢ ἡ ἐμὴ νίκη καὶ ἀριστεία, καὶ τὸ ἀπ' αὐτῆς ὑμῶν τρόπαιον; Ποῖον δὲ πείσει τοὺς δικαστάς, καὶ τοῖς ὑποστραφεῖσι μετ' αἰσχύνης συγγνώσονται[2]; Οἴει, ἡ τοῦ νόμου παρόρασις; ἐπεὶ καὶ πολλὰ μέλει τούτοις τῶν ὑμετέρων ἐθῶν[3].

Βάσκανε, πῇ βλέπων ταῦτά ποτε καὶ θροεῖς; ἐῤῥύσθης πολιορκίας, ἐῤῥύσθης κινδύνου, ἠλευθερώθης τῶν ἐπικειμένων δεινῶν· καὶ πρώτως ἀνοίγων τὸ δικαστήριον, ὅπερ οὐκ ἦν ἀνοίγειν σοι πρότερον, τῷ ῥύστῃ ἐπιχειρεῖς! ἄξιά γε ταῦτα καὶ τοῦ παντός.

Παρεῖδον νόμον· ἀλλ' εὐηργέτησα τοὺς τὸν νόμον ἔχοντας. Καταβολὴ[4] τοῦτο νόμων καὶ πόλεως; οὐ σύστασις; οὐκ ἀνάστασις; τοῦτο ἐλευθερίαν τῇ πόλει παρέχει, τοῦτο τοῖς νόμοις κύρωσιν· τοῦτο ποιεῖ καὶ σὲ λέγειν ἐπὶ τοῦ βήματος, καὶ ὅτι ποσῶς[5] παρεβάθη νόμος σοβεῖν. Εἰ δ' ὑπερέσχον οἱ πολέμιοι—καί μοι μηδὲν ὀργισθῆτε· οὗτος γὰρ αἴτιος—εἰ γοῦν ὑπερσχόντες ἐκεῖνοι τὸ τεῖχος ὑπερανέβαινον καὶ κατὰ κράτος ᾕρουν, καὶ οὐδὲν ἦν τὸ κωλῦον[6] ἐκείνους δεσπότας ὑμῶν εἶναι, ποῖος νόμος τῶν ὑμετέρων ἐτηρήθη τὸ ἀπ' ἐκείνου[7]; οὐκ ἄρα πάντ' ἂν ἀνατέτραπτο; καὶ ὁ φιλόνομος σὺ τίς ἐγένου τότε, καταπατουμένους ὁρῶν καὶ νόμους καὶ δικαστήρια; ὁρᾶτε τὴν βλάβην, ἄνδρες, ὁποία ποτ' ἦν; ὁρᾶτε τὴν τῶν νόμων ὡς ἀληθῶς ἀθέτησιν; Εἰ γοῦν ἐκεῖνο τῶν νόμων καταβολὴ καὶ τῆς πόλεως, τὸ στῆσαν ἐκεῖνο τῶν νόμων σύστασις καὶ τῆς πόλεως. Εἰ ἐκεῖνα καλὰ σοί, ταῦτα εἰκότως ἀνιαρά. Λοιπὸν ὁμολόγει καλὸν τὴν τῆς πόλεως ἅλωσιν. Καὶ τότ' ἄξιον

dex 3017 : τ. κ. ἔχω τι λ. Iterum p. 436 : τῶν ἐμῶν συγγραμμάτων ἀναγινώσκων. Reiskius malebat τῶν τι ἐμῶν. Codex, τῶν ἐμῶν τι σ. Themistocles Epist. 15, 10 : οὔπω ταχέως ἀφίσταμαι χρηστὸν καὶ δίκαιον περὶ σοῦ ὑπολαμβάνειν. Omisit Schœttgen. homo valde indiligens τι post χρηστόν. Idem Epist. 9, 1: ὀλιγοχρόνιος ἦν ὁ φθόνος. Nec aliter Caryophylliana p. 27. Codex autem, ὀλιγοχρόνιός τις ἦν....

[1] Videtur fere codex habere εἰςάγει. Scripsi εἰςάγῃ, recte post ἦν. Intelligo παρ' ἐκείνοις de auditoribus.

[2] Sic codex. Fort. ὅπως pro καί.

[3] Schol.: εἰρωνικόν.

[4] Schol.: ὅρος βίαιος.

[5] De ποσῶς p. 4, n. 5.

[6] Codex, κωλύον. Idem jam fuit mendum pp. 13, 46.

[7] Cod., τοαπεκείνου. Et sic alibi junctæ sunt similes voculæ.

κἀμὲ διδόναι δίκας ὧν κακῶς ἔπραξα· ἔστ' ἂν δὲ περιέπῃς τὴν νίκην καὶ τὴν ἐμὴν ἀριστείαν ἡγῇ καλὴν καὶ σωτήριον, οὐκ ἔχεις κατ' ἐμοῦ λόγον ὡς κακῶς πράξαντος.

Ἤθελον δὲ παρεῖναι καὶ τοὺς νομοθέτας αὐτούς, καὶ ἐρωτᾶσθαι, καὶ λέγειν εἰς τί βλέποντες ἔγραψαν. Εἰ μὲν εἰς καταβολὴν καὶ λύμην τῆς πόλεως, καὶ τοῦτ' ἦν αὐτοῖς ὁ σκοπὸς ἑνί τινι τρόπῳ τὴν πόλιν ἁλῶναι, ἢ τῷ μὴ τοὺς πολίτας ἰσχύειν, ἢ τῷ μὴ τοὺς ξένους ἀφίεσθαι, τὸ μὲν ἓν ἤδη γέγονε, καὶ ἐμφανὲς ἦν ὡς οὐκ ἴσχυον οἱ ὑμέτεροι, κἂν καὶ γενναίως ἐμάχοντο[1]· ἐγὼ δέ, εἰ, μὴ ἀφιέμενος, ἐπεχείρουν καὶ τὸ κακὸν ἐκώλυον, δίδωμι καὶ τὰς δίκας, οὐκ ἀντιλέγω[2].

Πλὴν φανερῶς λέγω ὡς ἠπάτημαι πάντως. Καὶ πολίτας ἐκείνους καὶ σοφοὺς καὶ εὔνους ἡγούμενος, ᾤμην καὶ ὡς πολίτας διακεῖσθαι, καὶ ὡς σοφοὺς νομοθετεῖν, καὶ ὡς εὔνους τὸ συμφέρον τῇ πόλει ζητεῖν. Τοῦτο ἦν πρέπον ἡγεῖσθαι· τοῦτ' ἔβλεπον ἐπὶ τῆς ἐμῆς πατρίδος καὶ πόλεως· τοῦτ' ἐνόμισα εἶναι καὶ ἐπὶ ταύτης. Πλήν, ἁμαρτὼν τῆς γνώμης ἐκείνων, εἰ μὴ συγγνοίη τις, οὐκ ἂν ἔχω τὴν καταδίκην ὑπεκφυγεῖν.

Εἰ δὲ τοῦτο μὲν οὔ — οὐδὲ γὰρ ἄξιον τὸ βλάσφημον τοῦτο κατ' ἐκείνων τῶν σοφῶν ἐννοεῖν — ἀλλ' ἤθελον ἐκεῖνοι ἐκ παντὸς τὴν πόλιν σώζεσθαι, καὶ τῆς σωτηρίας χάριν αὐτῆς πάντ' ἐκεῖν' ἐνομοθέτουν καὶ ἔπραττον, ἐγὼ δὲ τὸ τέλος τῆς γνώμης παρέχων τὴν σωτηρίαν, τοῖς πρὸς τὸ τέλος οὐκ ἐχρησάμην ὡς αὐτοὶ προσέταττον, ἐρωτάσθωσαν οὗτοι, καί, εἰ λύμην λέγουσι τοῦτο νόμων, ἀλλ' οὐ μᾶλλον καὶ σύστασιν, ὡς ἐγὼ διϊσχυρίζομαι, καὶ ἀσφάλειαν, δίδωμι καὶ πάλιν τὰς δίκας εὐθέως τῆς τοῦ νόμου, ὡς μὲν ἐγὼ λέγω, συστάσεως, ὡς δ' ἐκεῖνοι κρίνουσι, καταλύσεως.

Οἶμαι[3] γὰρ πρέπειν μὴ ὅτι γε ξένον καὶ νέηλυν καὶ ἐλεύθερον, ὡς ἐγώ, ἀλλὰ καὶ δοῦλον, καὶ πολίτην πάντα, καὶ ἐχθρὸν ἄλλοτε δόξαντα, μόνον ἂν τότ' εὔνους ᾖ, μηδὲν ἀμελεῖν, βοηθεῖν κινδυνευούσῃ πόλει, ἧς ἐντὸς εὑρεθείη, κἂν ὅπως δύναται. Καλὸν ἔκα-

[1] Sic codex. Fortasse : δίδωμι τὰς δίκας, καὶ οὐκ ἀντιλέγω. Sed esse videtur mendum gravius.

[2] Κἂν κ. γ. ἐμάχοντο] eadem syntaxi sæpius utitur. Vide p. 29, n. 7; 47, 4, 6; 134, 1.

[3] Schol.: θέσις.

[4] Sic κἂν ὅπως γέγονε p. 132, 31.

στον συγκροτεῖν τὸ συμφέρον, τὸν μὲν συμβουλεύοντα, τὸν δὲ συνειςφέροντα, ἄλλον πολεμοῦντα, ἄλλον θαῤῥύνοντα καὶ τὸν προθυμούμενον ἀποδεχόμενον, καὶ ἄλλον μὲν ἐξιόντα, ἄλλον δὲ μένοντα ἔνδον, οὐδὲν ἧττον ἐνεργοῦντα τὰ εἰς ὠφέλειαν.

Καλὸν ἐκ μόνης πράξεως τὸν ξένον χαρακτηρίζειν, εἰ δυςνοεῖ τῇ πόλει, εἰ τοὺς πολίτας προδίδωσιν, εἰ κατασκοπεῖ τεῖχος, εἰ ἐξαγγέλλει ἀπόῤῥητα· ταῦτα γὰρ ξένων ἴδια. Εἰ δέ γε συμπράττει τοῖς ἔνδον καὶ ἐννοεῖ[1], καὶ συμμάχεται, καὶ συνεργεῖ, καὶ συγχαίρει νικῶσι, καὶ οὐδὲν ὅ τι καὶ μὴ συνοίσει πράττει, οὐ ξένος ἐκεῖνος, ἀλλὰ τῶν πολιτῶν τὰ μάλιστα. Ὁ γὰρ τρόπος ἐκεῖνον μέν, καὶ πολίτην ὄντα, ξένον τίθησι καὶ τῶν ξένων πολεμιώτατον· τοῦτον δέ, καὶ ξένον ὄντα, πολίτην καὶ πολιτῶν ἐργάζεται τὸν εὐνούστατον.

Καλὸν μὴ διδόναι χώραν τοῖς συκοφάνταις παρόδου, ἥν τις ἀριστεύοι, καὶ φθόνος ὁ τοῖς καλοῖς ἐφεδρεύων ἐξ ἀνάγκης ἕρποι[2] πρὸς ἐκεῖνον, καὶ κακὸν τὸ καλὸν ποιοίη· καὶ συνταράττοι τὰ πράγματα. Πότε[3] γὰρ λείψει πρόφασις φθονοῦντί τινι; Ὁ μὲν ἴσως διαβάλλει τὸ πραχθὲν καὶ καλὸν ὂν οὐκ ἀποδέξεται· ὁ δὲ ἀποδέξεται μὲν πραχθέν « Ἔδει δ' ἄλλως » εἴποι « γενέσθαι · καὶ τοῦτο διάφορον »· ὁ μέν « Ἔδει κοινοῦσθαι τοῖς ταξιάρχαις, τοῖς λοχαγοῖς, τῷ τῆς πόλεως στρατηγῷ »· ὁ δέ· « Ἔδει ἐξιόντα μάχεσθαι, καὶ μὴ ἀπὸ τείχους »· ὁ δέ· « Ἐχρῆν μὴ ξένον ὄντα εἶτ' ἀριστεύειν, ἀλλ' αὐθιγενῆ καὶ πολίτην »· ἄλλος ἄλλο, καὶ ἄλλος ἄλλο, πάντες δ' ἐφ' ἑνὶ σκοπῷ, ἵνα τὴν πρᾶξιν κακίσωσι.

Τί λέγεις; οὐ δέχῃ καλὸν ποιοῦντα τὸν ξένον; ἀλλ' ἡ πόλις θέλει καὶ δέχεται. Κακίζεις τὴν ἀριστείαν, καὶ « Ἄλλως ἔδει » λέγεις « γενέσθαι »; ἀλλ' ὁ δῆμος ἴσως ἐρεῖ· « Οὐ φέρω τὴν ἧτταν, κἂν παρὰ πολίτου συμβαίῃ ἀπροςεκτήσαντος. Ἀεὶ νικῴην, καὶ ξένος ἔστω ὁ συνεργῶν ».

[1] Fortasse, εὐνοεῖ, vel συννοεῖ.

[2] Meminisse videtur, hic et infra Decl. VIII, Sophoclei versus Aj. 157 : πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. Simplicius in Epict. c. 26, p. 213 : πρὸς γὰρ τὸν εὖ ἔχοντα, ἢ δοκοῦντα εὖ ἔχειν ὁ φθόνος ἕρπει Et ad Sophoclem respiciebat Simplicius. Sententias similes collectas reperire est apud Allatium ad Socraticas Epist. p. 156; Tollium ad Lucianum de Cal. c. 12; Ruhnkenium ad Vell. Paterc. 1, 9; Erfurdt. ad Soph. locum.

[3] Schol.: μετάληψις τὸ ἐντεῦθεν.

Ξένου φημίζεται νίκη τὰ νῦν ἡ πόλεως, ξένου ἀριστεία ἡ τοῦ δήμου παντός; μικρόν τι συνεβαλόμην, ἀρχὴν κατεβαλόμην, πρόφασιν ἔδωκα· τὸ δὲ πᾶν τῶν μαχομένων ἦν κάτω.

Ἐξῆν[1], ὡς ἐβουλόμην, εὐεργετεῖν. Ἐξῆν· καὶ τίς ἂν κωλύει τὸν ἀριστεύειν προαιρούμενον; « Ἄλλως » λέγεις; ἀλλ' οὐχ οὕτως ἐπῆλθε κἀμοί. « Ἄλλως » λέγεις; ἀλλ' ὁ καιρὸς οὐκ ἐδίδου. Εἰ δὲ καὶ καιρὸς ἦν, ἀλλ' οὖν ἐφοβούμην μή πως ὑποπτευθεὶς κωλυθῶ. Εἰ δ' ἐκωλύθην — ὑπόθες γὰρ καὶ τοῦτο — τί πλέον ἦν ὑμῖν ἢ τὰς συμφορὰς ὀδύρεσθαι;

Κωλύει νόμος τὸν ξένον. Τί δέ; καὶ τὸν προαιρούμενον εὖ ποιεῖν τὴν πόλιν κωλύσει; Μὴ ξένον τίθει μόνον, ἀλλὰ καὶ καλῆς προαιρέσεως ἄνθρωπον. Ἂν ὡς ξένος κωλύωμαι, ὡς καλῶς προαιρούμενος οὐδέποτε κωλυθήσομαι.

Σκόπει τοίνυν ταῦτα καὶ παράλληλα θές. Ξένος ἐγώ, καὶ εἰς εὐεργεσίαν ὁρμῶν· τὸ μὲν ἐν νόμοις κωλύεται, τὸ δ' ἕτερον οὐ κωλύεται. Ποῖον καλύψει θάτερον, τὸ εὐεργετικὸν τὴν ξενιτείαν, ἢ τὸ ξένον τὴν ἀριστείαν; Εἰ μὲν τὸ δεύτερον, καὶ οὕτω νικῶ, καί, ξένος ὤν, ἀριστεύσας, οὐ λαμβάνω τὴν δωρεάν. Καὶ ἔστω τοῦτο. Ποῦ δὲ καὶ τὰς δίκας ζητεῖς, βλέπων ἐστερημένον τῆς δωρεᾶς; οὐκ ἀπέχρησε τοῦτο τῷ φθόνῳ; οὐκ ἐνεπλήσθης βασκαίνων; γενέσθω καὶ ἀριστεὺς ἀδώρητος, καὶ ἄμισθος εὐεργέτης τῆς πόλεως, διὰ τὴν σὴν θέλησιν.

Εἰ δὲ τὸ πρῶτον, καὶ τὸ εὐεργετικὸν τὴν ξενιτείαν νικήσει, ᾧ δὴ καὶ τίθεμαι[2] μᾶλλον, τί με ξένον λέγεις λοιπόν, ὑπὲρ πολίτας[3] ἀγωνισάμενον; τί οὐχ ἑτοιμάζεις τὴν δωρεάν, τὴν χάριν λαβών; σοὶ μὲν ἔξεστι γράφεσθαι καὶ κατηγορεῖν ὅντινα βούλει; ἐμοὶ δ' οὐκ ἐξῆν ἀριστεύειν καθ' ὃν ἐδοκίμαζον τρόπον; σοὶ τὴν νίκην διαβάλλειν; κἀμοὶ δ' οὐ νικᾶν; Ἂν μυριάκις διαβάλλῃς, ἴσθι, ἂν διαῤῥαγείης[4] μαχόμενος, τὸν τρόπον, οὐ τὴν πρᾶξιν, διαβαλεῖς. Ἐγὼ δὲ ἕως οὗ ἐπαινοίης τὴν πρᾶξιν, τοῦ τρόπου καταφρονῶ, καὶ κυδροῦμαι[5] νικήσας, κἂν ὅπως γέγονε. Καὶ γὰρ τελευτήσω μὲν ἐγώ,

[1] Schol.: ἀντίληψις.

[2] Est τίθεμαι nunc « assentior ». Vide n. ad Choricium, p. 85.

[3] Fortasse ὑπὲρ πολιτῶν.

[4] Ἂν διαῤῥαγείης] vide p. 8, n. 2.

[5] Κυδροῦμαι] quo verbo est usus

τελευτήσεις δὲ σύ· δύο δὲ στῆλαι ἡμῖν ἐσοῦνται[1], ἐν μέσῳ τῆς πολιτείας ταύτης ἱστάμεναι· ΞΕΝΟΣ ἈΡΙΣΤΕΎΣΑΣ, καὶ ΠΟΛΊΤΗΣ ΦΘΟΝΩΝ. Ποτέρα προτρέψει τοὺς ὀψιγόνους εἰς ἀγαθόν; Εἰ γοῦν φθονεροὺς θέλετε τοὺς πολίτας ἡ τούτου προτρέψει, καὶ διδασκάλειον[2] ἐσεῖται τὸ πρᾶγμα τούτου, ὡς μὲν ἐγὼ λέγω, κακίας τῆς ἐσχάτης, ὡς δ' ἄλλος τις φήσει—ἀλλὰ φοβοῦμαι τὸ βλάσφημον—εἰ δ' ἀριστεῖς, οὐκ ἔστι παρὰ τὴν ἐμὴν πόλιν ἐλθόντα ἐλθεῖν καὶ μανθάνειν ὅπως ἀριστεύσαντες τιμηθήσονται· ἔνδον μένοντες τὸ μάθημα ἀναλήψονται. Ξένον ἀκούσαντες ἀριστεύσαντα, πολῖται ὄντες, ζηλώσουσιν· ἄλλοθεν ἐλθόντα μαθόντες καὶ τὴν πόλιν εὐεργετήσαντα, αὐτόχθονες ὄντες, διεγερθήσονται. Εἰ δὲ καὶ τιμηθέντα τὸν νέηλυν μάθωσι, πῶς οἴεσθε τούτους σφαδάζειν καὶ πρὸς τὴν ἀριστείαν ὁρμᾶν;

pp. 7, 11; 15, 29; et in Progymn. t. I, p. 556, 12, Rhetorum Walzii : ἐκ τοῦ πλούτου κυδροῦται καὶ μεγαλύνεται. Iterum p. 581, 19 : εἰκάσαις ἂν αὐτὸν ἐπιγαννυμένῳ τῷ ἵππῳ καὶ κυδρουμένῳ. Quem ad locum conferatur nota ad Choricium p. 220.

[1] Qui toties scripsit singulare ἐσεῖται, plurale ἐσοῦνται non refugit.

[2] Codex, διδασκάλιον. Permutantur sæpe ι et ει. Democrates, p. 632 : ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, ἴδες, ἀπῆλθες. Mihi εἶδες obtulerunt codices duo. Sed fere videtur ἴδες retinendum, quum dialecto ionica plerumque usus fuerit ille Democrates. Epistola Socratica 14 sub finem : καί σοι δὲ ἡ στρατεία ἦν τὸ μέγα ἐμπόδιον. Codex 1354, στρατιά. Illud melius. Himerius Orat. 8, 4 : πτέρνης τάχος ὀξύτατον τῶν Περσείδων τὸ ἐγκώμιον. Scribendum alio accentu Περσειδῶν. Codex bono accentu, vitiosa penultima, Περσιδῶν. Idem Or. 3, 8 : ὄμματα γὰρ εἴκελος Διὶ τερπικεραύνῳ, κατὰ σοῦ μᾶλλον ἂν Ὁμηρίδαι φθέγξαιντο. Melius codex ἴκελος, ut est apud Homerum Il. 2, 478. Reciperem et e codice Ὁμηρίδης φθέγξαιτο. Eadem permutatio nocuisse videtur Arethæ Anthol. 15, 32, 11 : ὕφηνον γενετῆρες ἅπασι Γηραλέοι θρῆνον, τειρόμενοι πολιήν. Propono τιλλόμενοι. In eodem epigrammate versus sextus sic est editus : Οὐδέ τι τέκνον ἴδον καλὸν ἀθυρόμενον. Nihil monetur de codice, in quo nitide scriptum legere est, οὐδ' επι, scilicet οὐδ' ἐπί, facta tmesi verbi ἔπιδον. Sic Homerus Od. 16, 144 : Οὐδ' ἐπὶ ἔργα ἰδεῖν. Similitudo soni fecit, ut Gregorio Naz. Epigrammatis in Basilium Βασίλειος esset pro pæone primo. Recte nunc scribimus Βασίλιος, quod ipse Pater neglexit, opinor. Magna est codd. varietas. Sed in lemmatis Anth. 8, 2, 156, 163, Βασίλιον, Βασιλίου non fuerat scribendum, quum prosæ conveniat unice forma vulgaris per ει. Et ita totis litteris exhibent id nomen lemmata in codice quem vidi antiquissimo. Pariter peccatum est in lemmate Ep. 164, εἰς Θεοσέβιον ἀδελφὴν Βασιλείου. Forma neutrius generis est ficta, ut plurima nomina fœminarum sic diminutive mutata. Recte in ipso epigrammate, Καὶ σὺ Θεοσσέβιον· sed recte etiam codex exhibet εἰς Θεοσεβίαν, in lemmate.

Ἐγὼ[1] μὲν οὖν ξένος εἶναι ὁμολογῶ· κἂν ἐμέλησέ μοι τῆς πρὸς τὸ παρὸν ὠφελείας, οὐ μεταμέλει μοι. Εἴη μοι ζῶντι εὖ καὶ τὴν ἡμετέραν καὶ τὴν ἀλλοτρίαν ποιεῖν. Κἂν ὑμεῖς μὴ τιμήσητε, τιμήσουσιν οἱ ἡμέτεροι. Ἐχέγγυός εἰμι ἐκ τῶν ὑμετέρων κἀκείνους εὐεργετεῖν· καί, « εἰ ὑπὲρ ξένων ὁ ξένος οὕτως », ἐροῦσι, « πρὸς ἡμᾶς ὁ ἡμεδαπὸς τί »; Πλὴν φοβοῦμαι μὴ δόξαντες ἀπειρόκαλοι, καί, τὸ τοῦ λόγου, νεκροὶ μυριζόμενοι[2], καὶ τὴν νῦν εὔκλειαν ἀφανίσητε· κἂν[3]....

ΜΕΛΕΤΗ Η'.

Νόμος ἦν τὸν ἀποκήρυκτον μὴ μετέχειν τῶν πατρῴων, καὶ πάλιν ἄλλος τὸν ἐπιμείναντα χειμαζομένῃ νηῒ δεσπότην εἶναι τῆς νεώς. Ἀποκήρυκτος ἐπέμεινε πατρῴᾳ νηῒ χειμαζομένῃ, καὶ εἴργεται αὐτῆς ὡς πατρῴας[4]. Μελετῶμεν[5] τὸν ἀποκήρυκτον.

.... εἰ[6] καὶ ὁ ἐμός, σοφώτερον θέλων ἴσως πράττειν τῶν ἄλλων, ἐπεχείρει σωφρονίζειν διὰ τοῦ πικροῦ τούτου προςτίμου, καὶ ἀνυποίστου μὲν πατράσιν, ἀνυποίστου δ' υἱοῖς, ὡς ἂν ἐπὶ καιροῦ τάχα συνετὸν ἔχοι καὶ πάνθ' ὑπείκοντα τὸν υἱόν· ἐκεῖνο μὲν τὸ δοκοῦν ἔγκλημα παρὰ μέρος θεῖναι, ὃ δὲ γνησίοις ἐδίδοτ' ἂν πατέρων υἱοῖς, τοῦτο διδόναι κἀμοί· εὐμενεῖς ἀκοὰς ὑπέχειν, καὶ μηδὲν ἐκ τῆς κατ' ἐμοῦ προλήψεως ἐμποδίζεσθαι.

Τῷ[7] μὲν οὖν πατρὶ ἐντεῦθεν, οἶμαι, καὶ μεταμέλει τῆς πρὸς

[1] Schol.: ἐπίλογος.

[2] Memoratur proverbium Νεκρὸν μυρίζειν inter proverbia metrica. Clemens Alexandrinus Pædagogo 2, 8, § 62: μυρίζονται γὰρ οἱ νεκροί. Anacreon. 4, 11: Τί σε δεῖ λίθον μυρίζειν; Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ, Μύρισον. Ibi Fischeri nota.

[3] Relicta est in codice pagina vacua integra, vacua et alterius pars dimidia, versibus deficientibus centum plus minus.

[4] Schol.: ἡ στάσις, ἀντινομία.

[5] De μελετῶμεν jam monitum non semel; vide p. 112, n. 2.

[6] Inter argumentum et verba εἰ καί relictum est spatium vacuum, versuum sex plus minus capax.

[7] Schol.: δεύτερον προοίμιον, ἀπὸ τῆς τοῦ πατρὸς ὑπολήψεως.

τὸν υἱὸν ἀτιμίας. Μᾶλλον μὲν οὖν ἱκανῶς λαβόντι ὅπερ ἤθελεν ἐξ ἐμοῦ (καὶ διὰ τοῦτ' ἀπεκήρυττε), καθίζειν καὶ πάλιν ὑμᾶς δοκεῖ δικαστάς, καὶ λέγειν ὑπὲρ ἐμοῦ, καὶ ὑφ' ὑμῖν εἰδόσι λύειν τὴν ἀποκήρυξιν. Οὔτε γάρ, ὡς μισῶν τότε, τῆς οἰκείας ἀπέπεμπεν, οὔτ' αὖ αὐτονόμως, ὑμῶν μὴ διδόντων, ἔπραττε τοῦτο· ἀλλὰ πατὴρ ὤν, ὡς ἔοικε, καὶ τὴν τοῦ υἱοῦ ποθῶν εὐδοκίμησιν, ἠβούλετο λυπεῖν μικρὸν ὃν τέως ἔστεργε. Καὶ αὖθις εἰδὼς ὑμᾶς τὸ τῆς αὐτοῦ διανοίας ἀπόῤῥητον καὶ ὡς σοφοὺς καταληψομένους, καὶ ὡς φιλόπαιδας ἐκχωρήσοντας, παρῆλθεν ἐνταῦθα, καί, τὰ πολλὰ σχηματισάμενος κατ' ἐμοῦ, τέλος λαμβάνει ὅπερ ἐζήτει, καὶ τῆς οἰκίας ἐξάγει ὃν ἴσως τῆς διανοίας ἐντὸς εἶχε, καὶ τὸν καιρὸν ἐζήτει τὸν ταῦτα λύσοντα.

Καὶ ὁ μὲν πατὴρ οὕτως, ὡς ἤκουσταί μοι λεγόντων πολλῶν· οὗτος[1] δέ, βαρύτερος, οἶμαι, θέλων δοκεῖν καὶ τῆς τύχης, ἀφαιρεῖσθαι σπουδάζει, εἴ πού τι καὶ διὰ τῆς ἐμῆς ἐκείνη[2] σπουδῆς ἐφιλοτιμήσατο. Καί, ὡς ἔοικε, καὶ ἀνειμένως ζῶν καὶ σπουδάζων, ἓν ἔχω παρ' ἀμφοτέρων τὸ τέλος, τὸ δηλαδὴ μηδὲν ἔχειν ὧν ἔχουσιν ἄνθρωποι. Εἰ γὰρ νῦν μὲν παρὰ τοῦ πατρός, ὡς ῥάθυμος, τῶν ἀπὸ κληρονομίας ἐμῶν ἀποκλείομαι, νῦν δ' ἀγωνισάμενος παρὰ τούτου τῶν ἀπὸ τῆς τύχης καλῶν ἐκδιώκομαι, ποῖ τις ἂν μέλλοι[3], καὶ ποῖον ἄλλον πλοῦν, οὐ δεύτερον, ἀλλὰ τρίτον[4] μεταχειρίσαιτο. Καὶ εἰ ἔστιν οὗτος, παρακαλῶ δεικνύναι ἀφέντα τὸ κρίνειν, ὡς ἐκεῖνον εὐθὺς ἐμοῦ στελουμένου, καὶ χάριν ἕξοντος, ὥςπερ ἂν εἰ μὴ μόνον ναῦν, θαλάσσης ἔργον, ἐδίδοτε, ἀλλ' εἰ καὶ πατρικὴν πᾶσαν οἰκίαν καὶ πράγματα.

Ὅμως δὲ[5] ἐπειδὴ κατέστην εἰς λόγους, καὶ ὃ τέως ἔφευγον συνέπεσεν ἐκ τοῦ παραχρῆμα, βούλομαι τὰ κατ' ἐμαυτὸν ἀρχῆθεν, ὡς ἐνόν, διηγήσασθαι. Ηὐχόμην δὲ παρεῖναι καὶ τὸν πατέρα,

[1] Adversarius scilicet.

[2] Codex, ἐκείνῃ. Scripsi ἐκείνη, fortuna scilicet.

[3] Sic codex. Videtur post μέλλοι verbum quoddam periisse.

[4] Allusit ad proverbium de δευτέρῳ πλῷ valde frequentatum. Naumachius, 10: Καὶ τοῦτο προδαεὶς ἐρέω πῶς χρή σε περῆσαι Τὸν πλοῦν, ὡς φασίν, τὸν δεύτερον ἔμφρονι θυμῷ. Ibi mea notula. Zacharias Scholasticus, p. 110: δεύτερον πλοῦν ποιεῖται, τὸ δὴ λεγόμενον, ἑτέρους ἀντεισάγων. Ibi Barth. et ego.

[5] Schol.: προκατάστασις.

ἵν', εἴ που καὶ δοκοίην ἄπιστα λέγων, ἐκεῖνος παρὼν ἐμαρτύρει, καὶ τὸ ἀμφιβαλλόμενον ἔλυεν. Οὕτω γὰρ ἐδόκουν πιστὰ λέγειν, καὶ μόνον εἶχον τὸν περὶ τῆς νεὼς ἀγῶνα, ὑπὲρ ἧς λίαν ἠγώνισμαι καὶ πρὸς κλύδωνα.

Ἐμοὶ[1] πατὴρ ἀγαθὸς καὶ καλός — μαρτυρείσθω γὰρ τἀληθῆ — καὶ φιλόπαις τόσον καὶ φίλοικος, ὅσον καὶ πάντας ἦν θέλων εὐδοκιμεῖν τοὺς υἱεῖς, καὶ ὁσημέραι τὸν οἶκον αὔξεσθαι ὀρεγόμενος. Τούτῳ, οὐκ οἶδ' ὁπόθεν, λογισμὸς ἐπῄει ὡς οὐκ ἂν ἄλλως ἡ περιουσία γένοιτο πλείων, εἰ μή γε συνεργοῖεν οἱ ἐξ αὐτοῦ. Τὸ γὰρ ξενικὸν ὅσον ἦν καὶ ὑπώπτευε μή πως παρὰ τοσοῦτον καὶ λυμεῶνες εἶεν τοῦ οἴκου, παρ' ὅσον καὶ σπουδαίως ὑπηρετούμενοι ταῖς χρείαις ἐκείνου ἐφαίνοντο. Ὅμως δὲ τὸ τῆς δαπάνης ἐκείνων πλέον τῆς εἰςαγωγῆς ἐνομίζετο. Διὰ τοῦτο καὶ ἀπέστειλε τούτους, καὶ μᾶλλον ἤθελε διὰ τῶν υἱέων τὸ πᾶν τῆς αὐτοῦ μεταχειρίσεως πράττεσθαι. Καὶ δὴ ἐφρόντιζε μὲν ἐκεῖνος περὶ τῶν καθ' ἑκάστην πρακτέων, καὶ βουλὴν εἰςῆγε νεανικήν. Ὑπηρέτουν δὲ μετ' εὐπειθείας ὅτι πλείστης οἱ ἐξ ἐκείνου τὸ προσταττόμενον· ἠμέλουν δ' ἐγώ. Καὶ τί γὰρ δεῖ κρύπτειν; Οὐκ ἦν δὲ ἄρα τὸ τῆς ἀμελείας ἐκ τρόπου κακοῦ. Μὴ γένοιτο, δικασταί! ἀλλ' ἦν μὲν τὸ θάῤῥος ὅτι καὶ τῶν ἄλλων νεώτερος ἦν· ἦν δὲ καὶ τὸ τῆς νεότητος ἐπαγωγὸν εἰς ἀθύρματα καὶ παιδιάς, καὶ ἡ τῶν κατ' ἐμὲ παίδων διατριβή, καὶ πολλὰ τοιαῦτα, τά γε ποιοῦντά με ἀμελεῖν, καὶ πάντα τὰ τοῦ πατρὸς τῆς περὶ ἐκεῖνα ἀσχολίας λογίζεσθαι δεύτερα.

Ἀλλ' ἐγὼ μὲν οὕτως, καὶ πάσας ἡμέρας μετὰ τῶν νεωτέρων ἀνήλισκον. Ὁ δὲ πατήρ — καὶ τί γὰρ ἢ πατήρ; — ὠνείδιζεν, ὕβριζεν, ἠπείλει τὰ ἔσχατα· ἔστι δ' ὅπου καὶ βαρείας ἐπέφερε τὰς πληγάς, ἄκων μέν, ἀναγκαίως δ' ὅμως. Ὡς δ' οὐκ ἦν ἐμὲ τῶν τοῦ πατρὸς ἐπιστρέφεσθαι λόγων, ἅπαξ ῥαθυμίᾳ δόντα[2] καὶ

[1] Schol.: κατάστασις.

[2] Illustravi p. 72 formulam dictionis δοῦναι, ἑαυτόν scilicet, πράγματί τινι. Synesius de Dione, p. 36 : κοττάβοις ἐδεδώκει. Philostratus V. A. 1, 8, de Tarsensibus : δεδώκασι τῇ ἀθόνῃ μᾶλλον ἢ τῇ σοφίᾳ οἱ Ἀθηναῖοι. Illud nomen ἀθόνῃ scribens, memoriæ obversatur conjectura quæ mihi nuper venit in mentem Achæi Eretriensis legenti fragmentum tertium. Loquitur de athletis : Γυμνοὶ γὰρ ὤθουν φαιδίμους βραχίονας, Ἥβῃ σφριγῶντες ἐμπορεύονται, νέῳ Στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας. Di-

πάσῃ μὲν οἰκοτριβίᾳ καὶ τῇ περὶ τὸν βίον σπουδῇ δυςμενῶς ἔχοντα, πᾶσαν δ' ἐλευθερίαν ποθοῦντα καὶ ἀνέδην[1] θέλοντα τοῖς ἡλικιώταις συναναστρέφεσθαι, βλέπων ὁ γεννήσας καὶ περὶ τῶν μελλόντων σκοπούμενος μὴ καὶ ἐς νέωτα τούτοις ἐμμείνω, καὶ οὐχ ὅπως ἐμαυτῷ χρήσιμος, ἀλλὰ καὶ τῇ πόλει γένωμαι βλαβερός — « ὁ γὰρ ἀργὸς » ἔλεγε (καὶ τοῦ ῥήματος μέμνημαι) « πολλὰ κακὰ προςελέξατο θυμῷ[2] » — βλέπων τοίνυν καὶ θέλων ἐκκρούειν ἐμὲ τῆς νεανείας ἐκείνης ὡς ἐς ὕστερον βλαβερᾶς[3], πρῶτον μὲν τραπέζης ἀποστερεῖ καὶ τῶν συνήθων ἐνδυμάτων, καὶ ἀπὸ προςώπου ποιεῖ, καὶ τέλος, μικροψυχήσας οἷον — οὔτε γάρ, οἶμαι, τῷ ἰατρῷ νόσον ἔστι περιαιρεῖν ἐκ τοῦ παραχρῆμα, εἰ μὴ τῷ καιρῷ χρήσεται· οὔτε τῷ πατρὶ παιδὸς ἐλευθερίαν ἔστιν ἐκκρούσασθαι, εἰ μὴ καθ' ἡλικίαν τὴν δεχομένην ἠπίως τὰ νουθετήματα· — μικροψυχήσας οὖν ἐκεῖνος, ὡς ἔλεγον, καὶ παρὰ καιρὸν θερα-

splicuit merito ὤθουν viris criticis, cujus nec placent tentamina. Propono : Γυμνοὶ γὰρ ὀθόνης φαιδ. In ipso Pachymeris loco nomen ῥᾳθυμίᾳ e conjectura inserui lacunulæ codicis. Sine conjectura in transitu reddam nomen Himerio quod perdidit Or. 3, 13 : πολλοῖς τε καὶ ἐπικαρσίοις ἀνηρμόσμενοι τοῖς ἀκωλύτως ἄγουσιν. Codex, ἀνηρμοσμένοι τοῖς ἄξοσιν ἀκ.... Et prodero simul Themistocli Epist. 15, 7 : προῖκα βούλεσθαι προέσθαι τἀργύριον. Addit codex, ἐκεῖνο· Pachymeri Hist. Andr. Pal. 4, 35, p. 364 : τοὐναντίον μὲν οὖν ἂν θαυμαστόν. Bekkerus pro οὖν proposuit ἦν. Codex, μὲν οὖν ἂν ἦν θ. Sic 5, 7 : ἡμέρα μὲν οὖν παρασκευὴ ἦν· eidem 5, 15, p. 400 : τοῦτο δὶς καὶ τρὶς γεγονὸς ἐννοίας ἐπῆγε τὸν καστροφύλακα. Codex, εἰς ἐννοίας, quod proposuit Bekker. Libanius, t. I, p. 434 : οἷου τοίνυν ἕνα τῶν δεξαμένων τὸν σὸν πατέρα. Inserendum εἶναι e codice post δεξ. Chion Epist. 7 : πρὸς ἄλλον μὲν οὐδὲν βλασφημήσας τῶν ὄντων οὐδένα. Codex Paris., οὐδέν ποτε. Eadem verbi βλασφημεῖν syntaxis ibidem fortasse restituenda e duobus codd., πολλὰ δ' ἡμᾶς ἐβλασφήμησεν, pro vulgata lectione : π. δ' εἰς ἡμ. Plutarchus V. Fabii Max. 9 : τοῦ Φαβίου τὸν θυμὸν ἐκ πολλῆς πραότητος κεκινημένον ᾤοντο βαρὺν εἶναι καὶ δυςπαραίτητον. Locus videtur integer. Sed ante viginti annos et amplius didici a Σ. Κονδῷ Κερκυραίῳ, homine doct. qui codices Plutarchi versaverat diligenter, reperisse se scriptum, κεκ. ὁρῶντες, ᾤοντο. Symeon Metaphr. Epist. 7 : γράμματά μοι ἧκε.... γράμματα φιλίας, ὅσης ἡδονῆς ἀποστάζοντα. Videtur scripsisse φιλίας ὅσης, ὅσης ἡδ ...

[1] Cod., ἀνέδην, superscripto αι. Quæ vocales sic ubivis permutantur. Symeon Metaphr. Ep. 8 : ἐγὼ γὰρ ὅπως ἔχω φιλίας πρὸς σὲ καὶ αὐτὸς οἶδας, ὅς γε τοῦτο τέως ὁμολογεῖς, ὅτι παρόντα σε φιλῶ· ἐπεὶ δὲ τοῦτο, μηδὲ τῷ ἑτέρῳ διαπιστήσῃς ὅτι καὶ ἀπόντα πλέον. Puto corrigendum ἑταίρῳ.

[2] Meminerat Hesiodeæ sententiæ E. 496 : Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων, Χρηΐζων βιότοιο, κακὰ προςελέξατο θυμῷ.

[3] Codex, βλαβερᾶς, cum superscripto σφαλ., ut fiat σφαλερᾶς.

πεύων τὸ νόσημα, ὑμῶν διδόντων, τῆς οἰκίας ἐξάγει. Καὶ ἔπραξε μὲν πρᾶγμα δοκοῦν ἀπηνὲς τοῖς πολλοῖς, τέως δ' ἐμοί, καὶ λίαν ὠφέλιμον ἀποβάν.

Ὡς γὰρ ἀπεκήρυττε καὶ ξένον τῶν οἰκείων[1] ἐποίει, καὶ δακρύων ἐγὼ ἐδεχόμην τὸ πρόςτιμον, μὴ διδούσης ἔτι τῆς ἡλικίας τὸ καλὸν γνῶναι, καὶ μεταγνῶναι, καὶ προςπεσεῖν, καὶ ἐγγύας δοῦναι τῆς εἰςέπειτα εὐπειθείας ὅ τι βουλομένῳ ἔσεται[2] τῷ πατρί, καθ' αὐτὸν ἤμην προςταλαιπωρῶν καὶ ἐκ τῶν δυνατῶν[3] ἐμοὶ διαζῶν. Τὸ γοῦν στραφῆναι πρὸς τὸν πατέρα, καὶ μεσίτας προβαλέσθαι, καὶ ἱκετεύειν, μικροπρεπὲς τέως ἐδόκει καὶ ἀνελεύθερον, καὶ ταῦτα τελείας ἀψαμένῳ τῆς ἡλικίας, καθ' ἣν ἐλπὶς ἦν γενναῖόν τι πρᾶξαι, καὶ τὸν πατέρα εὐφρᾶναι[4], καὶ τὸ ἔργον εἰς μεσιτείαν ἐνέγκαι, εἰς τὸ καὶ αὖθις τῶν οὐδῶν ἐπιβῆναι τῶν πατρικῶν, λυθείσης τῆς ἀποκηρύξεως. Ἤδειν γὰρ ὡς, ὃν ἐλύπει ἡ ῥᾳθυμία, ἡ σπουδὴ εὐφρανεῖ, καί, ὃν ἀπεκήρυττε ῥᾳθυμοῦντα, σπουδάσαντα εἰςοικίσεται.

Διὰ τοῦτο καὶ μύωπα ἔχων διηνεκῆ, τὴν ἀπὸ τοῦ πατρὸς ἀλλοτρίωσιν, οὐκ ἠγάπων ἀργὸς καθήμενος, ἀλλὰ νύκτωρ καὶ μεθ' ἡμέραν πᾶσαν ἐκίνουν διάνοιαν, ποῖ πορευθῶ καὶ τί πράξομαι. « Στρατεύσομαι » εἶπον « καὶ κατὰ πόλεμον ἀγωνίσομαι, καὶ πλοῦτος ἐμοὶ τὰ τῶν πεσόντων ὅπλα γενήσονται; μισθαρνήσω τῷ βουλομένῳ παντί, καὶ ὁ μισθὸς τροφὴ μὲν ἔσται, ἔσται δὲ καὶ εἰς μετρίαν περιουσίαν ἐμοί; τέχνην μεταχειρίσω, κἀντεῦθεν οὐκ ἀπορήσω τῶν ἀναγκαίων »;

[1] Codex οἰκείων, superscripto ἰδί, ut fiat ἰδίων. Horum vocabulorum permutatio frequentissima. Exempla vide plurima a me collecta ad Theophylactum Simoc. p. 187; collato Diodoro Sic. 1, 28, p. 81; Athenagora De Res. p. 203 H. St. Asclepius ad Hammonem post Pœmandrum, p. 97 : ἀεὶ δὲ καὶ ὡςαύτως ἔχων τῆς ἰδίας ἐπιστήμης. Codex 1220, οἰκεία.

[2] Sic codex, ἔσεται. Voluisse puto scribere vel suum ἐσεῖται, vel melius ἔσται. Et forsitan deest εἰς in proximis : εὐπειθείας εἰς ὅ τι βουλ.

[3] Ἐκ τῶν δυνατῶν] vide p. 112, n. 4.

[4] Cod, εὐφράναι. Mutatione accentus utiliore poterit intelligi, qui nunc sensu fere caret, locus Libanii, t. IV, p. 827 : ἵν' οὖν μὴ τοῦτο παθὼν τοῦ γε θανάτου διαμάρτοιμι, καὶ χρήματα προςθεὶς ζωήν, βίον θανάτου πολὺ χαλεπώτερον, τὸν μὲν ἐπιζήμιον ἐκεῖνον θάνατον ἀπολέλοιπα. Scribendum videtur : καί, χρήματα προςθείς, ζῴην βίον....

Τέλος διασκοπουμένῳ ἐδόκει ἀποδημεῖν καὶ ἐμπορίαις προςανέχειν, τόπον ἐκ τόπου διερχομένῳ καὶ διατιθεμένῳ τὰ ὤνια. Κἀπειδὴ πλεῖν δεῖν ᾠήθην, σκοποῦμαι καὶ τοῦτο κατ' ἐμαυτόν, ὡς πολλοῖς ἡ τύχη καὶ μᾶλλον ἐπὶ θαλάσσης ἐπένευσε, καὶ ἐξ ἀπόρων εὐπόρους[1] εὐθὺς ἔδειξεν, ἀνδρισαμένους τὰ εἰκότα πρὸς κλύδωνας. « Εἰ νηὸς ἐπιβῶ, ἔστι μὲν καὶ περαιωθῆναι οὗ βούλομαι· ἔστι δέ, καὶ τοῦ Ποσειδῶνος μηνίσαντος, καὶ πλέον τοῦ εἰκότος ἀνδρίσασθαι. Καὶ ἴσως, τῶν ἄλλων διαδράντων, ἐμὲ τῇ κλυδωνιζομένῃ ἐπιμεῖναι νηΐ, καὶ παραχρῆμα ἢ ταύτῃ συγκαταδύσομαι, ἢ πλουτήσω, τοῦ νόμου κελεύοντος ».

Τούτους ἔχων τοὺς λογισμούς, ἐπιϐαίνω. Καὶ τὸ πλοῖον ἦν πατρικόν. Ἀλλ' ὅμως ὡς μηδὲν προςήκων, ἀλλὰ κατὰ τοὺς ἄλλους, ὡς ξένος καὶ κομιδῇ τις ἀλλότριος, οὕτως συνῆν τοῖς ἑτέροις[2], μηδὲν πολυπραγμονῶν, μὴ τίς ὁ φόρτος καὶ τίνων καὶ ἐπὶ τί, μὴ τίνες οἱ ἐπιστάται, μὴ πῶς ἐκεῖνοι καὶ οὐχί τινες ἕτεροι· μηδὲν ἐρωτῶν περὶ τοῦ κτωμένου τὴν ναῦν, εἰ εὐμενῶς ἀπέπεμπεν, εἰ δυςκόλως, εἰ μνείαν ἔσχε κἀμοῦ μεταξὺ τὰ ἐς πλόον ἑτοιμαζόμενος. Κἄν τίς ἐκείνων περὶ ἐμοῦ πρὸς τὸν πλησίον ἠρώτα, εἰ οὗτος υἱὸς ἐκείνου, ὁ χθὲς καὶ πρώην ἀτιμωθείς· καὶ πῶς οὕτως

[1] Cod. ἀπόρους, permutatis, ut fieri amat, syllabis α ευ. Aristoteles Epist. 3 : καλὸν καὶ δίκαιόν ἐστι πάντας μὲν τοὺς ἀτυχοῦντας ἐλεεῖν. Codices duo, τοὺς ἀναξίως εὐτυχοῦντας· alter quidem ἀναξίας, sed est lapsus calami pro ἀναξίως. Scribendum ἀναξίως ἀτυχ. Nam εὐτυχ. integro loco non convenit. In transcursu lacunam aliam sextæ inter Aristotelicas epistolæ, quæ esse dicitur Philippi, replebo : ἡμᾶς ἀφροντιστοῦντας τοῦ καλοῦ ἀναγκάσεις καὶ τὸν τῶν καλῶν ἀναλαμϐάνειν ζῆλον. Codices tres, καλοῦ καθ' ὑπερϐολήν.

[2] Forsan ἑταίροις pro ἑτέροις. Permutatio vocalium αι ε in illis vocabulis passim obtinet, et in infinitivis. Vir doct. in Anecd. Paris. t. IV, p. 316 versus edidit ubi τραυματίζεσθε, male. In alio codice recte scriptum reperi τραυματίζεσθαι. Quum non omnino careant elegantia, eos repetere libet paulo emendatiores : Οἴμοι! καθ' ἡμῶν καὶ πάλιν τὰ πυρφόρα Πέμπει φλογίζων καρδιῶν ὁ τοξότης Βέλη, τὰ πικρὰ καὶ μέλιτος ἡδίω (legerat apud Meleagrum, τὸ γλυκύπικρον Ἔρωτος βέλος), Βέλη τὰ δεινὰ καὶ ποθεινὰ τῇ νόσῳ. Ἕστηκα βληθείς, ἐξερύσαι δ' οὐ θέλω. Ὠθῶ καθ' αὑτοῦ τὸ ξίφος, θανεῖν θέλω. Ποθῶ φλέγεσθαι, τραυματίζεσθαι πλέον. Ὢ δεινὰ δεινῶν! ποῖον ὕδωρ τὴν φλόγα Σϐέσει; τὸ πικρὸν ποῖον ἑλκύσει βέλος; Ὕδωρ τὸ σὸν ζῶν, Χριστέ μου, καὶ σὸς λόγος. Χρῆσαι, λυτρωτά, συντόμως τοῖς φαρμάκοις. Simile, ac melius epigramma vide in notis ad Philostrati Epistolas p. 140 et in Anecd. Paris. t. IV, p. 348.

ἔχω μηδὲν φροντίζων τῶν πατρικῶν, αὐτὸς παρών· « Ἤμην υἱός ποτε, ἤμην » ἔλεγον· « νῦν δέ, δόξαν τῷ πατρί, οὐκ εἰμί ». — « Τί δέ; καὶ οὐ μέλει σοι » ἦδ' ὅς, « τῆς ἀποκηρύξεως »; — « Καὶ εἰ μέλει μοι », ἦν δ' ἐγώ, « τί πλέον ἔξω τοῦ μόνον ἀναξαίνειν τὸ πάθος, καὶ τὴν ἐμὴν βλασφημεῖν τύχην; οὐδὲ γὰρ εἴποιμι τὸν πατέρα· αὕτη γὰρ κατ' ἐμοῦ καὶ τὸν πατέρα ἠρέθισεν ». Οὕτως ἐγὼ περὶ τὸ συμβὰν ἐδόκουν ἀνάλγητος, ὡς καὶ θαῦμα παρέχειν πῶς καὶ μέχρι λόγου τῶν πατρικῶν οὐ θέλοιμι κοινωνεῖν.

Τέως εἰς ἡμέρας τινὰς εὐμενοῦς τοῦ Ποσειδῶνος τυγχάνοντος ἐξ οὐρίων ἐπλέομεν[1]. Καὶ ἦμεν ἕκαστος τὸ καθ' ἑαυτὸν ζητῶν ποῦ, προςχόντος τοῦ πλοίου, περαιωθεὶς ἀπέλθοι τὴν ἀναγκαίαν, τὸ πορθμίον[2] μόνον καταβαλλόμενος.

Ταῦτα σκοπουμένων ἡμῶν, ἐξαίφνης συνίσταται νέφος κατ' οὐρανόν, καὶ λαῖλαψ ἐκπίπτει δεινή, καὶ κῦμα αἴρεται φοβερόν. Σὺν δ' Εὖρός τε Νότος τε συμβάλλουσιν ἐν ταὐτῷ, καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων, ὀρώρει δ' οὐρανόθεν νύξ, καὶ καταιγὶς ἀργία κυμαίνει τὴν θάλασσαν[3]. Τότε δὴ τότε ὅπλα πάντα νεὼς καὶ λαῖφος καὶ πρότονα ἧττονα ὄντα τῆς καταιγίδος ἠλέγχοντο· καὶ τὸ μὲν ἐρρήσσετο, τὰ δ' ἐτέμνοντο, τὰ δὲ τῆς νηὸς[4] ἀπολυθέντα μάτην ἐφέροντο. Ὁ δ' ἐπὶ τῶν οἰάκων φοβερὸν οἷον καὶ λαμπρὸν ἐξετραγῴδει τὸν κίνδυνον, καὶ πρῶτος τῆς σωτηρίας αὐτὸς ἀπογνούς, βάλλει κατὰ θαλάσσης αὐτόν, ἀσφαλέστερον κρίνας τὸ ἐπὶ γυμνῆς τῆς θαλάσσης πλεῖν ἢ ἐπ' ἐκείνης τῆς ὅσον οὔπω ὑποβρυχίου γενησομένης νηός· μετ' ἐκεῖνον δ' ἄλλος, καὶ

[1] Quod hic sensu proprio dictum est, πλεῖν ἐξ οὐρίων vel ἐξ οὐρίας, sæpe metaphorice usurpatum illustravi ad Choricium, pp. 82, 242.

[2] Præstaret scriptura πορθμεῖον.

[3] Homerum fere describit Od. 5, 294: ὀρώρει δ' οὐρανόθεν νύξ, Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυςαής, Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων. Codex, αἰθριγενέτης, et μετά pro μέγα. Hoc poterat servari quidem; nam in loco memoriter allegato mutationes sæpe fiunt, et facilis confusio vocabulorum μέγα et μετά. Sed scripto μετά scribendum fuisset et κυλινδῶν. Homerici loci meminit et Hist. Mich. Palæol. 5, 21: καὶ νὺξ μὲν οὐκ οὐρανόθεν ὀρώρει, ἀλλ' ἣν ταῖς ἀληθείαις νὺξ ἡ σκιὰ γῆς καὶ συνήθης....

[4] Codex, νηῶς. Scripsi νηός, potuissem et νεώς scribere. Non sibi constat sophista vel librarius in flexione. Forma νηός mox redibit sæpius, et est ubi ipse librarius, scripto νηώς, ipse litteram minorem rescripsit. Sic fluctuat in scribendo νηῶν νεῶν. Vide p. 74, n. 5.

αὖθις ἄλλος, καὶ ἁπλῶς πάντες, ἐῶντες τὸ πλοῖον, τῇ θαλάσσῃ ἐπίστευον ἑαυτούς.

Ὡς δ' ἀνανεύσας μόλις ἐγὼ τῆς πολλῆς ἐκείνης ἀθυμίας, καὶ τοὺς ὀφθαλμοὺς ἀνοίξας, οὐδένα μὲν ἐντὸς τῆς νηὸς καθορῶ, ἄλλον δ' ἀλλαχόθεν τῇ θαλάσσῃ ὥς τι τῶν ὑγροδιαίτων ὀρνέων φερόμενον, συνυπήχθην τότε κἀγώ, καί, περὶ ἐμαυτῷ τὰ ἔσχατα δειλιάσας, μικρὸν ἂν καὶ κατέπεσον καθ' ὑδάτων, εἰ μή μέ τις λογισμὸς ἄλλος βελτίων κατέσχε καὶ γενναιότερος. Ἐλογιζόμην γὰρ ὡς πάντες μὲν τεθνηξόμεθα, καὶ οὐδεὶς ὅςτις, γενέσει δοθείς, τὴν ἐςάει ζήσει ζωήν, καὶ δεινὸν μὲν τὸ πρὸς κῦμα χανόντα θανεῖν[1], δεινὸν δὲ μᾶλλον εἰ ζῇ τις ἀτιμίᾳ προςταλαιπωρῶν καὶ πενίᾳ ἥκιστα φορητῇ.

« Ἰδοὺ τοίνυν » εἶπον, « ἔρημος δεσποτῶν ἡ ναῦς καὶ τὰ ἐν αὐτῇ· μέσον δὲ θαλάττης καὶ τύχης κυβιστᾷ τὰ ἡμέτερα. Ἣ γοῦν θαλάττης ὅλως γενήσονται τά ποτε τοῦ πατρός, ἢ τύχης ἕρμαιον. Πλὴν τὸ καταδύναι[2] ταύτην ἐξ ἀνάγκης ἐσεῖται, καὶ μηδενὸς συνεργήσαντος· ἔστι γὰρ μόνου τοῦ φέροντος κλύδωνος. Τὸ δέ γε σωθῆναι δυςχερὲς μὲν[3] ἢ ὅσον καὶ νοῆσαί τινα. Πλὴν τῷ ἀποκλήρῳ ἐπιχειρητέα καὶ τὰ ἀδύνατα, ὡς ἢ κερδήσοντι, ἢ ἐξαπολουμένῳ τέλεον. Ἀγωνιστέον τοίνυν τῷ ἀποκηρύκτῳ μετὰ τῆς τύχης· καὶ ἴσως εὐμενοῦς φανείσης αὐτῆς, ἐσεῖται καὶ τὸ ἐπ' ἔλαττον[4]. Ἐν τούτῳ γὰρ αὔτη ἐστήκει καὶ τὴν ἕδραν ἴσχει, εἰ μόνον τις οὐκ ἀπογνώσεται. Ἐξελᾷ πατὴρ τῶν πραγμάτων οἰκείων ὄντων; ἀλλ' εἰςελάσει τυχὸν ἡ τύχη, οἰκειωσαμένη τὰ τοῦ πατρός· καὶ οὐ πατρὸς κλῆρος[5], ἀλλὰ τύχης ἕρμαιον ὁ φόρτος γενήσεται. Ἀποκληροῖ πατὴρ τῶν οἰκείων; οὐ μὴν δὲ καὶ τῶν ἀλλοτρίων ἀποστερεῖν ἐθέλει, κἂν ἀπὸ τύχης γένωνται. Ἔστι καὶ σοφὸς λόγος καὶ παλαιός, ὡς οὐκ ἀεὶ τοῖς αὐτοῖς ὁ αὐτὸς δαίμων παραστατεῖ[6]· κἂν σκληρὸς ἦν τότε, ἀλλ' ἴσως τῷ τέως ἐπιγελάσει μοι ἥμερον ».

[1] Et id ex Homero Od. 12, 350 : Βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι. Et sic Declamatione XII.

[2] Codex, καταδῦναι.

[3] Subauditur μᾶλλον.

[4] Sic codex.

[5] Codex, κλῆρον.

[6] Sophocles Electra, 911 : τοῖς αὐτοῖσί τοι Οὐχ αὑτὸς ἀεὶ δαιμόνων παραστατεῖ.

Ταῦτ' εἰπών, καὶ τούτοις, ὡς εἰκός, ἐμαυτὸν συγκροτήσας[1], ὅλος γενναίως ἵσταμαι πρὸς τὸν κλύδωνα, καὶ κοντοῖς καὶ κώπαις μόνος αὐτὸς καὶ μηδένα ἔχων τὸν συνεργοῦντα, ἀπευθύνειν πειρῶμαι τὴν ναῦν.

Ἀλλὰ τοὐντεῦθεν πέλαγος ἄλλο τῶν λογισμῶν ἀνέῤῥωγε φοβερόν. Μόνον γὰρ διηγούμενος φρίττω, καὶ πρὸς ἐκείνῳ τῷ κινδύνῳ γίνομαι. Ὦ ποσάκις συνεδυθίσθην τῷ πλοίῳ, καὶ πάλιν, ὡς ἀπό τινος χειρὸς ἀναγόμενος, μετέωρον εἶχον ὁρᾷν καὶ ἐμαυτὸν καὶ τὴν ναῦν! Ὦ ποσάκις ἀπεῤῥόφουν τοῦ κύματος, καὶ τὴν πνιγμονὴν ὑφιστάμην ὡς παροῦσαν, ἀλλ' οὐχ ὡς μέλλουσαν! Ποσάκις δὲ καὶ ἐπὶ τῶν καταστρωμάτων κατέπιπτον, μηδὲν ἔχων ἔρεισμα τοῖς ποσί! Ποσάκις ἔλεγον· « Εὐδαίμονες ὄντως οἱ ἀποδράντες, κἂν ὕδωρ πιόντες ἁλμυρὸν ἐξαπόλωλον[2]· ἄθλιος δ' ἐγὼ καὶ τρισάθλιος οὕτω πάσχων καὶ τόσοις μαχόμενος. Καὶ ἄνωθεν μὲν σφοδραὶ τῶν ἀνέμων πνοαί, κάτωθεν δὲ ἄγριαι καταιγίδες καὶ κύματα, τὰ δὲ δεινὰ περιστοιχίζουσι κύκλωθεν· καὶ μέσος ἐγὼ τῶν τοσούτων καὶ τηλικούτων κακῶν ».

Ἀλλὰ τί χρὴ λέγοντα διατρίβειν, καὶ τὰ τῆς νυκτὸς ἐκείνης ἐπάγειν φοβερὰ δείματα; Ἐπέφωσκεν ἡ ἡμέρα, καὶ τοῦ Ποσειδῶνος μόλις ἐτύγχανον ἵλεω. Εὐθὺς γὰρ οὔπω τελέως αἱ τοῦ ἡλίου ἀκτῖνες τῇ γῇ προσέβαλον, καὶ παύουσι μὲν τὰ σφοδρὰ ἐκεῖνα καὶ χαλεπὰ πνεύματα, κοιμίζονται[3] δὲ τὰ ἄγρια κύματα, θάλασσά τε γαληνιᾷ, καὶ τὰ μετεωρίσματα ταύτης καταστορέννυνται[4],

[1] P. 152 : λογισμοῖς τισὶν ἐμαυτὸν συγκροτῶ. Et hic fortasse omissum est λογισμοῖς, ni mente supplendum.

[2] Sic codex. Ex nota persona singulari ὄλωλεν, quæ est ab ὄλωλα, finxit fortasse pluralem tertiam ὄλωλον.

[3] Codex, κυμίζονται.

[4] Metaphoram verbi καταστρώννυμι, καταστορέω illustrant interpretes Alciphronis ad prima primæ epistolæ verba : χρηστὴν ἡμῖν ἡ θάλασσα τοτήμερον εἶναι τὴν γαλήνην ἐστόρησεν. Procopius Gazæus Epist. 52 Maianæ : ἔδει.... διδάσκειν ποθοῦντας εἴ σοι γέγονεν εὐμενὴς ὁ Ποσειδῶν καὶ τῇ νηῒ σὴν (imo τὴν) θάλατταν ὑπεστόρησεν. Basilius M. Hom. Mor. p. 385 : τὴν ἀγριαίνουσαν καὶ βρασσομένην τῷ κλύδωνι (θάλασσαν) βαθεῖα γαλήνη κατεστόρησεν. Theodoretus Provid. 1, p. 21 : θάλασσα ἐστορεσμένη καὶ τῆς χειμερινῆς ἀπηλλαγμένη τραχύτητος. Qui locus tueri poterit Themistium sic editum Orat. 15, p. 239, 3, τῶν κυμάτων τὰ μὲν κατεστόρεσται ἤδη, contra propositam correctionem κατεστόρηται. Poeta Anthologiæ, 1, 118, ad Christum : Ἀλλ', ὦ γαλήνη καὶ στορεστὰ τῆς ζάλης. Gregorius Presb. V. Naz. p. 5 : ἡ τέως

καὶ αὖρά τις πνέει λεπτὴ ζεφύρου τινός, οἶμαι, καὶ ἡ ἐμὴ καρδία καθίσταται. Ἀνανεύω τοίνυν, καὶ μόλις ὁρῶ γῆν, καί, ὡς εἶχον, πρὸς ἐκείνην τὴν ναῦν ἴθυνον, οὐ κώπαις χρώμενος, οὐ πηδαλίῳ κυβερνῶν ἢ κυβερνώμενος, οὐ προτόνοις καὶ λαίφει τὰ ἐς τὸν πλοῦν εὐθετῶν (πάντα γὰρ τῆς θαλάσσης γεγόνεισαν), ἀλλά που σανίσι κειμέναις, ἅς, οἶμαι, τῆς νηὸς ἐκσπασθείσας, κειμένας εὗρον ἐκεῖ. Ταύταις δὴ καὶ μόναις διασαλεύων τὸ ὕδωρ καὶ τὴν ναῦν κυβερνῶν, δυςχερῶς μὲν καὶ μόλις, τέως δ' οὖν, μετὰ τὸν πολὺν ἐκεῖνον ἆθλον, τῇ γῇ[1] προςίσχω τὴν ναῦν, καὶ προςπεσών, καὶ τὴν γῆν ἀσπασάμενος, πολὺν χρόνον ἐν ταύτῃ κείμενος ἐνησμένιζον.

Εἶτα συνάγω τὸν νοῦν καὶ τὸν λογισμὸν συνιστῶ. Καὶ ἄρτι πρώτως ἠρξάμην σκοπεῖν εἴ που τι τῆς νηὸς καταλέλειπται, καὶ ζητήσας εὗρον, καὶ δεσπότην πραγμάτων κατανοῶ ἐμαυτόν, ἀκριβῶς τὸν νόμον εἰδὼς καὶ τί προςτάττει τῷ ἐπιμείναντι. Δεσπότην[2] γὰρ καθίστησι τῆς νηὸς καὶ τῶν ἐν αὐτῇ πάντων, ὃς ἂν ἐπιμείνοι, τῶν ἄλλων ἀποδράντων, χειμαζομένῃ νηῒ κατὰ θάλατταν.

Ἐπέμεινα τοίνυν, καὶ στεῤῥῶς μέχρι καὶ αὐτοῦ θανάτου ἠγώνισμαι, καὶ θαλάττης κτῆμα μόνης οὖσαν τὴν ναῦν δι' ἐκείνων τῶν πολλῶν μου κόπων καὶ μόχθων περιπεποίημαι ἐμαυτῷ. Καὶ κτῆμα ἔχω οὐ κατά τινα κλῆρον τὸν ἐκ πατέρων, οἷα γίνεται τοῖς πολλοῖς, ἀλλ' ἐκ σπουδῆς καὶ ἀγώνων μεγίστων, ὃ δή τισι καὶ σπάνιον γίνεται.

Καὶ ἤλπιζον μὲν ἐντεῦθεν μηδένα ἔχειν τὸν ἀντεροῦντα, ἀλλὰ πάντας τὸν νόμον εἰδότας εὐδαίμονα καλεῖν ἐμέ, οὕτως ἐν ἀκαρεῖ πλουτήσαντα, καὶ τὸ τῆς ἀποκηρύξεως αἶσχος ἀποκρυψάμενον.

ἀγρία κατεστορέσθη θάλασσα. Exemplum liceat superaddere ex Leonidæ Epigrammate Anth. 7, 668, Οὐδ' εἴ μοι γελόωσα καταστορέσειε Γαλήνη Κύματα· non quidem ob exemplum ipsum, sed ut moneam epigrammatis ejus, quod est ἰσόψηφον, distichon unumquodque summam efficere 6576, idque declarari glossa ϛφοϛ', sed eo modo in impressis exhibita, ut quid velit vix queat lector divinare. Numerorum inii computationem, et camdem ac glossator summam inveni.

[1] Codex, τὴν γῆν. Scripsi τῇ γῇ. Vel fuerit scribendum ἐς τὴν γῆν, πρὸς τὴν γῆν. Quum statim τὴν γῆν sequatur, mea lectio auribus accidit suavior. Eodem modo corrigendus Himerius Or. 3, 16: αὖραι ταύτην λιγυρὸν ἐπηχοῦσαι πέμπουσιν. Bene codex ταύτῃ, recipiendum.

[2] Schol.: ἡ ἀπὸ ῥητοῦ προβολή.

Πλήν, ἀλλὰ γὰρ ὁ φθόνος δεινὸς ψαύειν καὶ τῶν ἀψαύστων, ὡς ἕρπων κατὰ παντὸς ἔχοντος[1], ἐγείρεταί ποθεν οὗτος, καὶ συγκροτεῖ δικαστὰς[2] καθ' οὗπερ ἡ τύχη πάλαι[3], καὶ ἀποκλείειν πειρᾶται ὧν ἡ τύχη δέδωκε, καὶ ἄλλον προτείνει νόμον, καλὸν μὲν καὶ αὐτὸν καὶ ἥκιστα καταφρονεῖσθαι ἄξιον, οὐ μὴν δὲ καὶ τοῖς ἐμοῖς προςήκοντα οὐδαμῶς. « Ἀποκλήρῳ[4] γὰρ ὄντι » φησίν « οὐ μετόν σοι τῶν πατρικῶν. Ὁ γὰρ ἀποκήρυκτος, ὁ νόμος λέγει, τῶν πατρῴων μὴ μετεχέτω ». Καὶ τὸ ῥητὸν προβαλλόμενος, τὴν διάνοιαν οὐ σκοπεῖ, μὴ εἰδὼς ἄντικρυς ὡς πολλά τινα ἔσφηλε καὶ πάλιν κατώρθωσεν ἡ τῶν λόγων διάνοια.

Ἀποκήρυκτος εἰμί, φημὶ κἀγώ, καί, τὸν νόμον[5] εἰδώς, ἀπέχω τῶν πατρικῶν. Πότε γὰρ καὶ τίς εἶδε μετὰ[6] τὴν ἀποκήρυξιν κληρονομίας πατρικῆς ἀντεχόμενον, καὶ νῦν μὲν ἁρπάζοντα τὰ πατρῷα, νῦν δὲ καί, παρὰ τὴν ἐκείνου γνώμην, ἑαυτὸν εἰςωθοῦντα τῆς οἰκίας ἐντὸς καὶ ζητοῦντα κληρονομεῖν; τοῦτο γὰρ ὁ νόμος[7] κωλύει· τοῦτο νοεῖ, τὸν ἅπαξ τῷ γεγεννηκότι ἀπηχθημένον μηδὲν λαμβάνειν τῶν τοῦ πατρός. Οὐδὲ γὰρ υἱὸς τοῦ λοιποῦ χρόνου, ἐξ οὗπερ ἀποκεκήρυκτο· υἱὸς δὲ μὴ ὢν τῇ βουλήσει τῇ πατρικῇ, πῶς ἂν κληρονόμος γένοιτο; ἅπαξ γέγονα ξένος ὧν μέτεστι τοῖς

[1] Præivit Sophocles. Vide p. 131, n. 2.

[2] Συγκροτεῖ δικαστάς] videsis p. 20, n 3.

[3] Scilicet συνεκρότησεν.

[4] Schol.: ἑτέρα ῥητοῦ προβολή.

[5] Codex, τῶν νόμων, superscripto ὂν ον, ut legatur τὸν νόμον. Ubique pronunciatio vocales ω ο confundit. Symeon Sethi Ichnel. p. 122 : εἰ μόνον ὁ βασιλεὺς βουληθείη, βοηθήσωμεν ὑμῖν. Imo βοηθήσομεν. Idem, p. 211 : ἐρευνήσομεν.... καὶ κατορύξωμεν. Sed duplex sit subjunctivus. Idem, p. 18 : οὐκ ἂν σε μετακινήσωμεν ἢ μετοικήσωμεν. Reponendum duplex futurum. Nam recentiores sic sæpe particulam ἂν construunt. Vide n. 2, p. 81, et ad Anecdota mea Gr. t. II, p. 12.

[6] Fortasse excidit με, ut fuerit olim εἶδέ με μετά.... Syllabæ similes, quum vicinæ, sæpius sibi nocent. Libanius, t. IV, p. 193 : διαφορὰ δ' οὐ μία παρ' αὐτῷ, οὐδ' ἐξαίρετος τιμή. Melius in codice 3017 : δ. δ' οὐδεμία π. α. ο. ἐξαίρετός τις τιμή. Idem, p. 663 : εἴθε μηδὲ περὶ τοὺς θεοὺς ἐμεμήνεις! Codex : εἴθε μοι μηδέ.... Similes sunt syllabæ, si recte efferantur : ἴθε μι μιδέ.... Idem, p. 656 : ἵνα μὴ βαρυτέραν τὴν πενίαν ποιῇ φαινόμενος. Et hic opportune codex : ἵνα μοι μὴ β.... Aristides Orat. 23, p. 446 : αἰτία δ' οὐχ ἥκιστα ἡ συνέχεια τῶν χειμώνων, ἣν οὐδὲ κέραμος οὐδεὶς ἐνέγκαι ἐλέγετο. Codex 1040, χειμώνων ἦν οὐδέ. Puto fuisse bis ην ab oratore scriptum : χειμώνων ἦν, ἣν οὐδέ....

[7] Schol.: διάνοια τοῦ ῥητοῦ καὶ τοῦ νομοθέτου.

γνησίοις· οὐκ ἀντιποιήσομαι πώποτε, οὐκ ὀχλήσω τὸν πατέρα, οὐ διαμαχέσομαι πρὸς τούς ποτε ἀδελφούς· οὐ μοῖραν ζητήσω ἧς ἀλλότριος γέγονα. Ἀδελφοὺς οὐ τολμῶ λέγειν, καὶ συμμετασχεῖν τούτοις ἀξιώσω τοῦ κλήρου; πατέρα τόν ποτε λέγω[1], καὶ νῦν λαμβάνειν διϊσχυρίσομαι ὧν οὗτος ἀπεβουκόλεσε; πρέπον ἂν ἦν καὶ τοῦτο τῷ ἐμῷ δαίμονι, εἰ πρὸς τῇ δυςτυχίᾳ, καὶ μωρίαν ὀφλήσω, ζητῶν τὰ μηδόλως προςήκοντα.

Εἰ μὲν γὰρ ὡς κληρονομήσων ἀντέχομαι, ὡς παράνομον κρῖνε, καὶ λίθοις με βάλλε, καί που καὶ ἐς Κυνόσαργες ἀποπέμπου[2], ἢ μὴν εἰς κόρακας[3]· προβαλοῦ τὸν νόμον, καὶ καταδίκαζε· ἐξηγοῦ, καὶ κατάκρινε· « Τί πάρει κληρονομήσων ὁ ξένος » λέγε, « καὶ μηδὲν προςήκων τοῖς πατρικοῖς; Νόμος, καὶ ζῶντος τοῦ πατρός, τὴν ἀποκήρυξιν ἐβεβαίωσε, νόμος καὶ θανόντος τὴν ἀλλοτρίωσιν βεβαιοῖ. Καὶ πᾶς τις ἄλλος κληρονομήσει μᾶλλον ἢ σύ, ὁ νόμῳ ἀποκλειόμενος »· ταῦτα λέγε, καὶ μὴ ἀξίου τὸν μηδὲν μετέχοντα. Εἰ δ', ὅτι ναῦς πατρικὴ καὶ κλύδων θαλάσσιος, καὶ μόνος ἐγώ, τῶν ἄλλων ἀποφυγόντων, πρὸς ἐκεῖνον ἀντέστην, καί, τὴν ψυχὴν

[1] Πατέρα τόν ποτε λέγω] inde videtur superius scribendum : οὐκ ὀχλήσω τόν ποτε πατέρα.

[2] Κυνόσαργες locus fuit Athenis, quo nothi olim abjiciebantur. Ejus fit mentio passim. Vide Psellum Opuscc. p. 105, cum mea nota; Bartholinum De Puerperio, p. 78. Gregorius Naz. Or. 3, p. 99 : τἄλλα δὲ ἀπεῤῥίφθαι εἰς Κυνόσαργες, ὥςπερ τὸ πάλαι τοὺς νόθους. Adde Nicephorum in nota seq.

[3] Loquutio attica, sæpe ab Aristophane usurpata, qua malum alicui imprecabantur. Videsis, inter multos alios, Erasmum Adagio « ad corvos abi », Chil. 2, 2, 96. Codex, quem sequor, εἰς κόρακας. Forsan scripserat auctor ipse ἐς κόρακας, quod unice apud Atticos in usu fuisse tradit Helladius. Nicephorus De Imag., a me adductus ad Anecd. Gr. t. II, p. 413 : ἀπεῤῥίφθω εἰς μακράν, οἰχέσθω ἐς κόρακας, ἀποπεμπέσθω ἐς Κυνόσαργες. Et hodie adhuc hæc dirarum formula vigere videtur. Λαζαρᾶς vir d. Φάσματι Μάρκου δεινοπαθοῦντι, p. 30 : Εἰς βάραθρον, εἰς κόρακας οἱ ἄνδρες τῶν αἱμάτων ! Και ζήτωσαν οἱ Ἕλληνες, υἱοὶ τῶν ἀθανάτων. Non exhibui editionis mendum εἰς κόρακος. Isti ἄνδρες τῶν αἱμάτων Turci sunt ἄσπλαγχνοι, ὠμοὶ καὶ παλαμναῖοι. Corayus Dialogo altero Democharis et Pasicharis, p. 35 : στεῖλέ τους εἰς τοὺς κόρακας. Utuntur imprecatione alia quæ plus habet novitatis. Si cui maledicunt, eum mittunt Cairum. Al. Sutsus Satira : Τὴν πτωχὴν αὐτὴν θεάν σου εἰς τὸ Κάϊρο δὲν στέλλεις; ibi egregius poeta : εἰς τὴν Πελοπόννησον, καὶ μάλιστα εἰς τὴν Λακεδαίμονα, μεταχειρίζονται διὰ κατάραν τὸ « ἂς πάγῃ στὸ Κάϊρο! στεῖλέ τον εἰς τὸ Κάϊρο », αἱ ὁποῖαι φράσεις ἰσοδυναμοῦσι μὲ τό « ἂς πάγῃ στὸν Διάβολο! στεῖλέ τον εἰς τὸν Διάβολον! »

παραβαλλόμενος πρὸς τὰ τῆς θαλάσσης[1], ἐμαυτὸν περιεσωσάμην, καὶ ἔχω ταῦτα λαβών, τοῦ νόμου κελεύοντος καὶ τὴν ναῦν παρεχομένου τῷ ἐπιμείναντι, τί[2] ἀπαυθαδίζῃ καὶ λέγεις, καὶ ἀφαιρεῖσθαι πειρᾷ τὸ τῶν ἐμῶν δῶρον πόνων, εἴπω δὲ καὶ τῆς τύχης ἕρμαιον; ἐς τί γάρ[3] καὶ βλέπων ὁ νομοθέτης μεγάλῳ μισθῷ τὸν ἐπιμείναντα δικαιοῖ; Ἦ[4] πάντως ὅτι καὶ περὶ ψυχῆς ὁ κίνδυνος, ἧς οὐδὲν μεῖζον ἀνθρώπῳ, κἂν ὅ τι ἂν φήσῃ τις. Δίκαιον δὲ δή που ἀναλόγους τοῖς κόποις προκεῖσθαι καὶ τοὺς μισθούς, ἵν' εἴ πού τις καὶ ῥαθυμεῖν ἔχοι καὶ δειλιᾷν πρὸς οὕτω μέγιστον κίνδυνον, ἀποβλέπων πρὸς τὸν μισθὸν ῥωννύηται, ὡς ἢ τὰ ἔσχατα πεισόμενος τῶν κακῶν, ἢ τὰ τῶν ἀγαθῶν μέγιστα κομιούμενος.

Ὥςτε δυοῖν προκειμένοιν νόμοιν, οὐ παρανομῶ καθ' ἑκάτερον· οὔτε γὰρ ἀντιποιοῦμαι ὡς κληρονόμος ὢν οὐ μετὸν ἐμοί, καὶ ἐπιμείνας δεσπότης γίνομαι τῆς νηός.

Εἰ δὲ ζητεῖς[5] πῶς ὁ νομοθέτης οὐ προςδιώρισεν ἐπὶ τοῦ τῶν ἀποκλήρων νόμου, τὸ μόνως οὕτως μὴ μετέχειν τῶν πατρικῶν, ὅταν ὡς κληρονομήσων βιάζηται, ζητήσω κἀγὼ πῶς καὶ ἐπὶ τοῦ ἐπιμείναντος οὐ προςδιώρισε, λέγων· « πλὴν μὴ ἔστω ἀπόκληρος ». Ἀλλ' ὥςπερ σὺ ἀπολογούμενος εἴποις ὅτι ὡς δῆλον παρέλειψεν, οὕτω κἀγὼ ἀποκρίνομαι[6].

[1] Ad εἰ δ' subaudio ἀντέχομαι ex præcedente membro εἰ μὲν γάρ. Pronomen ἐκεῖνον refero ad κλύδων. Ante τὰ τῆς θαλάσσης addidi πρός.

[2] Addidi τί post ἐπιμείναντι, favente illa omissionum lege, de qua modo dixi p. 144, n. 4.

[3] Schol.: ἑτέρα διάνοια τοῦ ἑτέρου νόμου καὶ τοῦ νομοθέτου.

[4] Codex, ἤ. Scripsi ἦ « utique ». Et sic infra p. 147. Libanius, t. I, p. 508: τίνα μέν τοι, τίνα θεῶν αἰτιατέον; ἦ πάντας ὁμοίως; ἐκλιπόντας φρουρὰν ἣν ὤφειλον τῇ γενναίᾳ κεφαλῇ.... Malim ἦ πάντας ὁμοίως, ἐκλιπ. « omnes, omnes utique ». Est in repetitione τίνα μέντοι τίνα θεῶν coloris aliquid Platonici. Vide n. ad Aristæn. p. 632.

[5] Schol.: τὸ μὴ προςδιωρίσθαι, ὅπερ ἐξισάζον μεθοδεύεται.

[6] Cod., ἀποκρίνωμαι scripto ο super penultima. Sic commutantur ubique ω et ο. Gætulicus Anth. 6, 190: Λάζεο.... Καὶ ψαιστῶν ὀλίγων δρᾶγμα πενιχραλέον. Malim transpositis ω et ο scribere: ψαιστῶν ὀλίγον δρᾶγμα πενιχραλέων. Subdisplicet epithetum suo quodque nomini affixum. Quod hic me delicatiorem lædit, alibi feram lubens. Nam in illarum rerum levicularum judicio aliquid est morosi ac varii, nullaque lege regendum. Ipse quam Gætulico aufero juncturam Anytæ dederim Anth. 7, 646: Ὦ πάτερ, οὔ τοι ἔτ' εἰμί, μέλας δ' ἐμὸν ὄμμα καλύπτει Ἤδη ἀποφθιμένης κυάνεος θάνατος. Non tolerant critici duplex mor-

Πλὴν ἔχω λέγειν καὶ πλέον, ὡς ὁ μὲν ἐμὸς νόμος Λυκούργου Λάκωνος ἔκθεσις, μετενεχθεὶς ἐνθαδί, ὁ δὲ σὸς Σόλωνος Ἀθηναίου. Οὐδὲν γοῦν ἀπεικὸς Λυκοῦργον βραχυλογεῖν λακωνίζοντα. Καὶ ὅρα τοῦτον τὸν νόμον καὶ ἄλλον αὖθις, πῶς πολλά τινα τούτοις καὶ ἀναγκαῖα ἔξωθεν ὑπακούεται. Σώλονι δὲ τίς ὁ λόγος βραχυλογεῖν, Ἀττικῷ τε ὄντι καὶ τοὺς νόμους αὐτοῦ ἐς τὸ ἀκριβὲς σαφηνίζοντι; Ὥςτε, ἐπὶ μὲν τοῦ σοῦ, πολλοῦ δέοι ἄν τις καὶ λέγειν, ὡς ταυτὸν συνάγεται, καὶ μὴ κειμένου τοῦ λείποντος· ἀλλὰ πολὺ τὸ διαλλάττον κειμένου καὶ μή· ἐπὶ δὲ τοὐμοῦ, εὐκόλως ἄν τις συνάξοι τῷ ἐγγράφῳ τὸ ἄγραφον, καὶ ὅπερ ὁ γράφων παρέλειψε, τοῦτο καὶ ὡς γραφὲν ἄντικρυς λήψεται, καὶ τὸ λεγόμενον συλλογίσεται[1].

« Ὁ ἀποκήρυκτος[2] μὴ μετεχέτω τῶν πατρῴων » φησί. Τίνων πατρῴων; Ἢ[3] πάντως ὧν ἔχει ἐν κατοχῇ ὁ πατήρ, ἅ τε κέκτηται θέλων καὶ ἃ παρέχει βουλόμενος. Οὐ βούλεται διδόναι τούτῳ; τίς ἂν καὶ βιάσαιτο; Ἐκείνῳ διδόναι βούλεται; τίς ἂν ὁ κωλύσων; Τῷ μέντοι γ' ἀποκηρύκτῳ διδόναι, ἢ μὴ διδόναι βούλεται· καὶ εἰ

tis epithetum. Jacobsius edidit ὄμμα.... κυάνεον. Brunckius maluit μέλαν δ' ἐμὸν ὄμμα.... κυάνεος θ. Et cum Brunckio sentio. Quæ loquitur moribunda virgo de nigris suorum oculorum tenebris prius cogitare debuit. Sed est in Epigrammate Gætulici magna sub finem difficultas : Εἰ δ' ὥς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις Καὶ πενίην, δώσει πιαλέον χίμαρον. Offenditur ad transitum primæ personæ μευ ad tertiam δώσει, et conjecturæ fiunt. Sed meminisse oportet Gætulicum non suo, sed nomine loqui Leonidæ : Λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο Λιτὰ τάδ' ἐκ λιτοῦ δῶρα Λεωνίδεω. Quem Venus valetudini restituerat, Gætulicus deæ promittit, si pariter queat et ejus levare paupertatem, daturum, Leonidam scilicet, non jam ficus et uvas, et talia dona, sed pinguem caprum. Mutatio personæ, post hanc explicationem, lectorem non morabitur. Quod si quis desideret Leonidæ paupertatis disertiorem mentionem, corrigere est in promtu ἐλᾷς οἱ pro ἐλάσσεις, sic servato futuro et addito pronomine. Notum est ἐλᾷς esse formam futuri atticam. Aristophanes Ran. 203 : Οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς Ἐλᾷς. Sophocles Aj. 499 : δαίμων ἐλᾷ· ubi schol.: ἀντὶ τοῦ ἐλάσει. Et sic OEd. T. 407. Æschylus Eum. 76 : ἐλῶσι, cum scholio ἐλάσουσι. Et sic Euripides Alc. 972. Insuper animadvertam lectionem λιτὰ τάδ' ἐκ λιτοῦ esse conjecturalem. Inventum fuit in Palatino αἶψα τάδ' ἐκ κλυτοῦ, in Planude αἶψα τάδε κλειτοῦ. Receperim αἶψα τάδ' ἐκ κλειτοῦ. Potuit Gætulico Leonidas κλειτόν dici, vel κλυτόν, si hoc per metrum licuisset, atque fuit etiam in epitheto, quod Venerem moveret.

[1] Cod., συλλογίσηται.

[2] Schol.: συλλογισμός.

[3] Cod. ἤ. Vide p. 146, n. 4.

μὲν διδόναι, λύει παραυτίκα τὴν ἀποκήρυξιν, καὶ οὐδεὶς λόγος τοῦ μὴ λαμβάνειν ἐκεῖνον τὰ παρεχόμενα· οὐ γὰρ ἀποκήρυκτος οὔμενουν ἔτι· ὃν κληρονόμον καθίστησιν ὁ πατήρ· εἰ δὲ μὴ διδόναι, μήτ' ἐκεῖνος διδότω, μήθ' ὁ παῖς λαμβανέτω, μὴ θέλοντος· υἱὸς γὰρ οὐκ ἔστι. Καὶ μεθέξει τῶν πατρικῶν;

Εἶδες ποίαν ὁ νόμος λέγει τὴν μετοχήν; εἶδες, πῶς, σωζομένης τῆς ἀποκηρύξεως, καὶ τῶν κτημάτων ὄντων πατρῴων, ὁ νόμος εἴργει τὸν ἀποκήρυκτον; τί λοιπὸν τῷ νόμῳ δεῖ διαστίξεως, τῆς μετοχῆς ἐπὶ κληρονομίας λαμβανομένης, καὶ τοῦτο μόνον ἐχούσης τὸ σημαινόμενον.

Ἔλθωμεν δὴ καὶ ἐπὶ τὸν λοιπόν, ὃς λαμβάνειν τὴν ναῦν τὸν ἐπιμείναντα δικαιοῖ. Πάντως ᾔδει πολλοὺς καὶ ἀτίμους καὶ ἀποκηρύκτους ὁ νομοθέτης. Οἶδε καὶ νέους καὶ γέροντας, καὶ φίλους τε καὶ ἐχθρούς, καὶ οἷς ἂν συνοίσει λαβοῦσι τὸ χειμαζόμενον, καὶ οἷς μή. Οἶδε τὰς ναῦς, ὅτι ἡ μὲν ἰδιωτική, ἡ δὲ δημοσία, καὶ ἡ μὲν μέγαν τὸν φόρτον καὶ ἀναγκαῖον τῇ πόλει φέρουσα, ἡ δὲ μικρὸν καὶ οὐδ' ὅσον φροντίδος ἄξιον· καὶ ἡ μὲν τῶν ταχυναυτουσῶν καὶ τριήρεων, ἡ δὲ τῶν σχεδὸν ἀκινήτων, καὶ αἷς ἂν συνεργοίη πρὸς κέλευθον βαρὺς πνέων ὁ ἄνεμος. Εἰ γοῦν ὑπενόει διαφορὰν ἐπὶ τούτοις καὶ μὴ ἁπλῶς ἐνομοθέτει κατὰ παντὸς τὸ αὐτό, πολλαῖς ἂν ὁ νόμος ἐξ ἀνάγκης συνείχετο διαστίξεσιν. Ἀλλ' ὥςπερ ἐπὶ τῶν πραγμάτων, οὐ διορίσαντος κἂν πολὺ κἂν ὀλίγον, ἓν καὶ τὸ αὐτὸ λογιζόμεθα, οὕτω δέξαι καὶ ἐπὶ τῶν προςώπων· καὶ μὴ ἐξέταζε κἂν πένης ὁ ἐπιμείνας, κἂν πλούσιος, κἂν ἐχθρὸς τῇ πόλει, κἂν φίλος, κἂν τῶν ἐντίμων, κἂν τῶν ἀτίμων, κἂν τῶν γνησίων, κἂν ἀποκήρυκτος. Σκόπει[1] δ', εἰ βούλει, καὶ τὰς διανοίας τῶν νομοθετῶν. Ὁ μὲν εἴργει τῶν πατρῴων τὸν ἀποκήρυκτον, οὐχ ὡς ἀπηχθημένον τῷ γεγεννηκότι· εἰ γὰρ ἀπεκήρυττεν μισῶν, οὕτως ἂν εἶχες λέγειν· ἐπεὶ δ' ὡς παιδεύων καὶ νουθετῶν, εἰ καὶ πληκτικώτερον, — δεινὸν γὰρ τὸ τίκτειν[2], εἴτ' οὖν γεννᾷν, καὶ οὐχ

[1] Schol.: ἐνταῦθα καθαρῶς ἡ διάνοια τοῦ νομοθέτου.

[2] Utitur verbis Euripidis Iph. A. 917: Δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα. Et, quum agatur de patre, addit εἴτ' οὖν γεννᾷν. Quod additamentum ferme crediderim scholium esse, quum τὸ τίκτειν possit et de patre usurpari, ac statim

ἂν καὶ κακῶς πάσχοντι τῷ γεννήτορι μῖσος ὧν τέκοι προςγίνοιτο — οὐχ ὡς μεμισημένον ἀποκλείει τῶν πατρικῶν, ἀλλ', ἵν', ἐκ τῆς ἀπορίας καθ' ἑαυτὸν πονῶν καὶ τοῖς κινδύνοις παραβαλλόμενος, ἀναγκάζηται κτᾶσθαι τοῖς πόνοις, καὶ περιουσιάζειν ἐξ ἑαυτοῦ, καὶ τὴν τρυφὴν καὶ τὴν βλακείαν, δι' ἣν καὶ ἀπεκηρύχθη, ἀπόθηται. Ὃ νῦν καὶ αὐτὸς ποιήσας φαίνομαι, καί, οὐκ ἐπὶ σμικροῖς τισὶν ἄρα, ἀλλ' ἐπὶ μεγίστοις ἐγκαρτερήσας, τὴν τοῦ νομοθέτου διάνοιαν μετὰ τῆς τύχης πεπλήρωκα. Ὁ δὲ τῷ ἐπιμένοντι τὰ ἀλλότρια δίδωσι, καρτερεῖν διδάσκων καὶ τὸν ἀπάλαμνον, καὶ τὸν ῥᾴθυμον μεγάλοις μισθοῖς ἐπαίρων καὶ οἷς οὐκ ἂν προςεδόκησε πώποτε. Εἰ γάρ, καὶ μισθοῦ προκειμένου τοσούτου, φιλοζωοῦσι καὶ πάλιν ἄνθρωποι, καὶ πρὸς κίνδυνον ἀφορῶντες δραπέται γίγνονται τῆς θαλάσσης, τὴν ναῦν ὡς ἀσπίδα ῥίπτοντες καὶ τὴν σωτηρίαν πραγματευόμενοι, τίνες ἐγένοντο τότε οἱ χειμῶσιν ἐναπειλημμένοι δεινοῖς, μικροῦ τινὸς τοῦ τῆς καρτερίας μισθοῦ προκειμένου, καὶ οὐδ' ὅσου οἷόν τε τέρπειν τὸν φιλόπλουτόν τε καὶ φιλοχρήματον;

Ἐγὼ[1] μὲν οὕτως ἔχω περὶ τούτων, καὶ σοφοὺς ἐκείνους τίθεμαι διδασκάλους σπουδῆς, σωφροσύνης, εὐπειθείας, ἀνδρείας, καρ-

non dubitaverit dicere, οὐκ ἂν τῷ γεννήτορι μῖσος ὧν τέκοι προςγίνοιτο. In tragœdiæ loco τὸ τίκτειν quidem de matribus capiendum, sed in avulso a scenæ serie versu, nec integro, sententia stat per se, nec Clytæmnestræ quisquam nec chori meminit. Re tamen perpensa, potuit εἴτουν γεννᾷν, explicationis gratia, ipse addere. Sic loquetur et Declamatione decima: ποῦ χοροῦ, εἴτουν ἀξίας, τάττει ταύτην, metaphoram nominis χοροῦ declaraturus; nec non duodecima: πρὸς τὴν ἡμετέραν, εἴτουν αὐτῶν, ἀνατρέχουσι. Pachymeris liber de Harmonica id præfert lemma: περὶ ἁρμονικῆς, ἤτουν μουσικῆς. Retinuit ἤτουν editor doct.; sed fuit reponendum ἤγουν, permutatis de more Γ et Τ, vel εἴτουν ex permutatione solenni vocalium η ει. Conjunctio εἴτουν est usitatissima apud recentiores, nec rara apud veteres. Nazianzenus Or. 3, p. 100: τῆς σῆς ἐμπληξίας, εἴτουν θεοβλαβείας· Or. 33, p. 533: τὸν διὰ θυρίδων, ὡς ἡ Γραφή φησιν, εἴτουν αἰσθητηρίων, εἰςάγων. Anonymus De coma, quem edidit Miller. v. doct. p. 31: ὡπλισμένοι ἀόπλοις ἐπιτιθέμενοι, εἴτουν ἀληθινοὶ πιθανοῖς. Expugnata Thessalonica, scribit M. Nicetas Eustathio velle se cum ipso τοῦ ὀλοφυρμοῦ κοινωνεῖν τῷ καθ' ἡμᾶς Ἰερεμίᾳ εἴτ' οὖν Ἐζεχιήλ, p. 359 Thessalonicæ Tafelianæ. Addatur n. ad Anecd. mea Gr. t. IV, p. 475; Bernhard. ad Eustath. p. 910.

[1] Schol.: ἀντίθεσις ἀντεγκληματική, καὶ τοπικὴ καταδρομὴ κατὰ τοῦ ἀποκηρύκτου.

τερίας, καὶ πάσης, ὡς εἰπεῖν, παιδεύσεως. Οὗτος δ' ἐς τοσοῦτον ἀπονοίας ἢ κακουργίας, ἢ φθόνου, ἢ — οὐκ οἶδ' ὅ τι φῶ — προελήλυθεν, ὥςτε νῦν ἐμοὶ ὡς ἔγκλημα προτείνει τὴν ἀποκήρυξιν, καὶ ὅσα φθάσας κατ' ἐμαυτοῦ ὡμολόγησα, δι' ἃ καὶ δικαίως ἀποκεκήρυγμαι παρὰ τοῦ πατρός, ταῦτα προφέρει, ὡς ἀπειθὴς ἐγὼ λέγων, ὡς ἐξώλης, ὡς λύπης αἴτιος τῷ γεννήσαντι, ὡς τὰ καὶ τά[1], δι' ἃ καὶ ἀπαξιοῖ με τῶν ὁπωσοῦν πατρικῶν.

Ἀλλ', ὦ βέλτιστε, εἰ ἀπειθὴς ἐγὼ τῷ πατρὶ καὶ ἀνάγωγος, δέδωκα τὰς δίκας ἀξίας[2]· ξένος ἐγενόμην τῆς οἰκίας τῆς πατρικῆς, ξένος τοῦ κλήρου, μισητὸς τοῖς οἰκείοις, ἄτιμος τοῖς πολίταις, ἀνελεύθερος τοῖς ἡλικιώταις, πένης, ἄπορος, ἀλήτης, καθ' ἑαυτὸν ζῶν καὶ φροντίσιν οὐκ ἐχούσαις μηχανὴν μεριζόμενος. Ἢ οὐχ ἱκανὰ ταῦτα τῷ προτέρῳ μου βίῳ τὰ ἐπιτίμια; Διὰ ταῦτα καὶ ἀπεδήμουν· διὰ ταῦτα καὶ γῇ καὶ θαλάσσῃ προςεῖχον, ὡς ἂν ἀγωνισάμενος τὴν πατρικὴν ἀνακαλέσωμαι εὔνοιαν, ὡς ἂν σπουδάσας πλουτήσω· κἂν τῷ πατρὶ παρακατέχειν ἔτι δοκοῖ τὴν ὀργὴν τὴν ἐμὴν προαίρεσιν δοκιμάζοντι, ἐξῆν μοι ζῆν ἐκ τῶν ἐμαυτοῦ, μηδὲν εἰς ξένας χεῖρας ἐφ' οἷς ζήσομαι βλέποντι. Οὗτος ὁ λογισμὸς καὶ τῇ θαλάσσῃ ῥιπτεῖ. Καὶ ναῦν εὑρὼν ἐπιβαίνω· καὶ ὅσοις μὲν πρῶτον ἐνέκυρσα τοῖς δεινοῖς τίς ἂν ἐξίκοιτο λόγος;

Μὴ γὰρ ὅτι ἐπιμείνας περιεγενόμην, τοῦτο καὶ μόνον λογίζου. Ἀλλ' ἐννοοῦ καὶ τὰ πρότερα, καὶ ἀντιτίθει τοῖς συμβᾶσι τὸ τέλος· καὶ οὕτως ἐμοῦ δὴ καὶ μόνου, ὡς καὶ μόνου παμπληθὲς[3] ἀθλήσαντος, κρινεῖς ὡς γέρας τὴν ναῦν. Πολλοί τινες τρέχουσιν ἐν σταδίῳ, ἀλλ' ἑνί τινι τὸ βραβεῖον ἀποκεκλήρωται. Καὶ ὁ τὸ τέλος μόνον σκοπῶν τύχης ἀποφανεῖ τὸ γέρας ἕρμαιον, ὁ δὲ πρὸ τοῦ τέλους διανοούμενος, ἐκεῖνος οἶδε καὶ πόνον ποδῶν καὶ βάρος ἰξύος, καὶ συνεχεῖς ἱδρῶτας, καὶ σώματος ὅλου τάσεις, καὶ ἀγωνίας, μή πως ἢ ὀλισθὼν παραθραυσθείη καὶ συμπατηθεὶς ὄλοιτο, ἢ πολλὰ καμὼν τέλος αἰσχύνην ἀποίσαιτο. Ταῦθ' ὅρα καὶ ἐπ' ἐμοί. Τὴν ναῦν ὁρᾷς; ἀλλὰ πρόςεχε καὶ τοῖς πόνοις οἷς ἐκτησάμην ταύτην τὸν νοῦν.

[1] Τὰ καὶ τά] sic τὸ καὶ τὸ τῶν κακῶν bis p. 103; necnon infra.

[2] Non debui mutare ἀξίας p. 14, n. 2.

[3] Παμπληθές] vide p. 84, n. 2.

Ἄρτι γὰρ νὺξ ἦν καὶ σκότος κατ' οὐρανόν, τοῦ ἡλίου κρυβέντος τοῖς νέφεσι, καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός, καὶ ἡ θάλασσα ὤδινε[1], καὶ ἡ τέως ἥμερος ἐκυρτοῦτο[2], καὶ ἡ συνεχὴς ἐμερίζετο, καὶ ἄλλο ἐπ' ἄλλῳ κῦμα ἐπέκειτο· καὶ ἡ ναῦς ποτὲ μὲν ἀκόσμως ἀνέβαινε μετεωριζομένη τοῖς κύμασιν, εἶπες ἂν ἐκκρεμὴς εἰς ἀέρα, μηδενὸς ταύτην ὑποστηρίζοντος· ποτὲ δ' αὖθις ὡς εἰς Ἅδου κατέβαινε, καὶ αἱ τῶν πλεόντων καρδίαι αὐτῇ κατερχομένῃ συγκατεδύοντο. Ὅπλα δὲ καὶ λαίφη καὶ πρότονα εἰς λεπτὰ διαλυθέντα καθ' ὑδάτων ἐφέροντο. Καὶ ὁ κυβερνήτης πρὸς τὸ δεινὸν ἀπειπών, ἐπὶ τῶν καταστρωμάτων εἰκῆ κείμενος, πατεῖν ἑαυτὸν παρεῖχε τῷ θέλοντι. Πάντα μεστὰ ταραχῆς, τὰ ἐκτός, τὰ ἐντός, τὰ ἔνδον ἔτι κατὰ ψυχήν. Πάντα θορύβου πλέα, πάντα κραυγῆς, ὡς αὐτίκα θανουμένων, συμμίκτου. Τέλος διαπεφωνηκότες, οἱ μὲν κοντοῖς πιστεύσαντες ἑαυτούς, οἱ δὲ τῷ τυχόντι, ἐπεὶ καὶ ἀκτὴν εἶχον βλέπειν ἐγγύς, καὶ προφανὴς ὁ κίνδυνος ἦν, κατὰ τῶν κυμάτων ῥίπτουσιν ἑαυτούς, ναῦν ἐκείνην πᾶσαν καὶ φορτία πάντα χαίρειν ἐάσαντες. Ἀπολειφθεὶς δ' ἐγὼ μόνος πρῶτον μὲν ἐκείμην, μηδὲν ἔχων κινηθῆναι ἀφ' ἑαυτοῦ, ἀπροαιρέτως κινούμενος· ὕστερον δ' ἐπισυνάξας τὸν λογισμόν, καὶ πρὸς τὸν κίνδυνον ἀποβλέψας, καὶ τὸν ὅσον οὔπω πικρὸν ἐν ὕδασι θάνατον[3] ἤδη πρὸ ὀφθαλμῶν ἔχων, ὠλοφυρόμην τὴν τύχην τὴν ἐμαυτοῦ, καὶ τὴν μωρὰν ἐκείνην ἀπείθειαν ἐταλάνιζον, καὶ πρώτως ἠρξάμην κατανοεῖν οἵοις δεινοῖς ἑαυτοὺς οἱ προςκεκρουκότες τοῖς γεννήσασι περιβάλλουσιν. Ἀλλ' ὅμως — τί γὰρ μηκύ-

[1] Noster sibi similis Hist. t. I, p. 396, 8 : *ναυαγίῳ χρῶνται δεινῷ· αὐτίκα γὰρ ὤδινε μὲν ἡ θάλασσα, καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός, σὺν δὲ νεφέεσσι γαῖαν ὁμοῦ καὶ πόντον κάλυψε.* Imitabatur Homerum Od. 5, 293 : *σὺν δὲ νεφέεσσι κάλυψεν Γαῖαν ὁμοῦ καὶ πόντον.* Imitabatur et Aristidem fragmento quod Hermogenes De Formis, 1, 26, servavit, et male omisit in Testimoniorum Sylloge Jebbius. Sic enim Aristides : .... *ἄρτι μὲν γὰρ συνιούσης τῆς ναυμαχίας ὤδινεν ἡ θάλασσα καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός.* Quos locos opportune mihi ministravit L. Dindorfii Thesaurum Didotianum ditantis erudita diligentia. Venti epithetum *λαμπρός* illustravi in Delectu Patrum Sinneriano, ad Synesii verba *νότος συνεπιλαμβάνει λαμπρός*, p. 461.

[2] Schol. : *ἀντίθεσις οἷον ἀντιστατική, καὶ ἔκφρασις τοῦ χειμῶνος.*

[3] De morte in undis locus est lectu elegantissimus Synesii Ep. 4, ubi inspici poterit adnotatio mea in Delectu Sinneriano, p. 168.

νειν; τὸ γὰρ δεινὸν ἐπέκειτο πλεῖον καὶ πολὺ ἦν τὸ μετὰ ταῦτα ναυάγιον· — λογισμοῖς τισίν, ὡς ἐδόκουν, οὐκ ἀγεννέσιν ἐμαυτὸν συγκροτῶ[1], καὶ πρὸς τὸ δεινὸν παραλόγως ἀνδρίζομαι, ὡς ἢ ζήσων καλῶς, εἴπερ καὶ περιγένωμαι, ἢ καλῶς τεθνηξόμενος, καὶ οὕτω κἀκείνως τὸ τῆς ἀποκηρύξεως αἶσχος ἀποκρυψόμενος[2]. Καὶ τὸ ἐντεῦθεν τίς ἂν ἐξειπεῖν ἰσχύσοι τὰ κατ' ἐκείνην τὴν πᾶσαν νύκτα δεινά; ποῖος οὐ συνεκρότησεν ἄνεμος τὰς πνοὰς κατ' ἐμοῦ; ποῖον κῦμα οὐ πρὸς σκοπὸν καὶ μόνον ἐμὲ προςπίπτον, ὡς εἰς πέτραν προβλῆτα, εἰς ἄχνην λεπτὴν διελύετο; ἔστι δ' οὗ καὶ νικῶν ἐμέ, καὶ καταβάλλον ἐπὶ τῶν καταστρωμάτων πολλάκις, ἢ καὶ πρὸς θάλασσαν καθαιροῦν, κἀμὲ τῆς νηὸς ἀποσπῶν, ὡς ἀμφισβητοῦν ἄντικρυς; Ἐβαπτίσθην πολλάκις καταδυθείς, ἀλλ' οὐδ' ἅπαξ τῷ κύματι τῆς νηὸς παρεχώρησα. Ηλθον ἐγγὺς τοῦ πνιγῆναι πολλάκις, ἀλλ' ἐκ μέρους ἀντειχόμην καὶ τῆς νηός. Πολλάκις ἐβυθιζόμην, ἀλλ' ὁ νοῦς ἐκεῖσ' ἦν, καὶ ταῦτα παθὼν διεκαρτέρουν, ἕως οὗ λωφᾷ τὸ δεινὸν ἐκεῖνο, καὶ νικῶ μόλις τὸν ἄγριον ἐκεῖνον καὶ ἀνυπόστατον κλύδωνα· νικῶ δ' ἀντέχων τραπέντα, πρὸς τὰ δεινὰ καρτερήσας πρότερον.

Εἶτα σὺ τὸν οὕτως ἀθλήσαντα, τὸν οὕτω ταλαιπωρήσαντα, τὸν οὕτω περὶ ψυχῆς δραμόντα, ἀποστερεῖν ἐθέλεις τοῦ δόματος; καὶ οὐκ ἄξιον κρίνεις ἐμοὶ τοῦτο τῶν πολλῶν ἐκείνων μόχθων, καὶ τῶν ἀγώνων, ὧν καὶ ὑπὲρ δύναμιν πᾶσαν ἠγώνισμαι; καὶ τίνος χάριν λοιπὸν τὰ μεγάλα ἐκεῖνα διήθλουν καὶ πρὸς τόσα καὶ τόσα ἀντεῖχον τὰ χαλεπά, εὐχερὲς ὂν ζητεῖν καὶ αὐτὸν ἐμὲ κατὰ τοὺς ἄλλους τὴν σωτηρίαν, κἀκεῖσε ῥέπειν ὅπου σωθήσομαι.

« Ἀλλ' ἐν ἄλλοις[3] ἔδει » φησίν, « ἀνδρίζεσθαι ».

Ἐμοὶ λέγεις τοῦτο; λέγε τῇ τύχῃ, λέγε τῷ δαίμονι. Ὥςπερ ἂν ἐξεπίτηδες ἐπέβαινον τῆς νηός, πατρικῆς οὔσης, ὡς λέγεις, μάντις ὤν, ὦ Ζεῦ, ἢ παρά του θεῶν εἰδὼς ὡς πάντως περιστήσεται καταιγίς, καὶ οἱ ναῦται πρὸς τὸ δεινὸν δειλανδρήσουσι, κἀγὼ τότε ἀγωνιοῦμαι καὶ ὑπὲρ δύναμιν, καὶ παρὰ τύχης λάβω ὧν παρὰ

[1] Συγκροτῶ] sic jam p. 142, 1 : τούτοις ἐμαυτὸν συγκροτήσας.

[2] Et superius p. 143, 26, pariter dixit : ἀποκρυψάμενον τὸ τῆς ἀποκηρύξεως αἶσχος.

[3] Schol.: μετάληψις.

τοῦ πατρὸς ἀποκέκλεισμαι. Ποῖος ταῦτ' ἔφησε μάντις; ποῖος τερατοσκόπος ἢ ὀνειροπόλος ἐμυήθη τὰ συμβησόμενα;

« Ἐν ἄλλοις ἔδει ἀνδρίζεσθαι ». Λόγος οὗτος πρὸς πᾶσαν ἀρκῶν εὐδοκίμησιν. Τί λοιπὸν τὰ γέρα διδοῦσι τοῖς ἀθληταῖς, ἐξὸν λέγειν· « Ἐν ἄλλοις ἔδει νικᾷν »; τί τοῖς τὴν πόλιν καλὸν ποιοῦσι τὰς ἀμοιβάς[1], δέον λέγειν, ὡς ἄλλο τι ἔδει ποιεῖν καὶ μὴ τοῦτο ὃ γέγονε;

Ἐν τούτοις ἔδει ἀνδρίζεσθαι, βέλτιστε, ἐν οἷς παρὼν ἔτυχον. Ἐν τούτοις ἔδει πονεῖν, ἐξ ὧν ἦν λύειν τὴν ἀπορίαν καὶ θεραπεύειν τὴν ἀποκήρυξιν. Ὑπὲρ τούτων ἔδει καὶ θαλάσσῃ καὶ πνεύμασι μάχεσθαι, ὧν ἐμὲ δικαίως ἐστέρησέ γε τὸ ἀφερέπονον. Ἀποκήρυκτος ἤμην; ἀλλ' ἠνδριζόμην καὶ ὑπὲρ δύναμιν· ἀπηχθημένος τῷ γεγεννηκότι; ἀλλ' ἐπέμεινα τῇ νηΐ· ξένος τῶν πατρικῶν; ἀλλ' ἴδιον τῶν πόνων ἔσχον καρπόν. Τίς γεωργὸς ὢν καὶ καταβάλλων κόποις[2] χειμῶνος τὰ σπέρματα, ἄλλοις ἐς νέωτα παραχωρεῖ τῶν καρπῶν; τίς ἀθλῶν καὶ νικήσας ἄλλοις ἐξίσταται τῶν στεφάνων; τίς πλέων ἐπὶ νηὸς καὶ τοῦ χειμῶνος καταλαβόντος, τῶν ἄλλων ἀποφυγόντων, αὐτὸς ἐπιμένων, ὁμόσε χωρῶν καὶ ζάλῃ καὶ καταιγίσι καὶ πνεύμασιν, εἶτα, περιγενόμενος τῶν δεινῶν, τὰ τῆς τύχης δῶρα λαμβάνειν ἄλλοις ἀφίησιν; Ἄφρων ἂν ἦν, εἰ, τοῦτο προσδοκῶν, κἂν ὥραν μίαν ἐπέμεινα. Διὰ τί γάρ, ἄνδρες; διὰ τί; ἵνα κεναῖς ἀπελθὼν ταῖς χερσίν, ἐπαίνου τύχω καὶ κροτησμοῦ; ἄξιον ἂν ἦν τὸ γέρας τῶν τοσούτων καὶ τηλικούτων πόνων, καὶ τῆς μακρᾶς ἐκείνης καὶ κινδυνώδους περιφορᾶς· ἀλλ' ἵνα πάλιν εἰς δικαστήριον ἑλκυσθῶ, καὶ δικαστὰς ἴδω καὶ βῆμα, καὶ ἀγωνίζεσθαι ἀναγκάζωμαι; λαμπρὸν ἂν ἦν τὸ ἐπὶ τοῖς κόποις ἆθλον καὶ θαυμάσαι ἄξιον.

Τί τηνάλλως, ἄνθρωπε, λέγεις, καὶ τῆς ἐμῆς βαρύτερος φαίνῃ τύχης; οἷς ὅτι[3] ἐκείνη μέν, εἰ καὶ μόλις, ἀλλ' ὅμως ἐσπείσατο,

[1] Repetendum mente διδοῦσι.

[2] Sic cod. Fortasse excidit præpositio σὺν κόποις, ἐν κόποις.

[3] Exempla formulæ οἷς ὅτι ex Pachymeris Progymnasmatis vide in notis ad Choric. p. 256. Ea usus est supra p. 91, 2; utetur et Decl. X, XI. Aristides extrema oratione 53 : χάριν ἂν εἰκότως ἔχοι Λεπτίνης οἷς ὅτι πλέον ἐντεῦθεν τοῦτον σεμνύνεις. Gallice, « en ce que

σὺ δ' ἀναξαίνεις τὸ πάθος καὶ πάλιν ἀποκήρυκτον λέγεις καὶ τὴν τοῦ κλύδωνος προνομὴν πατρικὴν λέγεις ναῦν, κἀντεῦθεν ἐπηρεάζεις ἐμοί.

Τί λέγεις; πατρὸς τὸ κτῆμα, ἢ μὴν ἑτέρου τινὸς οὗπερ οἱ κύριοι βιασθέντες τῷ κλύδωνι παρεχώρησαν; πατρὸς ἦν ἀληθῶς, μέχρις ἂν ἀντεῖχον πρὸς τὸ δεινὸν οἱ ἐπίτροποι, καὶ ξένος ἐγὼ τούτου καὶ μηδὲν προςήκων, ὡς ἀποκήρυκτος. Ἐξ οὗ δ' ἐκστάντες ᾤχοντο, καὶ ἡ καταιγὶς κατασχοῦσα[1], ὅπη ποτ' ἂν ἦν βουλομένη, ταύτῃ ἀπῆγεν ὡς λάφυρον, κἂν σώζειν ἠβούλετο ἑαυτῇ, οὐδεὶς ὁ καθέξων, κἂν θραύειν ἠβούλετο, οὐδεὶς ὁ κωλύσων, ποῦ ποτὲ χώραν εἶχεν ἐπὶ τούτοις ἡ τοῦ πατρὸς ἐξουσία;

Εἰ δέ ποθι γῆς ἐκβάντες οἱ πεφευγότες τὴν δεινὴν ἐκείνην ἀγγελίαν ἔλεγον τῷ πατρί, ὡς περὶ σωζομένης νηὸς καὶ ἰδίας τούτου ἐποιοῦντο τοὺς λόγους, ἢ ὡς ἐσχάτως ἀπολωλυίας καὶ ἀπὸ πάσης ἐλπίδος οὔσης τοῦ σώζεσθαι; Ἐμοὶ δοκεῖν, οὕτως ἂν εἶπον ἐκεῖνοι μετ' οἰμωγῆς· « Ἀπόλωλεν ἡ σὴ ναῦς· νενίκηκεν ὁ κλύδων, καὶ τὰ φορτία παρείληφε. Μηκέτ' ἀπολαβεῖν ἔλπιζε ταῦτα. Ἅδης ἡ θάλασσα δεύτερος. Οὔτε γὰρ ἐξ ἐκείνου ἔστιν ἀναχθῆναί τινα ἅπαξ θανόντα, οὔτ' ἐκ ταύτης λαβεῖν ἐστὶν ἃ δὴ καὶ φθάσασα κατεπόντωσε ».

Ταῦτα λεγόντων ἐκείνων, τίς οὕτως ἄνους ὥςτε καὶ πάλιν λέγειν τὴν ναῦν τοῦ πατρός; ὅπου γε, κἂν καὶ[2] τοῦτ' ἦν, ἀμωσγέπως ἔδει σε καὶ τοὺς νόμους ἐπιτηρεῖν. Οὐδὲ γὰρ καὶ[3] τοῦτο μικρόν, ὅσον εἰς νόμων ἐξέτασιν πρὸς ἀλλήλους συγκρινομένων, κἂν οὐκ ἐγχωρῇ καὶ ἀμφοτέρους φυλάξαι, πότερον χρὴ τοῦ ἑτέρου μᾶλλον σκοπούντων τινῶν.

Ὁ μὲν οὖν περὶ τῶν ἐπιμενόντων παλαιὸς καὶ κοινός, καὶ πολλοῖς συνήνεγκε χρησαμένοις· ὁ δὲ περὶ τῶν ἀποκηρύκτων, νέος πρὸς ἐκεῖνον, καὶ ἴδιός τισι, καὶ πολλοῖς ἐφάνη μηδὲν ἔχων τὸ χρήσιμον. Τί γὰρ εἰ ἀποκηρυχθέντι τινὶ μετεμέλησε, κἀντεῦθεν νοῦν ἔσχε, καὶ τῶν εὐδοκίμων τῇ πόλει γέγονε, παρὰ τοσοῦτον

[1] Schol.: ὅρος βίαιος.

[2] In codice καί additum inter versus, ab eadem manu, et ut vocabulum forte omissum. Parili modo præpositio ἐπι superaddita simplici τηρεῖν.

[3] Schol.: τὸ πρός τι.

καὶ χρήσιμος εἶναι τῇ πόλει ἐπὶ πολλοῖς κωλυόμενος, παρ' ὅσον καὶ ἄπορος χρημάτων ἐστίν. Ἀλλ' ὅμως ὁ πατὴρ οὐ μεταβάλλει τὴν γνώμην, ἀλλὰ διὰ βίου ὀργίζεται. Κἀντεῦθεν κατὰ τὸν νόμον ὁ καλὸς ἐκεῖνος τῶν πατρικῶν οὐ μετείληφεν· ἀλλ' εἰςήχθησαν εἰς τὸν κλῆρον ἄλλοι, πολλάκις καὶ τοῖς κοινοῖς ἀχρήσιμοι.

Ἔστι τοίνυν νόμῳ νόμον παραβαλεῖν· καὶ καλὸν ἦν ἐξεῖναι φυλάξαι καὶ ἀμφοτέρους. Εἰ δ' οὐκ ἐγχωρεῖ, ἀλλ' οὖν τὸν κρείττονα, καὶ ὃς μειζόνως τὴν πολιτείαν συνίστησι, κἀκεῖνον, ὃς ἂν φυλαχθεὶς ἔχοι καὶ τὸν ἄλλον περιποιεῖν, ὡς ἐκ μέρους κακεῖνον φυλάττεσθαι.

Ὁ γοῦν[1] περὶ τῶν ἐπιμεινάντων ἐμοὶ φυλαχθεὶς δικαιώσει μὲν ἐμὲ ὡς ἐπιμείναντα καὶ ὡς ἀποκήρυκτον, φυλάξει δὲ πάλιν καὶ τοῖς ἀποκηρύκτοις τὸ ἐπιτίμιον.

Ἀποκήρυκτος εἶ; μὴ λάμβανέ τι τῶν πατρικῶν. Εἰ δ' ὁ δεῖνα τοιοῦτος ὢν εἴληφεν, ἀλλὰ τυχὼν[2] ἐπέμεινε, καὶ κατὰ τοῦ κλύδωνος ἃ δή ποτ' ἦσαν τοῦ πατρὸς ἑαυτῷ περιεποιήσατο ἀνδρισάμενος. Τύχε καὶ σύ, καὶ ἀνδρίζου, καὶ λάμβανε. Οὐδεὶς ὁ φθονήσων τότε τοῦ πλούτου σοι. Ἕως δὲ μὴ τοιαύτη σοι παραστῇ τύχη, μὴ ζήτει τι λαμβάνειν τῶν τοῦ πατρός. Ταῦτ' ἐρεῖ τις καὶ ἀμφοτέρους φυλάξει, καὶ κατὰ καιρὸν τὸν προςήκοντα.

Εἰ δὲ τὸν τῶν ἀποκηρύκτων νόμον φυλάξεις, ὁ περὶ τοῦ ἐπιμείναντος οἴχεται. Καὶ ποῦ δίκαιον παλαιὸν νόμον καὶ καλῶς ἔχοντα παραβλέπεσθαι; λείψει δέ ποτε καὶ πρόφασις ἄλλη ἐφ' ᾧ στερεῖσθαι τὸν ἐπιμείναντα; ὁ μὲν ἀκούσει ὡς « ἀποκήρυκτος εἰ »· ὁ δέ, « ἀλλ' ἄτιμος τῇ πόλει »· ὁ δ' αὖ, « ἀλλ' ἐξώλης », καὶ « οὕτω τυχὸν εὑρεθεὶς ἐπὶ τῆς νηός »· καὶ ἄλλος ἄλλο. Κἀντεῦθεν οὐδεὶς τυχὼν πρὸς θάλασσαν ἀνδρίσεται[3], καὶ πολλὰ φορτία καὶ παρὰ τὸ εἰκὸς βυθισθήσονται, καὶ ζημία ἔσται μεγίστη τῇ πόλει. Μὴ γὰρ ὅτι ὁ ἐπιμείνας λαμβάνει, τοῦτο σκοπεῖν ἄξιον, ἀλλ' ὅτι καὶ ἑαυτῷ λαμβάνει καὶ τῇ πόλει προτίθησιν εὔωνα.

[1] Schol.: τὸ περιέχον καὶ τὸ περιεχόμενον.

[2] Codex, τυχών, et quum littera ω non esset nitidissima, nitidius superscripto ω. Timuit librarius ne τυχόν legeretur. Firmatur participium sequentibus τύχε, οὐδεὶς τυχών.

[3] Codex, ἀνδρισθήσεται.

παραβαλλόμενος πρὸς τὰ τῆς θαλάσσης[1], ἐμαυτὸν περιεσωσάμην, καὶ ἔχω ταῦτα λαβών, τοῦ νόμου κελεύοντος καὶ τὴν ναῦν παρεχομένου τῷ ἐπιμείναντι, τί[2] ἀπαυθαδίζῃ καὶ λέγεις, καὶ ἀφαιρεῖσθαι πειρᾷ τὸ τῶν ἐμῶν δῶρον πόνων, εἴπω δὲ καὶ τῆς τύχης ἕρμαιον; ἐς τί γὰρ[3] καὶ βλέπων ὁ νομοθέτης μεγάλῳ μισθῷ τὸν ἐπιμείναντα δικαιοῖ; Ἦ[4] πάντως ὅτι καὶ περὶ ψυχῆς ὁ κίνδυνος, ἧς οὐδὲν μεῖζον ἀνθρώπῳ, κἂν ὅ τι ἂν φήσῃ τις. Δίκαιον δὲ δή που ἀναλόγους τοῖς κόποις προκεῖσθαι καὶ τοὺς μισθούς, ἵν' εἴ πού τις καὶ ῥᾳθυμεῖν ἔχοι καὶ δειλιᾷν πρὸς οὕτω μέγιστον κίνδυνον, ἀποβλέπων πρὸς τὸν μισθὸν ῥωννύηται, ὡς ἢ τὰ ἔσχατα πεισόμενος τῶν κακῶν, ἢ τὰ τῶν ἀγαθῶν μέγιστα κομιούμενος.

Ὥςτε δυοῖν προκειμένοιν νόμοιν, οὐ παρανομῶ καθ' ἑκάτερον· οὔτε γὰρ ἀντιποιοῦμαι ὡς κληρονόμος ὧν οὐ μετὸν ἐμοί, καὶ ἐπιμείνας δεσπότης γίνομαι τῆς νηός.

Εἰ δὲ ζητεῖς[5] πῶς ὁ νομοθέτης οὐ προςδιώρισεν ἐπὶ τοῦ τῶν ἀποκλήρων νόμου, τὸ μόνως οὕτως μὴ μετέχειν τῶν πατρικῶν, ὅταν ὡς κληρονομήσων βιάζηται, ζητήσω κἀγὼ πῶς καὶ ἐπὶ τοῦ ἐπιμείναντος οὐ προςδιώρισε, λέγων· « πλὴν μὴ ἔστω ἀπόκληρος ». Ἀλλ' ὥςπερ σὺ ἀπολογούμενος εἴποις ὅτι ὡς δῆλον παρέλειψεν, οὕτω κἀγὼ ἀποκρίνομαι[6].

[1] Ad εἰ δ' subaudio ἀντέχομαι ex præcedente membro εἰ μὲν γάρ. Pronomen ἐκεῖνον refero ad κλύδων. Ante τὰ τῆς θαλάσσης addidi πρός.

[2] Addidi τί post ἐπιμείναντι, favente illa omissionum lege, de qua modo dixi p. 144, n. 4.

[3] Schol.: ἑτέρα διάνοια τοῦ ἑτέρου νόμου καὶ τοῦ νομοθέτου.

[4] Codex, ἤ. Scripsi ἦ « utique ». Et sic infra p. 147. Libanius, t. I, p. 508: τίνα μέν τοι, τίνα θεῶν αἰτιατέον; ἦ πάντας ὁμοίως; ἐκλιπόντας φρουρὰν ἣν ὤφειλον τῇ γενναίᾳ κεφαλῇ.... Malim ἦ πάντας ὁμοίως, ἐκλιπ. « omnes, omnes utique ». Est in repetitione τίνα μέντοι τίνα θεῶν coloris aliquid Platonici. Vide n. ad Aristæn. p. 632.

[5] Schol.: τὸ μὴ προςδιωρίσθαι, ὅπερ ἐξισάζον μεθοδεύεται.

[6] Cod., ἀποκρίνωμαι scripto ο super penultima. Sic commutantur ubique ω et ο. Gætulicus Anth. 6, 190: Λάζεο.... Καὶ ψαιστῶν ὀλίγων δρᾶγμα πενιχραλέον. Malim transpositis ω et ο scribere: ψαιστῶν ὀλίγον δρᾶγμα πενιχραλέων. Subdisplicet epithetum suo quodque nomini affixum. Quod hic me delicatiorem lædit, alibi feram lubens. Nam in illarum rerum levicularum judicio aliquid est morosi ac varii, nullaque lege regendum. Ipse quam Gætulico aufero juncturam Anytæ dederim Anth. 7, 646: Ὦ πάτερ, οὔ τοι ἔτ' εἰμί, μέλας δ' ἐμὸν ὄμμα καλύπτει Ἤδη ἀποφθιμένης κυάνεος θάνατος. Non tolerant critici duplex mor-

Πλὴν ἔχω λέγειν καὶ πλέον, ὡς ὁ μὲν ἐμὸς νόμος Λυκούργου Λάκωνος ἔκθεσις, μετενεχθεὶς ἐνθαδί, ὁ δὲ σὸς Σόλωνος Ἀθηναίου. Οὐδὲν γοῦν ἀπεικὸς Λυκοῦργον βραχυλογεῖν λακωνίζοντα. Καὶ ὅρα τοῦτον τὸν νόμον καὶ ἄλλον αὖθις, πῶς πολλά τινα τούτοις καὶ ἀναγκαῖα ἔξωθεν ὑπακούεται. Σώλονι δὲ τίς ὁ λόγος βραχυλογεῖν, Ἀττικῷ τε ὄντι καὶ τοὺς νόμους αὐτοῦ ἐς τὸ ἀκριβὲς σαφηνίζοντι; Ὥςτε, ἐπὶ μὲν τοῦ σοῦ, πολλοῦ δέοι ἄν τις καὶ λέγειν, ὡς ταυτὸν συνάγεται, καὶ μὴ κειμένου τοῦ λείποντος· ἀλλὰ πολὺ τὸ διαλλάττον κειμένου καὶ μή· ἐπὶ δὲ τοὐμοῦ, εὐκόλως ἄν τις συνάξοι τῷ ἐγγράφῳ τὸ ἄγραφον, καὶ ὅπερ ὁ γράφων παρέλειψε, τοῦτο καὶ ὡς γραφὲν ἄντικρυς λήψεται, καὶ τὸ λεγόμενον συλλογίσεται[1].

« Ὁ ἀποκήρυκτος[2] μὴ μετεχέτω τῶν πατρῴων » φησί. Τίνων πατρῴων; Ἢ[3] πάντως ὧν ἔχει ἐν κατοχῇ ὁ πατήρ, ἅ τε κέκτηται θέλων καὶ ἃ παρέχει βουλόμενος. Οὐ βούλεται διδόναι τούτῳ; τίς ἂν καὶ βιάσαιτο; Ἐκείνῳ διδόναι βούλεται; τίς ἂν ὁ κωλύσων; Τῷ μέντοι γ' ἀποκηρύκτῳ διδόναι, ἢ μὴ διδόναι βούλεται· καὶ εἰ

tis epithetum. Jacobsius edidit ὄμμα.... κυάνεον. Brunckius maluit μέλαν δ' ἐμὸν ὄμμα.... κυάνεος θ. Et cum Brunckio sentio. Quæ loquitur moribunda virgo de nigris suorum oculorum tenebris prius cogitare debuit. Sed est in Epigrammate Gætulici magna sub finem difficultas : Εἰ δ' ὥς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις Καὶ πενίην, δώσει πιαλέον χίμαρον. Offenditur ad transitum primæ personæ μευ ad tertiam δώσει, et conjecturæ fiunt. Sed meminisse oportet Gætulicum non suo, sed nomine loqui Leonidæ : Λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο Λιτὰ τάδ' ἐκ λιτοῦ δῶρα Λεωνίδεω. Quem Venus valetudini restituerat, Gætulicus deæ promittit, si pariter queat et ejus levare paupertatem, daturum, Leonidam scilicet, non jam ficus et uvas, et talia dona, sed pinguem caprum. Mutatio personæ, post hanc explicationem, lectorem non morabitur. Quod si quis desideret Leonidæ paupertatis disertiorem mentionem, corrigere est in promtu ἐλᾷς οἱ pro ἐλάσσεις, sic servato futuro et addito pronomine. Notum est ἐλᾷς esse formam futuri atticam. Aristophanes Ran. 203 : Οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς Ἐλᾷς. Sophocles Aj. 499 : δαίμων ἐλᾷ· ubi schol.: ἀντὶ τοῦ ἐλάσει. Et sic OEd. T. 407. Æschylus Eum. 76 : ἐλῶσι, cum scholio ἐλάσουσι. Et sic Euripides Alc. 972. Insuper animadvertam lectionem λιτὰ τάδ' ἐκ λιτοῦ esse conjecturalem. Inventum fuit in Palatino αἶψα τάδ' ἐκ κλυτοῦ, in Planude αἶψα τάδε κλειτοῦ. Receperim αἶψα τάδ' ἐκ κλειτοῦ. Potuit Gætulico Leonidas κλειτόν dici, vel κλυτόν, si hoc per metrum licuisset, atque fuit etiam in epitheto, quod Venerem moveret.

[1] Cod., συλλογίσηται.

[2] Schol.: συλλογισμός.

[3] Cod. ἤ. Vide p. 146, n. 4.

μὲν διδόναι, λύει παραυτίκα τὴν ἀποκήρυξιν, καὶ οὐδεὶς λόγος τοῦ μὴ λαμβάνειν ἐκεῖνον τὰ παρεχόμενα· οὐ γὰρ ἀποκήρυκτος οὔμενουν ἔτι ὃν κληρονόμον καθίστησιν ὁ πατήρ· εἰ δὲ μὴ διδόναι, μήτ' ἐκεῖνος διδότω, μήθ' ὁ παῖς λαμβανέτω, μὴ θέλοντος· υἱὸς γὰρ οὐκ ἔστι. Καὶ μεθέξει τῶν πατρικῶν;

Εἶδες ποίαν ὁ νόμος λέγει τὴν μετοχήν; εἶδες, πῶς, σωζομένης τῆς ἀποκηρύξεως, καὶ τῶν κτημάτων ὄντων πατρῴων, ὁ νόμος εἴργει τὸν ἀποκήρυκτον; τί λοιπὸν τῷ νόμῳ δεῖ διαστίξεως, τῆς μετοχῆς ἐπὶ κληρονομίας λαμβανομένης, καὶ τοῦτο μόνον ἐχούσης τὸ σημαινόμενον.

Ἔλθωμεν δὴ καὶ ἐπὶ τὸν λοιπόν, ὃς λαμβάνειν τὴν ναῦν τὸν ἐπιμείναντα δικαιοῖ. Πάντως ᾔδει πολλοὺς καὶ ἀτίμους καὶ ἀποκηρύκτους ὁ νομοθέτης. Οἶδε καὶ νέους καὶ γέροντας, καὶ φίλους τε καὶ ἐχθρούς, καὶ οἷς ἂν συνοίσει λαβοῦσι τὸ χειμαζόμενον, καὶ οἷς μή. Οἶδε τὰς ναῦς, ὅτι ἡ μὲν ἰδιωτική, ἡ δὲ δημοσία, καὶ ἡ μὲν μέγαν τὸν φόρτον καὶ ἀναγκαῖον τῇ πόλει φέρουσα, ἡ δὲ μικρὸν καὶ οὐδ' ὅσον φροντίδος ἄξιον· καὶ ἡ μὲν τῶν ταχυναυτουσῶν καὶ τριήρεων, ἡ δὲ τῶν σχεδὸν ἀκινήτων, καὶ αἷς ἂν συνεργοίη πρὸς κέλευθον βαρὺς πνέων ὁ ἄνεμος. Εἰ γοῦν ὑπενόει διαφορὰν ἐπὶ τούτοις καὶ μὴ ἁπλῶς ἐνομοθέτει κατὰ παντὸς τὸ αὐτό, πολλαῖς ἂν ὁ νόμος ἐξ ἀνάγκης συνείχετο διαστίξεσιν. Ἀλλ' ὥσπερ ἐπὶ τῶν πραγμάτων, οὐ διορίσαντος κἂν πολὺ κἂν ὀλίγον, ἓν καὶ τὸ αὐτὸ λογιζόμεθα, οὕτω δέξαι καὶ ἐπὶ τῶν προσώπων· καὶ μὴ ἐξέταζε κἂν πένης ὁ ἐπιμείνας, κἂν πλούσιος, κἂν ἐχθρὸς τῇ πόλει, κἂν φίλος, κἂν τῶν ἐντίμων, κἂν τῶν ἀτίμων, κἂν τῶν γνησίων, κἂν ἀποκήρυκτος. Σκόπει[1] δ', εἰ βούλει, καὶ τὰς διανοίας τῶν νομοθετῶν. Ὁ μὲν εἴργει τῶν πατρῴων τὸν ἀποκήρυκτον, οὐχ ὡς ἀπηχθημένον τῷ γεγεννηκότι· εἰ γὰρ ἀπεκήρυττεν μισῶν, οὕτως ἂν εἶχες λέγειν· ἐπεὶ δ' ὡς παιδεύων καὶ νουθετῶν, εἰ καὶ πληκτικώτερον, — δεινὸν γὰρ τὸ τίκτειν[2], εἴτ' οὖν γεννᾷν, καὶ οὐκ

[1] Schol.: ἐνταῦθα καθαρῶς ἡ διάνοια τοῦ νομοθέτου.

[2] Utitur verbis Euripidis Iph. A. 917: Δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα. Et, quum agatur de patre, addit εἴτ' οὖν γεννᾷν. Quod additamentum ferme crediderim scholium esse, quum τὸ τίκτειν possit et de patre usurpari, ac statim

ἂν καὶ κακῶς πάσχοντι τῷ γεννήτορι μῖσος ὧν τέκοι προςγίνοιτο — οὐχ ὡς μεμισημένον ἀποκλείει τῶν πατρικῶν, ἀλλ', ἵν', ἐκ τῆς ἀπορίας καθ' ἑαυτὸν πονῶν καὶ τοῖς κινδύνοις παραβαλλόμενος, ἀναγκάζηται κτᾶσθαι τοῖς πόνοις, καὶ περιουσιάζειν ἐξ ἑαυτοῦ, καὶ τὴν τρυφὴν καὶ τὴν βλακείαν, δι' ἣν καὶ ἀπεκηρύχθη, ἀπόθηται. Ὃ νῦν καὶ αὐτὸς ποιήσας φαίνομαι, καί, οὐκ ἐπὶ σμικροῖς τισὶν ἄρα, ἀλλ' ἐπὶ μεγίστοις ἐγκαρτερήσας, τὴν τοῦ νομοθέτου διάνοιαν μετὰ τῆς τύχης πεπλήρωκα. Ὁ δὲ τῷ ἐπιμένοντι τὰ ἀλλότρια δίδωσι, καρτερεῖν διδάσκων καὶ τὸν ἀπάλαμνον, καὶ τὸν ῥᾴθυμον μεγάλοις μισθοῖς ἐπαίρων καὶ οἷς οὐκ ἂν προςεδόκησε πώποτε. Εἰ γάρ, καὶ μισθοῦ προκειμένου τοσούτου, φιλοζωοῦσι καὶ πάλιν ἄνθρωποι, καὶ πρὸς κίνδυνον ἀφορῶντες δραπέται γίγνονται τῆς θαλάσσης, τὴν ναῦν ὡς ἀσπίδα ῥίπτοντες καὶ τὴν σωτηρίαν πραγματευόμενοι, τίνες ἐγένοντο τότε οἱ χειμῶσιν ἐναπειλημμένοι δεινοῖς, μικροῦ τινὸς τοῦ τῆς καρτερίας μισθοῦ προκειμένου, καὶ οὐδ' ὅσου οἷου τε τέρπειν τὸν φιλόπλουτόν τε καὶ φιλοχρήματον;

Ἐγὼ[1] μὲν οὕτως ἔχω περὶ τούτων, καὶ σοφοὺς ἐκείνους τίθεμαι διδασκάλους σπουδῆς, σωφροσύνης, εὐπειθείας, ἀνδρείας, καρ-

non dubitaverit dicere, οὐκ ἂν τῷ γεννήτορι μῖσος ὧν τέκοι προςγίνοιτο. In tragœdiæ loco τὸ τίκτειν quidem de matribus capiendum, sed in avulso a scenæ serie versu, nec integro, sententia stat per se, nec Clytæmnestræ quisquam nec chori meminit. Re tamen perpensa, potuit εἴτουν γεννᾷν, explicationis gratia, ipse addere. Sic loquetur et Declamatione decima: ποῦ χοροῦ, εἴτουν ἀξίας, τάττει ταύτην, metaphoram nominis χοροῦ declaraturus; nec non duodecima: πρὸς τὴν ἡμετέραν, εἴτουν αὐτῶν, ἀνατρέχουσι. Pachymeris liber de Harmonica id præfert lemma: περὶ ἁρμονικῆς, ἤτουν μουσικῆς. Retinuit ἤτουν editor doct.; sed fuit reponendum ἤγουν, permutatis de more Γ et Τ, vel εἴτουν ex permutatione solenni vocalium η ει. Conjunctio εἴτουν est usitatissima apud recentiores, nec rara apud veteres. Nazianzenus Or. 3, p. 100: τῆς σῆς ἐμπληξίας, εἴτουν θεοβλαβείας· Or. 33, p. 533: τὸν διὰ θυρίδων, ὡς ἡ Γραφή φησιν, εἴτουν αἰσθητηρίων, εἰςάγων. Anonymus De coma, quem edidit Miller. v. doct. p. 31: ὡπλισμένοι ἀόπλοις ἐπιτιθέμενοι, εἴτουν ἀληθινοὶ πιθανοῖς. Expugnata Thessalonica, scribit M. Nicetas Eustathio velle se cum ipso τοῦ ὀλοφυρμοῦ κοινωνεῖν τῷ καθ' ἡμας Ἱερεμίᾳ εἴτ' οὖν Ἐζεχιήλ, p. 359 Thessalonicæ Tafelianæ. Addatur n. ad Anecd. mea Gr. t. IV, p. 475; Bernhard. ad Eustath. p. 910.

[1] Schol.: ἀντίθεσις ἀντεγκληματική, καὶ τοπικὴ καταδρομὴ κατὰ τοῦ ἀποκηρύκτου.

τερίας, καὶ πάσης, ὡς εἰπεῖν, παιδεύσεως. Οὗτος δ' ἐς τοσοῦτον ἀπονοίας ἢ κακουργίας, ἢ φθόνου, ἢ — οὐκ οἶδ' ὅ τι φῶ — προελήλυθεν, ὥςτε νῦν ἐμοὶ ὡς ἔγκλημα προτείνει τὴν ἀποκήρυξιν, καὶ ὅσα φθάσας κατ' ἐμαυτοῦ ὡμολόγησα, δι' ἃ καὶ δικαίως ἀποκεκήρυγμαι παρὰ τοῦ πατρός, ταῦτα προφέρει, ὡς ἀπειθὴς ἐγὼ λέγων, ὡς ἐξώλης, ὡς λύπης αἴτιος τῷ γεννήσαντι, ὡς τὰ καὶ τά[1], δι' ἃ καὶ ἀπαξιοῖ με τῶν ὁπωσοῦν πατρικῶν.

Ἀλλ', ὦ βέλτιστε, εἰ ἀπειθὴς ἐγὼ τῷ πατρὶ καὶ ἀνάγωγος, δέδωκα τὰς δίκας ἀξίας[2]· ξένος ἐγενόμην τῆς οἰκίας τῆς πατρικῆς, ξένος τοῦ κλήρου, μισητὸς τοῖς οἰκείοις, ἄτιμος τοῖς πολίταις, ἀνελεύθερος τοῖς ἡλικιώταις, πένης, ἄπορος, ἀλήτης, καθ' ἑαυτὸν ζῶν καὶ φροντίσιν οὐκ ἐχούσαις μηχανὴν μεριζόμενος. Ἦ οὐχ ἱκανὰ ταῦτα τῷ προτέρῳ μου βίῳ τὰ ἐπιτίμια; Διὰ ταῦτα καὶ ἀπεδήμουν· διὰ ταῦτα καὶ γῇ καὶ θαλάσσῃ προςεῖχον, ὡς ἂν ἀγωνισάμενος τὴν πατρικὴν ἀνακαλέσωμαι εὔνοιαν, ὡς ἂν σπουδάσας πλουτήσω· κἂν τῷ πατρὶ παρακατέχειν ἔτι δοκοῖ τὴν ὀργὴν τὴν ἐμὴν προαίρεσιν δοκιμάζοντι, ἐξῆν μοι ζῆν ἐκ τῶν ἐμαυτοῦ, μηδὲν εἰς ξένας χεῖρας ἐφ' οἷς ζήσομαι βλέποντι. Οὗτος ὁ λογισμὸς καὶ τῇ θαλάσσῃ ῥιπτεῖ. Καὶ ναῦν εὑρὼν ἐπιβαίνω· καὶ ὅσοις μὲν πρῶτον ἐνέκυρσα τοῖς δεινοῖς τίς ἂν ἐξίκοιτο λόγος;

Μὴ γὰρ ὅτι ἐπιμείνας περιεγενόμην, τοῦτο καὶ μόνον λογίζου. Ἀλλ' ἐννοοῦ καὶ τὰ πρότερα, καὶ ἀντιτίθει τοῖς συμβᾶσι τὸ τέλος· καὶ οὕτως ἐμοῦ δὴ καὶ μόνου, ὡς καὶ μόνου παμπληθὲς[3] ἀθλήσαντος, κρινεῖς ὡς γέρας τὴν ναῦν. Πολλοί τινες τρέχουσιν ἐν σταδίῳ, ἀλλ' ἑνί τινι τὸ βραβεῖον ἀποκεκλήρωται. Καὶ ὁ τὸ τέλος μόνον σκοπῶν τύχης ἀποφανεῖ τὸ γέρας ἕρμαιον, ὁ δὲ πρὸ τοῦ τέλους διανοούμενος, ἐκεῖνος οἶδε καὶ πόνον ποδῶν καὶ βάρος ἰξύος, καὶ συνεχεῖς ἱδρῶτας, καὶ σώματος ὅλου τάσεις, καὶ ἀγωνίας, μή πως ἢ ὀλισθὼν παραθραυσθείη καὶ συμπατηθεὶς ὄλοιτο, ἢ πολλὰ καμὼν τέλος αἰσχύνην ἀποίσαιτο. Ταῦθ' ὅρα καὶ ἐπ' ἐμοί. Τὴν ναῦν ὁρᾷς; ἀλλὰ πρόςεχε καὶ τοῖς πόνοις οἷς ἐκτησάμην ταύτην τὸν νοῦν.

[1] Τὰ καὶ τά] sic τὸ καὶ τὸ τῶν κακῶν bis p. 103; necnon infra.

[2] Non debui mutare ἀξίας p. 14, n. 2.

[3] Παμπληθές] vide p. 84, n. 2.

Ἄρτι γὰρ νὺξ ἦν καὶ σκότος κατ' οὐρανόν, τοῦ ἡλίου κρυβέντος τοῖς νέφεσι, καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός, καὶ ἡ θάλασσα ὤδινε[1], καὶ ἡ τέως ἥμερος ἐκυρτοῦτο[2], καὶ ἡ συνεχὴς ἐμερίζετο, καὶ ἄλλο ἐπ' ἄλλῳ κῦμα ἐπέκειτο· καὶ ἡ ναῦς ποτὲ μὲν ἀκόσμως ἀνέβαινε μετεωριζομένη τοῖς κύμασιν, εἶπες ἂν ἐκκρεμὴς εἰς ἀέρα, μηδενὸς ταύτην ὑποστηρίζοντος· ποτὲ δ' αὖθις ὡς εἰς Ἅδου κατέβαινε, καὶ αἱ τῶν πλεόντων καρδίαι αὐτῇ κατερχομένῃ συγκατεδύοντο. Ὅπλα δὲ καὶ λαίφη καὶ πρότονα εἰς λεπτὰ διαλυθέντα καθ' ὑδάτων ἐφέροντο. Καὶ ὁ κυβερνήτης πρὸς τὸ δεινὸν ἀπειπών, ἐπὶ τῶν καταστρωμάτων εἰκῇ κείμενος, πατεῖν ἑαυτὸν παρεῖχε τῷ θέλοντι. Πάντα μεστὰ ταραχῆς, τὰ ἐκτός, τὰ ἐντός, τὰ ἔνδον ἔτι κατὰ ψυχήν. Πάντα θορύβου πλέα, πάντα κραυγῆς, ὡς αὐτίκα θανουμένων, συμμίκτου. Τέλος διαπεφωνηκότες, οἱ μὲν κοντοῖς πιστεύσαντες ἑαυτούς, οἱ δὲ τῷ τυχόντι, ἐπεὶ καὶ ἀκτὴν εἶχον βλέπειν ἐγγύς, καὶ προφανὴς ὁ κίνδυνος ἦν, κατὰ τῶν κυμάτων ῥίπτουσιν ἑαυτούς, ναῦν ἐκείνην πᾶσαν καὶ φορτία πάντα χαίρειν ἐάσαντες. Ἀπολειφθεὶς δ' ἐγὼ μόνος πρῶτον μὲν ἐκείμην, μηδὲν ἔχων κινηθῆναι ἀφ' ἑαυτοῦ, ἀπροαιρέτως κινούμενος· ὕστερον δ' ἐπισυνάξας τὸν λογισμόν, καὶ πρὸς τὸν κίνδυνον ἀποβλέψας, καὶ τὸν ὅσον οὔπω πικρὸν ἐν ὕδασι θάνατον[3] ἤδη πρὸ ὀφθαλμῶν ἔχων, ὠλοφυρόμην τὴν τύχην τὴν ἐμαυτοῦ, καὶ τὴν μωρὰν ἐκείνην ἀπείθειαν ἐταλάνιζον, καὶ πρώτως ἠρξάμην κατανοεῖν οἵοις δεινοῖς ἑαυτοὺς οἱ προςκεκρουκότες τοῖς γεννήσασι περιβάλλουσιν. Ἀλλ' ὅμως — τί γὰρ μηκύ-

[1] Noster sibi similis Hist. t. I, p. 396, 8 : ναυαγίῳ χρῶνται δεινῷ· αὐτίκα γὰρ ὤδινε μὲν ἡ θάλασσα, καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός, σὺν δὲ νεφέεσσι γαῖαν ὁμοῦ καὶ πόντον κάλυψε. Imitabatur Homerum Od. 5, 293 : σὺν δὲ νεφέεσσι κάλυψεν Γαῖαν ὁμοῦ καὶ πόντον. Imitabatur et Aristidem fragmento quod Hermogenes De Formis, 1, 26, servavit, et male omisit in Testimoniorum Sylloge Jebbius. Sic enim Aristides : .... ἄρτι μὲν γὰρ συνιούσης τῆς ναυμαχίας ὤδινεν ἡ θάλασσα καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός. Quos locos opportune mihi ministravit L. Dindorfii Thesaurum Didotianum ditantis erudita diligentia. Venti epithetum λαμπρός illustravi in Delectu Patrum Sinneriano, ad Synesii verba νότος συνεπιλαμβάνει λαμπρός, p. 461.

[2] Schol. : ἀντίθεσις οἷον ἀντιστατική, καὶ ἔκφρασις τοῦ χειμῶνος.

[3] De morte in undis locus est lectu elegantissimus Synesii Ep. 4, ubi inspici poterit adnotatio mea in Delectu Sinneriano, p. 468.

νειν; τὸ γὰρ δεινὸν ἐπέκειτο πλεῖον καὶ πολὺ ἦν τὸ μετὰ ταῦτα ναυάγιον· — λογισμοῖς τισίν, ὡς ἐδόκουν, οὐκ ἀγεννέσιν ἐμαυτὸν συγκροτῶ[1]*, καὶ πρὸς τὸ δεινὸν παραλόγως ἀνδρίζομαι, ὡς ἢ ζήσων καλῶς, εἴπερ καὶ περιγένωμαι, ἢ καλῶς τεθνηξόμενος, καὶ οὕτω κἀκείνως τὸ τῆς ἀποκηρύξεως αἶσχος ἀποκρυψόμενος*[2]. *Καὶ τὸ ἐντεῦθεν τίς ἂν ἐξειπεῖν ἰσχύσοι τὰ κατ' ἐκείνην τὴν πᾶσαν νύκτα δεινά; ποῖος οὐ συνεκρότησεν ἄνεμος τὰς πνοὰς κατ' ἐμοῦ; ποῖον κῦμα οὐ πρὸς σκοπὸν καὶ μόνον ἐμὲ προςπίπτον, ὡς εἰς πέτραν προβλῆτα, εἰς ἄχνην λεπτὴν διελύετο; ἔστι δ' οὗ καὶ νικῶν ἐμέ, καὶ καταβάλλον ἐπὶ τῶν καταστρωμάτων πολλάκις, ἢ καὶ πρὸς θάλασσαν καθαιροῦν, κἀμὲ τῆς νηὸς ἀποσπῶν, ὡς ἀμφισβητοῦν ἄντικρυς; Ἐβαπτίσθην πολλάκις καταδυθείς, ἀλλ' οὐδ' ἅπαξ τῷ κύματι τῆς νηὸς παρεχώρησα. Ηλθον ἐγγὺς τοῦ πνιγῆναι πολλάκις, ἀλλ' ἐκ μέρους ἀντειχόμην καὶ τῆς νηός. Πολλάκις ἐβυθιζόμην, ἀλλ' ὁ νοῦς ἐκεῖσ' ἦν, καὶ ταῦτα παθὼν διεκαρτέρουν, ἕως οὗ λωφᾷ τὸ δεινὸν ἐκεῖνο, καὶ νικῶ μόλις τὸν ἄγριον ἐκεῖνον καὶ ἀνυπόστατον κλύδωνα· νικῶ δ' ἀντέχων τραπέντα, πρὸς τὰ δεινὰ καρτερήσας πρότερον.*

Εἶτα σὺ τὸν οὕτως ἀθλήσαντα, τὸν οὕτω ταλαιπωρήσαντα, τὸν οὕτω περὶ ψυχῆς δραμόντα, ἀποστερεῖν ἐθέλεις τοῦ δόματος; καὶ οὐκ ἄξιον κρίνεις ἐμοὶ τοῦτο τῶν πολλῶν ἐκείνων μόχθων, καὶ τῶν ἀγώνων, ὧν καὶ ὑπὲρ δύναμιν πᾶσαν ἠγώνισμαι; καὶ τίνος χάριν λοιπὸν τὰ μεγάλα ἐκεῖνα διήθλουν καὶ πρὸς τόσα καὶ τόσα ἀντεῖχον τὰ χαλεπά, εὐχερὲς ὂν ζητεῖν καὶ αὐτὸν ἐμὲ κατὰ τοὺς ἄλλους τὴν σωτηρίαν, κἀκεῖσε ῥέπειν ὅπου σωθήσομαι.

« Ἀλλ' ἐν ἄλλοις[3] *ἔδει » φησίν, « ἀνδρίζεσθαι ».*

Ἐμοὶ λέγεις τοῦτο; λέγε τῇ τύχῃ, λέγε τῷ δαίμονι. Ὥςπερ ἂν ἐξεπίτηδες ἐπέβαινον τῆς νηός, πατρικῆς οὔσης, ὡς λέγεις, μάντις ὤν, ὦ Ζεῦ, ἢ παρά του θεῶν εἰδὼς ὡς πάντως περιστήσεται καταιγίς, καὶ οἱ ναῦται πρὸς τὸ δεινὸν δειλανδρήσουσι, κἀγὼ τότε ἀγωνιοῦμαι καὶ ὑπὲρ δύναμιν, καὶ παρὰ τύχης λάβω ὧν παρὰ

[1] Συγκροτῶ] sic jam p. 142, 1 : *τούτοις ἐμαυτὸν συγκροτήσας.*

[2] Et superius p. 143, 26, pariter dixit : *ἀποκρυψάμενον τὸ τῆς ἀποκηρύξεως αἶσχος.*

[3] Schol.: *μετάληψις.*

τοῦ πατρὸς ἀποκέκλεισμαι. Ποῖος ταῦτ' ἔφησε μάντις; ποῖος τερατοσκόπος ἢ ὀνειροπόλος ἐμυήθη τὰ συμβησόμενα;

« Ἐν ἄλλοις ἔδει ἀνδρίζεσθαι ». Λόγος οὗτος πρὸς πᾶσαν ἀρκῶν εὐδοκίμησιν. Τί λοιπὸν τὰ γέρα διδοῦσι τοῖς ἀθληταῖς, ἐξὸν λέγειν· « Ἐν ἄλλοις ἔδει νικᾶν »; τί τοῖς τὴν πόλιν καλὸν ποιοῦσι τὰς ἀμοιβάς[1], δέον λέγειν, ὡς ἄλλο τι ἔδει ποιεῖν καὶ μὴ τοῦτο ὃ γέγονε;

Ἐν τούτοις ἔδει ἀνδρίζεσθαι, βέλτιστε, ἐν οἷς παρὼν ἔτυχον. Ἐν τούτοις ἔδει πονεῖν, ἐξ ὧν ἦν λύειν τὴν ἀπορίαν καὶ θεραπεύειν τὴν ἀποκήρυξιν. Ὑπὲρ τούτων ἔδει καὶ θαλάσσῃ καὶ πνεύμασι μάχεσθαι, ὧν ἐμὲ δικαίως ἐστέρησέ γε τὸ ἀφερέπονον. Ἀποκήρυκτος ἤμην; ἀλλ' ἠνδριζόμην καὶ ὑπὲρ δύναμιν· ἀπηχθημένος τῷ γεγεννηκότι; ἀλλ' ἐπέμεινα τῇ νηΐ· ξένος τῶν πατρικῶν; ἀλλ' ἴδιον τῶν πόνων ἔσχον καρπόν. Τίς γεωργὸς ὢν καὶ καταβάλλων κόποις[2] χειμῶνος τὰ σπέρματα, ἄλλοις ἐς νέωτα παραχωρεῖ τῶν καρπῶν; τίς ἀθλῶν καὶ νικήσας ἄλλοις ἐξίσταται τῶν στεφάνων; τίς πλέων ἐπὶ νηὸς καὶ τοῦ χειμῶνος καταλαβόντος, τῶν ἄλλων ἀποφυγόντων, αὐτὸς ἐπιμένων, ὁμόσε χωρῶν καὶ ζάλῃ καὶ καταιγίσι καὶ πνεύμασιν, εἶτα, περιγενόμενος τῶν δεινῶν, τὰ τῆς τύχης δῶρα λαμβάνειν ἄλλοις ἀφίησιν; Ἄφρων ἂν ἦν, εἰ, τοῦτο προςδοκῶν, κἂν ὥραν μίαν ἐπέμεινα. Διὰ τί γάρ, ἄνδρες; διὰ τί; ἵνα κεναῖς ἀπελθὼν ταῖς χερσίν, ἐπαίνου τύχω καὶ κροτησμοῦ; ἄξιον ἂν ἦν τὸ γέρας τῶν τοσούτων καὶ τηλικούτων πόνων, καὶ τῆς μακρᾶς ἐκείνης καὶ κινδυνώδους περιφορᾶς· ἀλλ' ἵνα πάλιν εἰς δικαστήριον ἑλκυσθῶ, καὶ δικαστὰς ἴδω καὶ βῆμα, καὶ ἀγωνίζεσθαι ἀναγκάζωμαι; λαμπρὸν ἂν ἦν τὸ ἐπὶ τοῖς κόποις ἆθλον καὶ θαυμάσαι ἄξιον.

Τί τηνάλλως, ἄνθρωπε, λέγεις, καὶ τῆς ἐμῆς βαρύτερος φαίνῃ τύχης; οἷς ὅτι[3] ἐκείνη μέν, εἰ καὶ μόλις, ἀλλ' ὅμως ἐσπείσατο,

[1] Repetendum mente διδοῦσι.

[2] Sic cod. Fortasse excidit præpositio σὺν κόποις, ἐν κόποις.

[3] Exempla formulæ οἷς ὅτι ex Pachymeris Progymnasmatis vide in notis ad Choric. p. 256. Ea usus est supra p. 91, 2; utetur et Decl. X, XI. Aristides extrema oratione 53 : χάριν ἂν εἰκότως ἔχοι Λεπτίνης οἷς ὅτι πλέον ἐντεῦθεν τοῦτον σεμνύνεις. Gallice, « en ce que

ἐπαίνου δὲ τύχης[1] παρὰ πολλῶν. Ταπεινοῦ πρὸς πάντας· σωφρόνει· γενναῖος ἵστασο πρὸς τὰς ἡδονάς. Ἐλευθέραν μὲν ψεύδους ἔχε τὴν γλῶτταν, ἐλευθέρας δὲ δώρων τὰς χεῖρας. Κοινωνικὸς ὢν ἔχεις ἔσο τοῖς γείτοσι. Προαιροῦ μὲν σαυτὸν εὖ ποιεῖν, προτίμα δὲ τὴν πόλιν καὶ σεαυτοῦ. Εἰ δὲ καὶ ἰσχὺν ἕξεις πρὸς τὸ βουλεύειν, μὴ φθόνει τῆς ἐντεῦθεν ὠφελείας τῷ δήμῳ. Ὀνομαστὸς ἐντεῦθεν γενήσῃ καὶ τῇ πόλει περίβλεπτος. Πολλοὶ μέν, ὡς εἰκός, βασκανοῦσιν εὐδοκιμοῦντί σοι· σὺ δὲ μηδ' οὕτως ἀπόσχῃ, ὡς ἂν οἷός τε ᾖς, εὖ τὴν πόλιν ποιεῖν. Ἔχε τοὺς λόγους τοὺς πατρικοὺς ὡς ψυχήν, κἀκεῖνοι κινείτωσάν σε πρὸς τἀγαθόν. Περὶ μέν τοι τοὺς τρόπους, ἔχω μὲν λέγειν καὶ παραινεῖν ἀκολουθεῖν τῷ πατρί, καὶ θάῤῥος ἔχω τὰ πολλὰ συνοίσειν σοι τὴν παραίνεσιν· οὐ γὰρ ἐξώλης ἐγὼ τὸ παράπαν, οὐ φειδωλός, οὐ πλήκτης, οὐ βάσκανος, οὐ ψεύδους φίλος, οὐ στρεβλὸς τὴν γνώμην, οὐκ ἐραστὴς τῶν κακῶν. Ἀλλ' ἐγὼ μέν — οὐ βούλομαι δὲ λέγειν τἀμά· σὺ δ' ἐκλέγου τὸ κρεῖττον, καὶ ὅσον μὲν ἀπ' ἐμοῦ λάμβανε, λάμβανε δὲ καὶ παρὰ τῶν ἄλλων τὸ χρήσιμον, πατέρας ἡγούμενος πάντας, ἐξ ὧν πραττόντων κερδαίνειν ἔχεις ὁρῶν. Πλὴν σὺ μὲν βούλου μηδὲν ἐλλείπεσθαι τῶν καλῶν· ἐπὶ δὲ τοῖς ἄλλοις καὶ τῷ πατρὶ δίδου

[1] Cod., τύχης, superscripto οι. Prætuli τύχης quod id tempus sæpius sensum futuri teneat. Lucillius Anth. 11, 133 : ποῦ τις ἀπέλθῃ Λοιπόν; ubi puto ποῖ fuisse correctum paulo calidius. Apud Theodorum Prodromum, Rhodantes supplemento, Artaxanes, legatus a rege Bryaxa missus, Mistylo archipiratæ epistolam Bryaxæ in manus tradit, cui Mistylus responsurus est. Interim Gobryam satrapam suum jubet ut legatum lauto excipiat convivio: Τὸν μὲν Βρυάξου σατραπὴν Ἀρταξάνην, Ἔφη, λαβὼν σύ, Γωβρύα, σὺ μὲν τέως Φιλοφρόνησον καὶ μακροῦ μόχθου βάρος Λῦσον τραπέζῃ καὶ καταστρώσει κλίνης. Εἰςαύριον δὲ συλλαβῶν ἀντιγράφους, Λαβὼν μετέλθοι πρὸς τὸν αὐτοῦ δεσπότην. Prætulit μετέλθοι varietati μετέλθῃ vir d.; equidem μετέλθῃ malim, « redibit ». Sed hæreo in duplici participio συλλαβὼν ἀντιγράφους, λαβών. Propono scribendum mutato accentu, συλλαβῶν ἀντιγράφους λαβών, id est, « epistolæ antigrapho accepto ». Tunc dixerunt συλλαβήν, συλλαβάς pro « epistola », pro « epistolis ». Recitaturus Charicli Cleander apud Nicetam Eugenianum, 2, 95, quam scripsit Calligenæ epistolam, Καὶ δευτέρας οὖν, ait, συλλαβῆς Ἄκουε. Cui Charicles : Ἀλλ', ὦ φίλε Κλέανδρε, μηδὲ τῆς τρίτης Ἐμοὶ φθονήσῃς συλλαβῆς πρὸς τὴν κόρην. Rursus, 277 : τετάρτῃ συλλαβῇ δὸς ὠτίον. Sic jurisconsulti. Codex Justiniani, L. 1, 7 : γινώσκειν βουλόμενοι τὴν σὴν Ἁγιωσύνην πάντα τὰ εἰς ἐκκλησιαστικὴν ὁρῶντα κατάστασιν, ἀναγκαῖον ἡγησάμεθα ταύταις πρὸς αὐτὴν χρήσασθαι ταῖς θείαις συλλαβαῖς. Vid. Rad. Fornerii Res Quotid., 4, 19.

καὶ τῇ γνώμῃ τὸ πρέπον, καὶ τῷ ἔθει τὸ ἀναγκαῖον, καὶ τῇ ἐμφύτῳ προαιρέσει τὸ τέως ἀκολουθοῦν. Τί γάρ, εἰ σὲ μὲν καὶ πατὴρ ἐρευνῶν, καὶ παιδαγωγοὶ τηροῦντες καὶ παιδευταὶ παραινοῦντες, καὶ τὸ τραφῆναι καλῶς ὤνησεν, ἐμὲ δέ, ἢ καὶ τυχὸν ἕτερον, μηδὲν συνδραμόντα ταῦτα, οὕτω τῆς τύχης διδούσης, οὐδ' ὠφελεῖν ἐς τὸ ἀκριβὲς ἔσχον, ἐφ' ᾧπερ ἀνεπίληπτον ἔχειν τὸν βίον καὶ τῷ παντί; ἡμεῖς μὲν οὖν ἴσως γέροντες ἤδη, καὶ τὸ πολὺ τῆς ἡλικίας παρήλθομεν· παρεχρησάμεθα δὲ ἐφ' ἡλικίας καὶ τῇ νεότητι, καὶ τὸ ἔθος παρὰ μικρὸν φύσις ἐγένετο[1]. Καὶ παρὰ τὴν σὴν μητέρα ἑταίραις προσέσχομεν, οὐ καλῶς. Ἀλλ' ὅμως μητέρα ἔχεις τῶν σεμνοτάτων, καὶ ἱκανὴν ἐκ τῶν οἰκείων τρόπων τὴν σωφροσύνην παρασκευάζειν ἀσπάζεσθαι. Κἂν ἀπ' ἐμοῦ μὴ τοῦτο κερδαίνῃς, ἀλλ' ἀπ' ἐκείνης λάμβανε τὸ παράδειγμα· καὶ μὴ οἷς ἐγὼ ἴσως οὐκ ἐπαινετὸς τοῖς πᾶσι μιμοῦ[2], ἀλλ' οἷς ἡ μήτηρ καὶ παρὰ τῶν μὴ ἰδόντων θαυμάζεται κατ' ἴχνος ἕπου, καὶ τὸ χρήσιμον σύναγε. Εἰ δὲ καὶ παρ' ἐμοῦ θέλεις ἔχειν τὸ μάθημα, ἀκούων ἔχε, καὶ ἀποστρέφου τὸ παρ' ἐμοῦ κακιζόμενον. Πολλὰ γὰρ τοῖς πολλοῖς τῇ τομῇ τοῦ λόγου διαιρεῖται καὶ κρίνεται, καὶ τὸ κρεῖττον τοῦ χείρονος διαστέλλεται. Οὐδὲ γὰρ ἔχει τις ἀπατᾷν ἑαυτόν, εἰδώς, κἂν ὅ τι καὶ βούληται· ἀλλ' ὅμως ὃ κρίνει τις οὐ συμφέ-

[1] Noster rursus Declamatione decima : τὸ ἔθος παρ' οὐδὲν φύσις. Anonymus in Georgidæ Gnomologio, p. 32, Nazianzeni verba detorquens, ibidem legenda, p. 54 : ἔθος διὰ μακροῦ χρόνου βεβαιωθὲν φύσεως ἰσχὺν λαμβάνει. Ibi n. et p. 450. Idem Nazianzenus, t. II, p. 10 : Ἔθος γὰρ ἐγχρονίζον εἰς νόμον τελεῖ. Julianus Misop., p. 353 : ἔθος, φασί, δευτέρη φύσις. Quæ ionica forma δευτέρη est et in codice. Sententiam scriptoris cujusdam ionici mutuabatur princeps eruditus. Aristoteles Nicom., 7, 10 : τὸ ἔθος.... φύσει ἔοικεν. Idem Rhet., 1, 11, 3 : ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει. Cicero Invent., 1, 2 : « a jucundissima consuetudine recederet, quæ præsertim jam vim naturæ obtineret propter vetustatem ». Adde Erasmum Adagio : « Usus est altera natura ». Petrarca Son., 1, 7 : « Nostra natura vinta da costume ». Ibi Menagius. Et est in Georgidæ Gnomologio sententia conferenda, p. 18 : βίον ἡγοῦμαι τὸν ἄριστον· τοῦτον γὰρ ἡδὺν ἡ συνήθεια ποιήσει. Vidi codicem in quo ἡγοῦ. Apud Antonium est αἱροῦ. Utraque varietas edita lectione melior, et hæc illa.

[2] Fortasse, μή με.... μίμου. Libanius recuperet idem pronomen, t. IV, p. 113, 10 : ὃ δὲ μάλιστα λυπεῖ παρὰ τοῦτον τὸν ἀγῶνα.... Codex 3017 : ὃ δέ με μ. λ. π. τουτονὶ τ. ἀ. Idem p. 583 : τοῦτο μόνον ὁ κατήγορος ἀφελέσθαι μετὰ τῆς τύχης οὐκ ἴσχυσε. Codex : τοῦτό με μ. ὁ κ. μετὰ καὶ τ. τ....

ρον, ἡττώμενος πράττει, καὶ ὃ νόσος σώματι, τοῦτο πάθος ψυχῇ. Ὥςπερ οὖν οὐδεὶς νοσῶν ἀποστραφείη ὑγίειαν, οὕτω καὶ κατὰ ψυχὴν πλημμελῶν, οὐκ ἂν τὴν ἀρετὴν ὡς κακὸν ὑπολήψαιτο. Διὰ τοῦτο καὶ λόγος ἅπας εἰς νουθεσίαν μετὰ τοῦ καλοῦ ἀνύποπτος, κἂν ἐξ οὐδήποτε λέγοιτο. Τί ζητεῖς πῶς πράττει τὸν λέγοντα; πρᾶξις δουλεύει καὶ πάθει καὶ συνηθείᾳ καὶ ἔθεσι· λόγος δὲ τούτων ἁπάντων ἐλεύθερος. Εἰ βούλει δέ, καὶ μᾶλλον ἐκ τοῦ ἡττωμένου τῶν παθῶν κερδανεῖς, ὅσον ἐκεῖνος οἶδε καὶ τὸ αἶσχος ἀκριβῶς ὁποῖον, καὶ τὴν ἧτταν ὁπόσον πικρόν· καθάπερ ἀμέλει καὶ παρὰ τῶν νοσούντων ἀσφαλῶς τις εἰδείη[1] ἂν ὁπόσον καλὸν ἡ ὑγίεια. Κρείττων ἡδονῶν ἴσθι. Μὴ περὶ κάλλη πτοοῦ τῶν γυναικῶν, μηδέ σε γυνὴ πυγοστόλος ἐξαπατάτω, ὁ ψωμισθεὶς[2] τὴν σοφίαν παρὰ Μουσῶν Ἀσκραῖος φησίν. Εἰ δέ γε πολλάκις συναρπασθῇς[3] ἢ καὶ ἄλως, εὐθὺς ἀποπήδα καὶ μὴ ἐπίμενε. Ἐκείνως μὲν γὰρ πόρνος κληθήσῃ· οὕτω δὲ πορνεύσας, συγγνωσθήσῃ τῆς ἀτοπίας, ὡς ἄνθρωπος. Οἶδα τὸ πάθος καὶ τοῖς νόμοις αὐτοῖς προστιμώ-

[1] Codex εἰδοίη. Rescripsi quod poscit usus et norma. Pronunciatio similis vocalium dissimilium id parit vitii. Heliodorus, 1, 25 : πῶς οὖν οὐκ ἂν εἴης ἄτοπος, εἰ τὸν βάρβαρόν με τοῦ Ἕλληνος, τὸν λῃστὴν τοῦ ἐρωμένου, πιστεύοις ἐπιπρόσθεν ἄγειν; Codex Venetus πιστεύσεις, impositis posteriori σ punctis duobus, quæ delendam litteram significant. Remanet πιστεύεις, quod placet; nec displiceret futurum. Libanius, t. IV, p. 432 : γνοίη δ' ἄν τις αὐτῶν τὴν τῆς ἀτοπίας ὑπερβολήν, εἰ τὰ πρώην γεγενημένα διὰ βραχέων ἀκούσοι διηγουμένου. Codex ἀκούσει, superscripto οι. Præfero futurum. Symeon Sethi Ichnel., 142 : ὁ πικρὸς καρπός, κἂν πολλάκις ἐπιχρισθῇ μέλιτι, οὐκ εἶδε μετατρέπειν τὴν οἰκείαν πικρότητα εἰς γλυκύτητα. Non εἶδε, sed οἶδε. Plutarchus de Mario in ejus, c. 3 : ὀψέ ποτε τὴν πόλιν εἶδε. Propono οἶδε, etsi εἶδε sententiam efficiat non malam, nec codices, quod quidem noverim dissentiant. Sed πόλιν εἰδέναι modus est loquendi valde usitatus. Philostratus Epist. 39 : ἦρα.... ἡ Δημήτηρ τῶν τὰ ἄστη οὐκ εἰδότων. Ibi multa apposui. Porphyrius, de Abstin., 1, 37, post Platonem (Theæt. 78) : οὔτε τὴν ὁδὸν οἶδεν ὅπου τὸ δικαστήριον. Adde Bergl. ad Alciphr., 1, 11. Claudianus de sene Veronensi : « vicinæ nescius urbis ». Fenelon Telemacheide : « les étrangers oublient peu à peu le chemin de Tyr ».

[2] Hesiodum videlicet Ascræum, quem Musas aluisse ex male lecto vel intellecto male Theogoniæ versu nonnulli veterum crediderunt : Καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον Δρέψασθαι θηητόν. Ubi vide Lennepii viri erudit. Commentarium, p. 146. Sophista respexit Ἔ. 370 : Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτο.

[3] Συναρπασθῇς] id verbum putavi reponendum p. 105 : πολίτην ἀπὸ θυμοῦ, ἢ συναρπαγείς, ἢ βασκήνας, πεφόνευκα. Codex θυμοῦ, ἢ συναρπαγῆς. Monere neglexi imprudens proprio loco.

μενον, πλὴν ἐπὶ γυναικῶν μάλιστα, ἃς δὴ καὶ ἑταίρας ἰδίως καλοῦσι, ποινὰς ἐχούσας καὶ ἑαυταῖς καὶ τοῖς ἐξ αὐτῶν· ἀνὴρ δ' εἰ μὲν φυλαχθείη, καλόν· εἰ δ' ἁλοὺς ἐπιμένοι, νόμον μὲν οὐκ ἔχει τὸν προστιμῶντα τούτῳ τινὸς χαλεποῦ, οὔτ' αὐτῷ, οὔτε τῷ ἐξ αὐτοῦ. Ἀλλ' ὅμως, εἰ βούλοιτό τις τῶν πολλῶν στομάτων ἐλεύθερος ζῆν, παραφυλακτέον ἐκείνῳ τὸ πάθος ἐς ὅσον οἷόν τε ».

Ταῦτ' ἔλεγεν ὁ πατήρ, ταῦτ' ἤκουον ὁσημέραι. Καὶ λοιπὸν πόνος ἐμοὶ συνεχὴς καὶ σπουδὴ μία, τὸ κατὰ τὰ ἐπεσταλμένα ποιεῖν.

Ἐπεὶ δ' εἰς ἄνδρας παρήγγειλα[1], καὶ ἡλικίας ἡπτόμην καθ' ἣν ἐχρῆν ἐκλέγεσθαι καὶ τὸ ἐπιτήδευμα, φιλόδημος (πῶς εἴποιμι;) ἐφαινόμην, καὶ ζηλωτὴς τῆς ἡμετέρας πολιτείας ἐς ἄκρον, ὁμολογῶ. Καὶ τὰ κατ' οἶκον ἀφεὶς ἐξετάζειν, καὶ σκοπεῖν πῶς ἂν ἐκ τῶν δυνατῶν[2] περιουσιάζοιμι ἐμαυτῷ, φέρων[3] τοῖς κοινοῖς τὴν ἐμὴν ὁρμὴν δίδωμι, καί, καθὼς ἔχω δυνάμεως, πολιτεύομαι. Οὐ πρεσβείαις διακονῶ, οὐ στρατοῦ ἀφηγοῦμαι, οὐκ ἐπιστατῶ φορολόγοις, οὐ πρυτανεύω, οὐκ ἄλλο τι τοιοῦτον μετέρχομαι τῶν πολιτικῶν. Ἀλλ', εἴ που βουλὴ πρόκειται πῶς κατὰ τρόπον[4] γενήσεταί τι καὶ εἰς συμφέρον, καὶ δεῖ συνερχομένους τοὺς βουλευτὰς τὸ παριστάμενον λέγειν ἐς ὅσον ἰσχύει ἕκαστος, συγκαλοῦμαι κἀγώ, καὶ κιχρῶ μὲν τῇ πόλει τὸν νοῦν, κιχρῶ δὲ τὴν γλῶτταν[5] τὰ τοῦ νοὸς ἐξαγγέλλουσαν. Καὶ ἐς ὁπόσον φθάνω, καὶ μεθ' οἵας γνώμης τὰ τῆς συμβουλῆς μέτειμι, αὐτοὶ μαρτυρεῖν ἔχετε. Μαρ-

[1] Pachymeres Hist. Andronici, 5, 8: νεανίας τις ἤδη παραγγείλας εἰς ἄνδρας. Synesius De provid., p. 70: παραγγείλας εἰς φαλακρούς. Ibi Krabinger, p. 139. Dixit Choricius πρὸς ἄνδρας παρήγγελλες. Vide n. ad Anecdota Nova, p. 47.

[2] Ἐκ τ. δυνατῶν] vide p. 112, n. 4.

[3] Φέρων.... δίδωμι] Eunapius: προσέθετο φέρων ἑαυτὸν ἐκείνῳ· ubi de idiotismo illo multus fui pp. 157, 564. Leo Diac., 2, 2: ἔγνω μὴ ἐς προὖπτον κίνδυνον φέρων ἐνσεῖσαι αὐτόν· ubi erudite Hasius. Clemens Alex. Quis dives, p. 10: αὐτὸν ὑποβαλέτω φέρων γυμναστῇ τῷ Λόγῳ. Ibi Segaar. Planudes Vitæ Æsopi initio. Præibat vetustissimus poeta Hymno in Merc., 63: Καὶ τὴν μὲν κατέθηκε φέρων ἱερῷ ἐνὶ λικνῷ· ubi Ernest. Et docta est Giacomelli nota ad Soph. El., 1119, sed ad locum non opportunum apposita. Etenim Sophoclis verba, φέροντες λείψανα κομίζομεν non sunt prorsus eadem præcedentibus.

[4] Κατὰ τρόπον] sic non semel. Vide p. 123, n. 2.

[5] Sic Decl. X initio: κιχρῶ τοίνυν τῇ πόρνῃ τὴν γλῶτταν. Supra, p. 19: χρήσατέ μοι τὴν κοινὴν φωνήν.

τυρεῖ μοι δὲ καὶ ὁ τῆς πολιτείας χρόνος, καθ' ὃν οὐδὲν κατέγνω μού τις, μὴ ὅτι γ' ἀπεῖργον τοῦ βήματος τούτου καὶ τοῦ κοινοῦ συνεδρίου, ἀλλ' οὐδ' ὅσον καὶ εἰς μέμψιν ἄγον καὶ τὴν μετρίαν ἐμέ.

Ἀλλ' ἐλθὼν[1] οὗτος ἀρτίως, οὐκ οἶδα πόθεν, κατ' ἐμοῦ κινεῖ δικαστήριον, καὶ ἀνασοβεῖ[2] τὴν βουλήν, καὶ ὡς παράνομον κρίνει, τοῖς νόμοις, ὡς ἐγὼ λέγω, πολιτευόμενον. Τὸ γὰρ ἐμὲ λέγειν τοῦτο καὶ πολιτεύεσθαι προβάλλεται κατ' ἐμοῦ, ὡς παρανόμως τελούμενον.

Καὶ ὅτι μὲν νόμος ἐστὶν ὁ κωλύων ἐμὲ τοῦ λέγειν, ἄνω καὶ κάτω σοβεῖ[3]. Τίς δ' ὁ νόμος καὶ τί διατάττεται, οὐκ ἔχει θαῤῥεῖν καὶ λέγειν[4] ἐς τοὐμφανές. Ἀλλ' ἐγὼ καὶ ὑπὸ μάλης[5] φέρω τὴν βίβλον, καὶ τὸν νόμον, εἰ δοκεῖ, ἀναγνώσομαι.

Τὸν ἐξ ἑταίρας μὴ λέγειν ὁ νόμος φησίν[6]. Ἀκούεις, ὦ βέλτιστε; ἀλλ' ἐπαναλαβών, ἀναγνώσομαι πάλιν. Σὺ δὲ πρόσχες τὸν νοῦν. Οἴεσθέ με, ὦ οὗτοι, τὴν γραφὴν κακουργοῦντα ἐξαπατᾶν; ἀλλὰ προσέχετε, ἀξιῶ· « Τὸν ἐξ ἑταίρας μὴ λέγειν ». Ἠκούσατε τοῦ νόμου. Καί τι φησί. « Τὸν ἐξ ἑταίρας » φησίν « ἀπείργω τοῦ βήματος ». Τί λέγεις, ἄνθρωπε; Ἐξ ἑταίρας ἐγώ; τί παθὼν ταῦτα

[1] Schol. : προβολὴ πράγματος.

[2] Ἀνασοβεῖ] vide p. 114, n. 3.

[3] Ἄνω καὶ κ. σοβεῖ] vide p. 13, n. 4.

[4] Videtur esse θαῤῥεῖν καὶ λέγειν pro θαῤῥοῦντα λέγειν. In recentiorum oratione sæpius καὶ inter duo positum verba posterioris afficit significationem. Vide Coray. At. 2, 163.

[5] Lexicon in Anecdotis Bekkeri, p. 194 : ὑπὸ μάλης.... τουτέστιν ὑπὸ μασχάλης. Plutarchus Bruto, 1 : ἐγχειρίδιον λαβὼν ὑπὸ μάλης. Idem Symp. 5, Q. 1, 11 : λαβόντα δελφάκιον ὑπὸ μάλης. Lucian. D. M. 10, 9 : τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. Ibi Hemsterh. Idem Gallo, § 14 : τρυβλίον ἀφελόμενος, ᾤχετο ὑπὸ μάλης ἔχων. Ibi Sinner. Alciphro, 3, 46 : τὸ χειρόμακτρον ὑπὸ μάλης ἔχων. Vidi scriptum in bono codice ὑπ' ἀγκάλης, quod glossam sapit. Habet Alciphro ὑπὸ μάλης ᾤχετο φέρων, 2, 26. Heliodorus, 2, 30 : ὑπὸ μάλης τι βαλαντίδιον ἔχων. Codex Venetus sine τι. Procopius Vand. 2, 28, p. 530. Alia Valckenar. Adnot. in Thom. Mag. p. 169. Stephanus Thesauro sub Μάλη citat Synes. : ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας »· quæ sunt Themistii verba Orat. 7, p. 104, 16. At mira fuit clypeorum brevitas qui ita potuerint celari. Horatius : « ne forte sub ala Fasciculum portes librorum ». Alcibiades apud Corn. Nepotem « familiaris sui subalare telum eripuit » ; id est, telum breve quod sub ala latere potest. Atque hodie eadem formula Græci utuntur. Alex. Σοῦτσος scriptor eximius, Ἀγγελίᾳ p. 210 : διευθύνθην προχθὲς μὲ τὰ χειρόγραφα τοῦ Ἐφημεριδογράφου μου ὑπὸ μάλης.

[6] Schol. : τὸ ῥητόν.

λέγεις; οὕτως τὴν ἐμὴν μητέρα[1] τὴν σεμνήν, τὴν τῶν γυναικῶν κόσμον, τὴν σιγὴν ἀσκοῦσαν[2], τὴν σώφρονα; ἢ ξένος ὢν καὶ ποθὲν[3] ἐλθὼν οὐκ οἶδας ἐκείνην, ἢ μέμηνας ἄντικρυς. Κάλει μοι τὰς γειτονούσας, κάλει μοι τὰς συγγενεῖς, τὰς μακρόθεν, τὰς ξένας· κἀκεῖναι γυναῖκες οὖσαι περὶ γυναικὸς μαρτυρήσουσιν. Οὐ παντάπασιν ἀπείρηται γυναιξὶ τὸ μὴ μαρτυρεῖν. Ἔχουσι κἀκεῖναι τόπους καὶ μᾶλλον ἐπὶ τοῖς σεμνοτάτοις, καὶ ὅπου τοῖς ἀνδράσιν οὐ χώρα παρεῖναι, πιστῶς μαρτυρεῖν. Ἓν δὲ τῶν σεμνοτάτων, καὶ ἡ τῆς ἐμῆς μητέρος σωφροσύνη, οὐκ ἀνεπιβούλευτος μόνον ἀνδράσιν, ἀλλὰ μικροῦ καὶ εἰς δοκιμασίαν ἀνεπινόητος. Κρεῖττον ἦν ἐμὲ λέγειν πόρνον ἢ δύςνουν, ἢ ἄλλο τι τῶν κακίστων, καὶ ἐξελᾷν τῆς πνυκός[4], εἰ εἶχες, ἢ ἐκείνην τολμῆσαι οὕτως εἰπεῖν. Ταῦτα δὲ λέγων οὐ φρίττεις τὴν Ζυγίαν Ἥραν[5], τὴν τῶν σεμνῶν γάμων ἐπιστάτιν θεόν; Εἰ μὲν οἶδας ἐκείνην, αὐτόθεν κατάβαλε[6], καὶ ψεύδους ἁλοὺς ὁμολόγει, καὶ ἴσως σε τῆς εἰς ἐκείνην βλασφημίας μισούμενον τῆς μεταμελείας ἀποδεξόμεθα. Εἰ δ' οὐκ οἶδας, τί μὴ εἰδὼς προπετεῖς ἄλλως, καὶ τὰς σεμνὰς τῶν πολιτίδων ὑβρίζεις, κἀμοὶ μὲν ἐπέχεις[7], τὴν δὲ τεκοῦσαν συκοφαντεῖς;

Ἐγὼ μὲν οὖν[8] οὔτ' ἐξ ἑταίρας γέγονα, οὔτε μὴν εἰρχθήσομαι

[1] Deest verbum incuria omissum, vel ellipsi.

[2] Notus Sophoclis versus Ajace : Γυναί, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Quem respexit Choricius Mariæ epitaphio, p. 89 : τὴν Σοφοκλέους ἐγίνωσκε συμβουλήν.... πάσαις μὲν γυναιξί, παρθένοις δὲ μάλιστα πρέπειν τὴν σιωπήν. Ibi mea nota. Eumathius, p. 166 : αἱ γυναῖκες τιμῶσαι σιγήν, ὅτι καὶ κόσμος ταῖς γυναιξὶν ἡ σιγή. Ibi Gaulmin., et præsertim Bassus, p. 284. Ad Paulina Ep. 1 ad Cor. 14,. 34 : οὐ γὰρ ἐπιτέτραπται αὐταῖς (ταῖς γυναιξί) λαλεῖν· Bos utitur collatione Heliodori, 1, 21; ubi Burdelot, p. 32. Ad Menandri versiculum, in Anecd. Gr. meis, t. I, p. 153, Γυναιξὶ πάσαις κόσμος ἡ σιγὴ πρέπει, nonnulla apposui similia; in his Democriteam sententiam, φησί· γυναικὶ πλεῖστον κόσμον ἡ σιωπὴ φέρει· quæ in codice 2991 A est anonyma et caret vocabulo φησί. Adde Duport. Gnomol. p. 153. Regnardus Chorea : « en tout cas, j'avertis Qu'elle a l'entretien maigre et le discours concis. — Tant mieux pour une femme ».

[3] Codex, καὶ ποθέν. Malim interrogationem : « êtes-vous étranger, et d'où venez-vous pour ne pas la connaître » ?

[4] Sic codex, πνυκός, et infra, p. 219. Melius foret πυκνός, sed potuit ipse Pachymeres sic scribere vulgarius.

[5] De Junone Zygia Heinrich. ad Musæum, 275.

[6] Κατάβαλε] vide p. 12, n. 4.

[7] Κἀμοὶ μ. ἐπέχεις] sic p. 125, 20.

[8] Schol. : συλλογισμός.

τῆς βουλῆς. Ζήτει τὸν ἐξ ἑταίρας, καὶ εἶργε δικαίως ὃν ἂν εὕρῃς ἐνταῦθα πολιτευόμενον.

« Ἀλλ' ἐκ πόρνου » φησί « γέγονας, καὶ πολλαῖς παρὰ τὴν μητέρα προςεσχηκότος[1] τὴν σήν ».

Καὶ τί τοῦτο πρὸς τὴν τῶν νόμων διαταγήν; καὶ τίνα φέρει τὴν πρὸς τοὺς νόμους ἀσφάλειαν; Οὐκ ἀνὴρ[2] ὁ πόρνος; οὐχ ἡ ἑταίρα γυνή; τί κοινὸν γυναικὶ πρὸς τὸν ἄνδρα, οἷς διαπράττεται ἕκαστος; Καί μοι τὰ καθ' ἕκαστον ἀριθμοῦ. Ἀνὴρ ἀποδημεῖν ἔχει, καὶ τὰ κατὰ χρείαν πορίζεσθαι[3]· γυνὴ δ' οἰκουρεῖ καὶ ταλασιουργίᾳ προςτέτηκεν[4]. Ἐκεῖνος στρατεύει, καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιτάττεται· αὕτη θεραπαινίσιν ἐπιτάττει καὶ τὰ κατ' οἶκον οἰκονομεῖ. Ἐκεῖνος βουλεύει· αὕτη σιγᾷ. Ἐκεῖνος ἐλευθεριάζειν ἔχει ταῖς ἡδοναῖς· ταύτην σωφρονοῦσαν ὁ νόμος κατέχει μέχρι καὶ παροράματος. Ἂν ἀφελῇς τῶν γυναικῶν τὸ σεμνόν, ἀφῃρηκὼς ἔσῃ ταύταις τὸ ἰδιαίτατον.

Τί γοῦν τὰ πόῤῥω διεστῶτα κατὰ τὰς πράξεις ἐν ταὐτῷ συνάγεις, καὶ συλλογίζῃ τὸ ἀσυλλόγιστον; ἑταίραν ἀκούεις, καὶ πόρνον σκοπεῖς. Οὐκ εἶχεν ὁ νόμος εἰδέναι τὴν φύσιν, καὶ μνησθῆναι μὲν γυναικὸς ἑταίρας, μνησθῆναι δὲ καὶ ἀνδρὸς πόρνου, εἴπερ ἓν εἶχε ταῦτα κατὰ τὴν σὴν μαντείαν; οὐ γὰρ ἔχω λέγειν ἐξήγησιν. Εἰ δὲ καὶ ἐξ ἑνὸς ἠβούλετο καὶ ἄμφω δηλοῦν, ἔδει μᾶλλον ἐκ τοῦ κρείττονος καὶ τὸ χεῖρον δηλοῦν προςυπακουόμενον.

Ἐγὼ δὲ καὶ πολλήν σου καταγινώσκω εὐήθειαν, εἰ φεύγεις τὴν πονηρίαν, ὅτι νόμον ἀναπτύσσων πολιτικὸν οὐκ ἀναγινώσκεις ὡς γέγραπται· ἀλλ' ἄλλως ἐκείνου κειμένου, ἄλλως διέρχῃ σὺ τὸ

[1] Πολλαῖς παρὰ τὴν μ. προςεσχηκότος] sic est loquutus, p. 165, 9.

[2] Schol. : ὅρος.

[3] Etiam viri, sed tenues, opinor, vel tenuis et abjectæ naturæ, res ad victum necessarias ipsi e macello sibi emebant. Vir quidam Ecclesiaz. 819 : Κᾆπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.

[4] Epitaphium Claudiæ Anth. Lat. 4, 147 : « .... Domum servavit, lanam fecit ». Ibi Burm. Epitaphium Amymones in Fabretti Inscr. domest. 4, 35 : « .... lanifica, pia, pudica, frugi, casta, domiseda ». Paulus Tito, 11, 4 : ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, σώφρονας, ἁγνάς, οἰκουρούς. Ibi Elsner. Libanius, t. IV, p. 586 : ἡ δὲ μήτηρ ἐπαίδευεν ἐπὶ τῇ ταλασίᾳ διαπονουμένην πάνθ' ὅσα γυναικῶν ἔργα. Codex 3017, male ὑπό.

γραφέν, καὶ οὐδ' αὐτὸ δυςωπεῖ[1] τὸ ῥητόν, μηδὲν ἀσαφὲς ἔχον, μηδέ τι γρῖφον[2] καὶ περινενοήμενον, ὡς χώραν διδόναι ταῖς ἐξηγήσεσιν. Ὁ γὰρ ἐν ταῖς γραφαῖς νοῦς, σαφὴς μὲν ὤν, οὐ δεῖται τοῦ θύραθεν νοῦ· ἀσαφὴς δ' ἄλλως πολλὰς προΐσχει καὶ παντοδαπὰς τὰς ἐννοίας, καὶ πολλοὺς προςκαλεῖται τοὺς ἔξωθεν νοῦς, οὐκ ἔχων τόσους ἐκεῖνος, ἀλλὰ δεχόμενος εὐφυῶς.

Δεῖξον τοίνυν τὸ ἀσαφές, καὶ τὰς ἐξηγήσεις φιλοτιμοῦ, καὶ σύναγε λόγους μὴ ὄντας κατὰ τὸ σοὶ βουλητόν, μόνον ἐξ ὧν παρέχειν ἔχει τὸ κείμενον.

Τὸν ἐξ ἑταίρας μὴ λέγειν ὁ νόμος προςτάσσει, καὶ σὺ τὸν ἐκ πόρνου λέγεις. Πόθεν ὁρμηθεὶς εἰς τοῦτο; καὶ τὶ τῶν κειμένων παρέχει σοι ταύτην τὴν ἔννοιαν; Ἐξέταζε τὴν γνώμην τοῦ νομοθέτου, κἀκείνη ποδηγήσει σε πρὸς τὴν ἐξήγησιν τοῦ ῥητοῦ.

Ἀπεῖδεν ὁ νομοθέτης[3] καὶ πρὸς τὰς τῶν ἀνθρώπων τροφάς. Ἤκουσεν Εὐριπίδου λέγοντος[4]· « Ἔχει μέν τι καὶ τὸ τραφῆναι καλῶς ». Οὐ γάρ ἐστιν ἅπαν ἐκ φύσεως· ἀλλὰ φύσις μέν τινος ὑπόκειται δεκτική, ὡς ὕλη τις οὖσα, καὶ δυναμένη πρὸς ὅπερ καὶ παιδευθείη τὴν εἰδοποίησιν[5]· ἡ δὲ νηπιόθεν τροφὴ καὶ ἀναγωγὴ τὸ εἶδος ἐστί, καθ' ὅπερ καὶ ἐνεργήσειε. Τίνα τοίνυν ἕξει τὴν τροφὴν ὁ ἐκ πόρνης; τίσιν ἀρχαῖς καὶ κινήσεσι τὸ καλὸν μαθήσεται; ἐκ πατρός; ἀλλ' οὐκ ἔστι, καὶ πάντας ἕξει πατέρας τοὺς τῇ ἑταίρᾳ συνερχομένους, ἢ ὡρισμένως ἕνα τινά. Οὔτε γοῦν ὁ μὴ δόξας πατὴρ παιδεύσει, καὶ ὁ δόξας καταφρονήσει, ὡς ἐξ ἄλλου ταῖς ἀληθείαις καὶ μὴ ἐξ ἑαυτοῦ γεγονότος. Ἀλλ' ἐκ μητρός; ἀξίως ἄρα καὶ ἀναχθήσεται. Πῶς γὰρ παρὰ τῆς οὐδὲν ἐχούσης ἴχνος παιδεύσεως, ἀλλ' ὅλης ἐκδεδομένης ταῖς ἡδοναῖς, καὶ μᾶλλον ἀπολλύσης καὶ τοὺς αὐτῇ πλησιάζοντας; καλῶς ἂν ἀνα-

[1] Cod., δυςωπεῖ. Fortasse δυςωπῇ· « nec ipsum revereris effatum legis ». Fortasse et δυςωπεῖ active locum tueri potest : « nec ipsum tibi pudorem incutit ac reverentiam effatum ».

[2] Codex, γρίφον. Lucianus Vitarum Auct. 14 : αἰνίγματα λέγεις ἢ γρίφους συντιθεῖς; ibi Schol. : γρῖφος ζήτημα αἰνιγματῶδες, ἡ συμπλοκὴ συλλογισμοῦ. Et ibi Jacobitz.

[3] Schol. : γνώμη τοῦ νομοθέτου.

[4] Hec. 604 : Ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς. Sunt et Euripidis libri cum lectione, ἔχει γε μέν τι.

[5] Videtur deesse verbum δέχεσθαι, vel simile.

χθείη παρὰ τῆς ἐξώλους ὁ παῖς, καὶ ἑαυτῷ καὶ τῇ πόλει χρήσιμος γένοιτο. Ἀλλὰ συγγενεῖς λαβόντες παιδεύσουσιν; οἱ τίνες καὶ ποῖοι; οἱ πρὸς πατρός; καὶ τίς ἄρα καὶ ὀνομάσαι δέξαιτο συγγενῆ τὸν ἡδοναῖς τοιαύταις δουλεύοντα; ἀποστραφείη μᾶλλον ὡς αἶσχος τοῦ γένους ἢ περιθάλψει τὸ γέννημα. Ἀλλ' οἱ πρὸς μητρός; ἀλλὰ κἀκεῖκοι, εἴπερ εἶχον φροντίζειν, ἐφρόντιζον ἂν τῆς μητρός, καὶ πῶς ἂν ῥυσθείη τῆς μυσαρᾶς ἐκείνης πράξεως, εἰ εἶχον, ἐπραγματεύοντο. Νῦν δέ· ἀλλ', ὡς ἅπαξ ἀπεῤῥυθριακυίας πρὸς πᾶσαν αἰσχύνην, οὐδεὶς ὁ ταύτης ἐπιστρεφόμενος.

Πῶς οὖν καὶ τίσι λόγοις ὁ παῖς ἐπιδώσει πρὸς ἀγαθόν, παρὰ μηδενὸς παιδευόμενος; ἐμοὶ δοκεῖν, μᾶλλον εἰς τὸ χεῖρον εὐκόλως· ἐγγύθεν γὰρ καὶ ἀφ' ἑστίας ἔχει[1] τὰ παραδείγματα. Ὁ γοῦν μήτε καλῶς ἐκτραφείς, μήθ' ὑπὸ παιδευταῖς ἀναχθείς[2], πῶς ἂν καί τι τῶν ἀγαθῶν κτησάμενος μεταδιδόναι καὶ τῇ πόλει τῆς ὠφελείας ἰσχύσειε; καὶ ἄλλως αἶσχος καὶ τῷ δήμῳ παντὶ ἐκείνῳ τὰς ἀκοὰς ὑπέχειν, τῷ ὑπ' αὐλοῖς καὶ μέθῃ καὶ κύβοις τραφέντι, καὶ οὗ ἡ μήτηρ κακῆς ἐργασίας προΐσταται.

Ἐρεῖ τις ἴσως ἀκούων ἐκείνου λέγοντος, ὡς· « Νουθετεῖ τοὺς πατέρας ὁ παῖς, οὗπερ ἡ μήτηρ τοὺς υἱοὺς αὐτῶν ὁσημέραι δελεάζει πρὸς οἶστρον καὶ μανίας ἐρωτικάς· καὶ ὃν ἔδει σὺν τῇ μητρὶ ἐξελᾶν, τοῦτον ἔχομεν παιδευτήν. Καλῶς ἡ πόλις ἄρα, καλῶς ἐπιδώσει πρὸς τἀγαθὸν τοιούτους τοὺς λέγοντας ἔχουσα. Ἀλλ' οὐδ' οὕτως ἕξει τὸ εὔσχημον, οὐδὲ πείσει πάντως δημηγορῶν· λόγος[3] γὰρ ἔκ τ' ἀδοξούντων ἰών, ἔκ τε δοκούντων, αὐτὸς οὐ ταὐτὸν σθένει ».

[1] Proverbium est notissimum ἀφ' ἑστίας, quasi ἀπ' ἀρχῆς. Arsenius Violario, p. 86 : ἀφ' ἑστίας, ἐπὶ τῶν ἐξ ἀρχῆς τι πραττόντων. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· ὁ ἀφ' ἑστίας μυούμενος Ἀθηναῖος ἦν πάντως. Ibi Walz. Himerius Orat. 23, 8 : οἴμοι! Δήμητερ καὶ Κόρη, τὸν ἀφ' ἑστίας οὐκ ἐτηρήσατε. Quod non videtur omnino recte Wernsdorfius intellexisse. Subaudiendum ibi μυούμενον. Gregorius Naz. Ep. 17 : αὐτὸς ἀφ' ἑστίας παῤῥησίαν οὐκ ἔχων. Ibi Billyus. Nicephorus Chumnus in meis Anecdotis Gr. t. II, p. 33. Adde Heyler. ad Julian. p. 476; Engelhardt. ad Euthyphronem, p. 91; Wyttenb. ad Plut. De amic. mult. p. 642, et De S. N. V. p. 22. Exempla ex inscriptionibus protulit Villoison. in Memoriis Acad. Inscr. t. XLVII, p. 334.

[2] Similia p. 163, n. 2. Mox p. 173, 6, ὑπ' ἀνελευθέρῳ ἐτράφης.

[3] Euripides Hec. 296 : Τὸ δ' ἀξίωμα,

Ταῦτα βλέπων ὁ νομοθέτης, καὶ τὸ ἄδοξον εὐλαβούμενος, ἐπέχει τὸν ἐξ ἑταίρας τοῦ κοινοῦ συνεδρίου, καὶ παῤῥησίας πάσης ἀποστερεῖ, μονονουχὶ λέγων· « Οὐ μέτεστί σοι, ὦ οὗτος, τῆς κοινῆς παῤῥησίας καὶ ἐλευθέρου, ἧς[1] ἡ μήτηρ κακῶς βιοῦσα καὶ σὲ καὶ ἑαυτὴν ἀπεστέρησεν. Ὑπ' ἀνελευθέρῳ ἐτράφης ἐκείνῃ, καὶ μηδὲν ἐχούσῃ τῶν ἐλευθέραις προςόντων. Δέχου καὶ σὺ τὸ πρόςτιμον τὸ ἐκείνης. Εἰ δ' οὖν, ἀλλὰ σπουδάσας καὶ φυγὼν τὸ ἐκείνης ἔγκλημα, οὐκ ἀξιοῖς τῶν αὐτῶν τῇ μητρὶ προςτιμᾶσθαι, ἀρκεῖ σοι τοῦτο, καὶ ἔσο παρὰ τοῖς πολίταις ἐλεύθερος. Ἵνα τί καὶ τοῖς εὐγενέσι κοινωνήσεις τοῦ συνεδρίου, καὶ βουλευτὴς ἔσῃ τῇ πόλει, καὶ αἶσχος προςτρίψεις ἡμῖν παρὰ τοῖς διαβάλλειν θέλουσι τὰ ἡμέτερα »;

Ἔχεις τοίνυν, ὦ οὗτος, κἀμὲ ἐπί τινι τούτων δεικνύειν ἔνοχον; λέγε, καὶ φανερὸν ποίει, καὶ ἔξαγέ με δικαίως τοῦ βήματος.

Οὐχ ὁ πατὴρ ἔντιμος μετὰ πολιτῶν ἦν, οὐκ ἐν ἀγοραῖς; οὐκ ἐν θυσίαις; οὐκ ἐν εὐχαῖς; οὐ χέρνιβα καὶ αὐτὸς νέμων καὶ τοῖς ἔγγιστα ἐκοινώνει; Ἐπολιτεύετο μὲν οὔ· ἀλλ' οὐ νόμῳ εἴργετο[2], ἀλλ' οὕτως ἐκείνῳ ἡ γνώμη συνέπιπτε. Τί τοίνυν οὐ λίνῳ λίνον, κατὰ τὴν παροιμίαν[3], συνάπτεις, ἀλλὰ συγκλώθειν πειρᾷ τὰ

κἂν κακῶς λέγῃς, τὸ σὸν Πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰών, Κἀκ τῶν δοκούντων, αὑτὸς οὐ ταὐτὸν σθένει.

[1] Fortasse ἐλευθερίας propter ἧς· vel, τοῦ ἐλευθέρου καὶ κ. παῤῥησίας, ἧς.... Sed sunt ejusdem syntaxeos exempla. Vide n. 3, p. 102. Pariter Nicephorus Gregoras Florentio, p. 509, Iahnianæ : γλῶτταν μὲν καὶ σχῆμα πλαττόμενος μηδὲν περινενοημένον ἔχουσαι. Legendum ἔχουσαν e codice Parisino.

[2] Codex, εἴργετο, bene. Sed passim in illo verbó asperat syllabam primam; quod non exhibui, quum composita non asperet.

[3] Codex λῖνον. Sed prima brevis est In hoc nomine sic sæpe peccatur. Eumathius, 1, p. 25 : λίνον κατὰ χιόνα λευκόν. Malę codex λῖνον. Vide not. ad Plan. Metam., p. 102, ad Nicet. Eugen. p. 263. Variæ sunt proverbii λίνον λίνῳ συνάπτειν interpretationes. Sunt quæ hic loci non quadrant; exempli causa illa, quam habet Diogenianus, 6, 16 : ἐπὶ τῶν τὰ ἀσθενῆ ἀσθενέσι συναπτόντων. Quadrabit scholium ad Aristidem Frommelianæ, p. 190 : ἐπὶ τῶν προτέροις ἕτερα συνειρόντων. Non sine probabilitate ἕτερα ὅμοια legit Heindorf. ad Euthyd. § 63. Quem ad locum vide et Winckelmann. p. 114. Damascius De princ. p. 352 : οὐ λίνον λίνῳ, τὸ λεγόμενον, ἀλλά τινα ποιητικὴν μιςγάγκειαν τῷ λόγῳ συνάγοντες. Ibi Kopp., collato Walz. ad Arsen. p. 336, et ipso me ad Æneam Gaz. p. 194.

ἀσύγκλωστα[1] καί, πρὸ τοῦ δεῖξαι[2] τὸ ἐμὸν πρᾶγμα παράνομον, αὔξειν ἐθέλεις, καὶ ἄνω κάτω[3] τὸν ἄτιμον λέγεις, τὸν βουλῆς κοινῆς τοῖς νόμοις εἰργόμενον, τὸν ἀναιδῶς ἑαυτὸν συνωθοῦντα καὶ συμμιγνύντα τοῖς ἄλλοις οἷς μέτεστι τῆς παρόδου, καὶ ταῦτα συνισταμένης τῆς πολιτείας, καὶ τῶν νόμων τὸ κράτος ἐχόντων, καὶ ζήλου προςόντος τοῖς πολίταις παλαιῶν ἐθῶν καὶ νομίμων τῆς πόλεως; « Ἀνεκτὰ ταῦτα »; λέγεις· « τὸ τοὺς νόμους παροράσθαι; τὸ παρανομεῖν ἀνέδην[4] τοὺς θέλοντας; τὸ καταφρονεῖν ὑμῶν; τὸ

[1] Id proverbium præcedentis sensum etiam aperit; eoque utitur, ut alterum apud Aristotem explicet, Simplicius in Heindorfii nota l. l.: τὰ οὐ συγκλώθεσθαι πεφυκότα συγκλώθειν. Synesius quam prudenter! Epist. 57, p. 198: πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα.

[2] Schol.: πηλικότης. Eadem annotatio rhetorica, quam vidimus ac videbimus, adposita est huicce Libanii loco t. IV, p. 632: ἐγὼ δὲ καὶ τοῖς ὀνείρασιν, ὧν αἱ ὑποσχέσεις μάταιοι δίκην ἥδιστ' ἂν ἔλαχον βλάβης. Codex μάταιαι, electione valde ancipiti. Polemo Cyneg. § 34: ὦ χεῖρες Μαραθώνιαι. Codex 3017, Μαραθώνιοι. Planudes Boethii Carminibus § 28: Καὶ κορυφὴν ζείουσαν αὖ αἰθέρος Ῥυμῇ θοῇ παρέρχεται. Inveni θοῷ in codice 2094. Utique θοῇ magis ad veterum exemplum poetarum scripserit Planudes. In primo hujus carminis versu, Εἰσὶ γὰρ ὠκύταται πτέρυγες ἐμοί, invenit Weber. ὠκύτατοι, ego ὠκύταται, quod præferendum.

[3] De ἄνω κ. κάτω λέγειν p. 13, n. 4.

[4] Codex, ἀνέδην, superscripto ναι. Similitudo soni perpetuam peperit illorum vocabulorum et aliorum plurimorum confusionem. Rochefortus, quum ederet primus Æsopiam fabulam, quæ in Corayana est 163, repertum ὑφῆψαι recte mutavit in ὑφῆψε, ibidem indiligenter exhibens ἀλώπεκει, quum esset ἀλώπεκι in codice, et, quod mendum est gravius, ποινητῆρος, pro nitida codicis lectione ποινηλάτου. Symeon Sethi Ichnel. p. 12: παῦσε οὖν τῶν τοιούτων. Imo παῦσαι, ut scriptum recte est pp. 110, 336: παῦσαι τοῦ λήρου. Sed Christopulus grammatice cecinit ac poetice: Ἔρωτα, παῦσε, ἂν μ' ἀγαπᾷς. Nam imperativi aoristi forma activa παῦσε nunc est legitima. Piccolus: Παῦσε πλέον μὴν πονῇς. Lazaras: Ἀλλ' ὅπωσοῦν ἡσύχασε, παῦσε ὀργήν, μὴ τρέχῃς. Noster, p. 73, 6: παῦε τῆς ὀργῆς, quod pro παύου ac potius παῦσαι, dictum est probe et optimorum auctorum exemplo. Babrius, 28, 8: παῦε. Aristophanes Av. 1243: παῦε τῶν παφλασμάτων· ubi Beck. et Bergler. Idem Eqq. 919: Ἀνὴρ παφλάζει, παῦε, παῦ', ὑπερζέων. Non vertendum puto « seda, seda », sed « cessa, cessa », dictum in parenthesi ad Cleonem, recte monente Bothio; et jungendum fortasse παῦ' ὑπερζέων, ut sit ὑπερζέων sensu activo positum. Sic in Cyclope, 391: λέβητ' ἐπέζεσεν πυρί. Babrius, 95, 60: Χολὴ δ' ἐπέζει καρδίην. Ac sæpe verba neutra activa sensu fiunt. Ad Philoctetæ v. 1269, παῦε, μὴ λέξῃς πέρα, vir d. annotavit codices nonnullos exhibere παῦσαι, quod grammatica quidem severior postulat, metrica autem necessitate respuitur, idque nonnunquam licentiæ sumtum. Sed prosa oratio, quam leges metricæ non premunt, etiam παῦε non refugit. Plato Phædro § 5: παῦε· ubi Heindorf. et Ast. Lucianus Nigr.

λόγους ἄλλως κενούς[1] ἡγεῖσθαι τὰ νόμιμα; ἀνεκτά, ὦ πολισσοῦχοι θεοὶ καὶ Ἑρμῆ, παρ' ὧν ὑπῆρξε τοῖς νομοθέταις ὑφηγηθεῖσιν ἐκθέσθαι τοὺς νόμους τῆς πόλεως »;

Ἐγὼ δέ φημί· οὐκ ἀνεκτὰ ταῦτα, οὐδ' ὅλως ὑποιστὰ τοῖς γε σώφροσι. Καὶ τίς ἂν εἰς τόσον ἀπονοίας ἐλεύσεται, ὡς καταπατεῖσθαι τοὺς νόμους ἄξιον λέγειν καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ τίμια; Ἀλλ' ὅμως δεῖξον ἀθετουμένους τοὺς νόμους, καὶ οὕτως ἐπίφερε ταῦτα. Παράστησον τὸν παρανομοῦντα, καὶ τότε κρῖνε καὶ καταδίκαζε. Ἕως δ' οὖν οὐ δείξεις τὸν ἁμαρτήσαντα, κἂν μέγα τὸ ἔγκλημα λέγῃς, οὐκ ἔχεις οὐδ' ὅλως νικᾶν. Ἐπεὶ δεινὸν ὁ φονεύς, δεινόν[2] ὁ προδότης, δεινὸν τὸ καὶ τὸ τῶν κακῶν· τί δ'; εἰ δεινὸν ἐκεῖνο, ἁλώσεται παραυτίκα καθ' οὗ τὸ ἔγκλημα λέγεις, κἂν οὐκ ἀνέχηται;

Ἄπαγε τῆς πιθανότητος ταύτης· οἶδα τὸν νοῦν, οἶδα. Ἀναλογίζῃ τὸν ζῆλον τῶν πολιτῶν ὡς οὐ δέξαιτό τις, κἂν ἐπὶ σμικρόν, νόμον ὁρᾶν ἀθετούμενον, καὶ πρῶτον προήσεται τὴν ζωὴν ἤ τι[3] τῶν ἐθίμων τῆς πόλεως. Ταῦτ' εἰδώς, συναρπάζεις τὸν ζῆλον, καὶ αὔξεις τὸ ἔγκλημα, καὶ δοκεῖς αὔξων παράγειν αὐτούς, ὥςτε, καὶ πρὸ τοῦ δεῖξαι προςὸν δικαίως τῷ κατηγορουμένῳ τὸ ἔγκλημα, τιμωρεῖν θέλειν ἀπαραιτήτως καὶ τὴν ἀπολογίαν αὐτὴν προλαμβάνοντας. Ἀλλ' εἰς ξηρὰν προςαράξεις τὰς κώπας, ἄφρων φανεὶς ἁλιεύς[4],

8 : παῦε, ὦ θαυμάσιε· et Gallo 6 : παῦε, ὦ Μίδα βέλτιστε, χρυσολογῶν. Sed aliis temporibus sic abuti parum licet, ac παύουσι πνεύματα, p. 142, 21, pro παύονται, vix ferendum est. H. Steph. Thes. V. Παύω vernaculam exclamationem « paix! paix! », quam « pai pai » scribit, malit a græca formula « παῦε » derivare quam a latino nomine « pax ». Utique πάξ et « pax » plus habent probabilitatis.

[1] Codex, καινούς. Scripsi κενούς, usus permutatione eadem præcedenti.

[2] Codex, δεινός. Scripsi δεινόν propter symmetriam. Sic p. 176 : δεινὸν ὁ συκοφάντης, δεινόν. Conf. p. 1, n. 4.

[3] Est ellipsis adverbii μᾶλλον. Malim πρότερον.

[4] Proverbium est ἁλιεὺς προςαράξας εἰς ξήραν τὰς κώπας, cujus non aliud novi exemplum. Codex, προςαῤῥάξεις, non duplicanda littera canina. Theodorus Prod. Rhod. 6, p. 253 : Μία γὰρ ἀμφοῖν ὧν ἔφαμεν φορτίδων, Τινὶ παραῤῥαχθεῖσα μυχίῳ πέτρῳ, Συνθρύπτεται μέν, τὸν δὲ φόρτον ἐξάγει. Ἅπαν γὰρ εὐθὺς τῶν γυναικῶν τὸ στέφος Ὅσας τὸ πικρὸν ἐμπεφόρτιστο σκάφος, Τὸν πόντον εὗρε, φεῦ πάθους! κοινὸν τάφον. Rescribendum παραραχθεῖσα, et στῖφος· ni fallor, etiam μικρόν. De prosodia nominis στῖφος in hac sede securus fere sum; quum nonnunquam spondæo in quarta et sexta sede Theodorus utatur. Scripsit p. 42 : Τοῦτον δὲ τὸν Κλέανδρον τὸν γηραλέον·

καὶ ἀγρευθήσῃ μᾶλλον τῇ τούτων συνέσει[1] καὶ ἀρετῇ, ἥπερ[2] ἀγρεύσεις τῇ πιθανότητι.

Τὸ τῶν νόμων ὑπερορᾷν, καὶ ταῦτα πολίτην ὄντα, καὶ λίαν βαρύ[3]· καὶ εἰ μὴ νόμοις ὁ δεινὰ μὴ πείθεται, ὅ τι προςτάσσουσι, τίνι πεισθήσεται ἄλλῳ; Ἀλλ' οὐκ εἰ δεινὸν τὸ τῶν νόμων ὑπερορᾷν, ὑπερόπτης ἐγὼ τῶν νόμων εὐθύς. Ἐπεί τοι γε καὶ δεινὸν ὁ συκοφάντης[4], δεινόν, ὦ γῆ καὶ θεοί! — Πῶς γὰρ οὔ; διαβολεὺς ὢν τοῦ καλοῦ, καὶ μηδὲν ἐῶν τῶν καλλίστων ἀκατηγόρητον — ἀλλ' οὐ διὰ ταῦτα, καὶ ταῦτα συκοφάντην σε κρίνων καί σου τὸ ἔγκλημα τοῦτο καταγινώσκων, ἤδη καὶ αἱρήσειν ἁπάσαις[5] ἰσχύσω, εἰ μή γε δείξω δικαίως καὶ παραστήσω ταύτην σοι τὴν κατηγορίαν προςήκουσαν.

Τί τοίνυν ἀφεὶς δεικνύειν τῶν παρανόμων ἐμέ, τὴν παρανομίαν αὔξειν ἐπιχειρεῖς, καὶ κλέπτειν ζῆλον πειρᾷ πολιτῶν, καὶ κινεῖς αὐτὸν εἰς καταδίκην ἀθώου, καὶ κακουργεῖς λέγων, ὡς τοῦτο τὸ ἐξ ἑταίρας ὄντως ἐστὶν ἂν ἐκ πόρνου τις γεννηθῇ; Ἔχει λόγον, εἰπέ μοι, τοῦτο, εἰ[6] τὸ χεῖρον δεικνύναι ποιοῦντα τὸν ἐκ πόρνου ἢ τὸν ἐξ ἑταίρας δημηγοροῦντα; πῶς καὶ τίνα τρόπον;

Φήσει[7] δ' ἴσως λογομαχῶν εἰς κενόν, πάντ' ἀναίσχυντος ὤν, ὡς πλέον ἰσχύει πατὴρ τῆς μητρὸς ἐπὶ τῇ τῶν τέκνων ἀναγωγῇ, καὶ

p. 242 : Ἔρριπτεν ἐκτὸς νεκρὰ νεκρὸν τὸ βρέφος· p. 98 : Ἅτε σκοτισθεὶς τὸ φρονοῦν καὶ τὸ κρῖνον. Scriptum est κρίνον, quod possit relinqui, ut saltem oculis volupe sit; et στίφος etiam scribi nil impedit.

[1] Cod., συναίσει, ex permutatione toties memorata vocalium αι ε. Chæremon Stobæi Tit. 105, 22, quem ex probabili Grotii emendatione citabo : Συνέσει, γένει τε πρόσθε καὶ δόξῃ μέγας. Ibi est in codice σὺν αἴσσι. Pachymeres Hist. Andr. 5, 12, p. 394 : τὴν γὰρ Ἐκατερίναν ὁ τοῦ ῥῆγος ἀδελφὸς εἰς γάμον λαμβάνει. Codex, Αἰκατ., quæ melior scriptura aliis in locis Pachymeris reperitur. Herodianus Epim. p. 29 : Αἰκατερίνα, κύριον. Videndus Menagius de Sancta Catharina Hist. mul. ppharum.

[2] Cod., εἴπερ. Idem est mendum p. 7, n. 3.

[3] Non deest epithetum ante καὶ λίαν βαρύ, ut sit, verbi causa, βαρὺ καὶ λίαν βαρύ. Eadem brevitate infra : καὶ λίαν καλόν· καὶ λίαν θρασύς· καὶ λίαν τῶν ἐντέχνων.

[4] Vide de hoc loco p. 1, n. 3.

[5] Videlicet ψήφοις. Vide p. 60, n. 7.

[6] Sic codex. Fortasse repetendum ἔχει : ἔχει λόγον, εἰπέ μοι, τοῦτο; ἔχει τὸ χεῖρον δεικνύναι....

[7] Schol.: πρός τι. Huc refero scholium quod in summo paginæ margine scriptum est : σημείωσαι ὅτι καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου πρῶτον τῇ πηλικότητι ἐχρήσατο, καὶ τῷ πρός τι μετέπειτα.

μᾶλλον πατὴρ ἀχρεῖος ὤν, ἡ μήτηρ τῶν φαυλοτάτων οὖσα, πρὸς τὴν ἰδίαν ἐπαίρει[1] τὸ τέκνον ποιότητα· ἄλλως τε καὶ τῶν ἀῤῥένων ὄν, φύσει τῶν τοιούτως ἐχόντων, τῷ πατρὶ προςκεῖσθαι, ἢ τῇ μητρὶ πείθεσθαι.

Καὶ ταῦτα μὲν εἴποι συγκρίνων ἐμὲ πρὸς τὸν ἐξ ἑταίρας, κἀκείνου δεικνύων χείρονα. Ὑμεῖς δέ, ἂν ταῦτα λέγῃ, μὴ ἀποδέχησθε, μηδέ, πρὸς οἷς ἐκ τῆς κατηγορίας τὴν ἐμὴν προαίρεσιν ἀδικεῖ, καὶ ὑμῖν ἐκ τῆς ἐπιχειρήσεως προςκατασκευαζόμενον ὄνειδος καταδέχησθε· ὡς συκοφαντεῖ μὲν ἐμέ, ἀπατᾷ δ' ὑμᾶς λέγων, καὶ τῆς κακουργίας ὑμεῖς, εὐήθεις ὄντες, οὐδὲν ἐπαΐετε. Εἰ μὲν γὰρ ἀγωγαὶ τέως τῶν βουλευτῶν ἐζητοῦντο, καὶ παιδεύσεις, καὶ γνώσεις ἐπὶ τῶν τοιούτων, καθώς, οἶμαι, τοῦτο καὶ μόνον ζητεῖται ἐπὶ τῶν μηδὲν ἐπιφερομένων εἰς κώλυμα πρόςτιμον, οὐδ' εἶχεν ἂν οὕτως ὅσον ἐπὶ τῇ γνώσει δεικνύναι τὸν ἐκ πόρνου χείρονα, κἂν ἠλαττοῦτο τῇ γνώμῃ κατὰ τὴν τούτου μαντείαν, ἄῤῥην ὤν, ὡς λέγει, καὶ τῷ χειρίστῳ προςκείμενος. Ἀνὴρ γὰρ ὁ πατὴρ ὤν, κἂν τὴν γνώμην χείριστος ἦν, τῆς μητρὸς ἂν ἐπλεονέκτει, ὅσα τὰ ἐς γνῶσιν καὶ ἐμπειρίαν πολιτικήν· καὶ ἔδει

[1] Cod., ἐπάρῃ. Scripsi ἐπαίρει, accentu ductus. Fortasse tamen ἐπαρεῖ. Permutatio vocalium η ει id mendum peperit, quæ et alia sexcenta. Symeon Sethi Ichnel. p. 90 : εἰ ξεναγωγήσει σέ τις, τὴν σεαυτοῦ μὴ πρότερον πιστεύσῃς σωτηρίαν πρὶν ἢ τούτου διάθεσιν διαγνῷς. Narratio postulare videtur, quæ fuit Starkii sententia, εἰ ξεναγωγήσεις τινά. Fortasse legendum εἰ ξεναγωγηθῇ σοί τις· quod quum proponere vellem ad Choricium, p. 69, typi vel calamus aliud exhibuerunt. Scholiastes Nazianzeni in Catalogo Clarkii Gaisfordiano, p. 45 : θῆρες δέ εἰσι καὶ θηρομηγεῖς (imo θηρομιγεῖς) οἱ ἐκ τοῦ Δελφίνου δράκοντος ὑπὸ Κάδμου σπαρέντες ὀδόντες. Respicitur Gregorii carmen ad Nemesium, p. 142 B : Θῆρας, θηρομιγεῖς τε.... Nomen serpentis idem fertur in scholio ad Eurip. Phœn. 25? : ἦν δὲ τὸ ὄνομα τοῦ δράκοντος Δελφίνης. Addam et alia de η ει. Pisides De vanit. : [καὶ μηδὲν εἶναι σωφρόνως πεπηγμένος] Ἄνω βαδίζει τῷ βεβηκέναι κάτω, Φεύγει τε τιμὴν τὴν καλὴν ἀτιμίαν, Πολλήν τε δόξαν τὴν ἀδοξίαν ἔχει. Delendi uncini, et scribendum πεπεισμένος e codice (quam lectionem receptam nunc video in editione Romana, sed tacite), et pro φεύγει, quod caret sensu, codex recte exhibet φέρει, quod hic valet idem verbo proximo ἔχει. Theodorus Prodr. Rhod. 6, p. 237 : Ἄωρος ἦρκτο καὶ πρὸ τῆς εἱμαρμένης Εἰς τὴν ἄπληστον τῆς θαλάσσης γαστέρα, Τόξου μετ' αὐτοῦ καὶ σὺν αὐτῷ τῷ βέλει, Μηδ' αὐτὸ κανὸν γνούς τις αὐτὸν ἁρπάσοι. Lego εἶρκτο.... καινὸν γνοὺς τίς.... Superius oculos advertit mendum, corrigendum obiter : Ἦν οὖν ἰδεῖν θέαμα δακρύων γέμον, Καὶ μεστὸν οἶκτον συμπαθούσῃ καρδίᾳ. Imo οἴκτου.

παιδεύειν τὸν ἐξ αὐτοῦ κρεῖττον ἢ κατὰ τὴν μητέρα, κἂν σώφρων ἦν ἐκείνη καὶ τῶν λίαν σεμνῶν. Ἐπεὶ δὲ τὴν μὲν ἐς τὰ πράγματα ἐμπειρίαν αὐτόθεν ἔχειν ὀφείλει ᾧ μετέσται τῆς ἐνταῦθα παρόδου καὶ τῆς βουλῆς, κἂν ἀπείη γνῶσις τοῦ βουλευτοῦ, οὐδὲν ἂν ἐγκριθείη τοῖς ἄλλοις, κἂν τῶν εὐγενῶν ᾖ καὶ σωφρόνων, ἡ ἑκατέρου δὲ τοῖν γονέοιν κακία ζητεῖται καὶ μόνη πρὸς τὸ παρόν, ποτέρα αἶσχος πλεῖον τῷ τέκνῳ προσθήσειν οἷά τέ ἐστι, καὶ ἀτιμίαν προσάψειν καλῷ γε ὄντι καὶ σώφρονι, καὶ ἐς ἄκρον ἐληλακότι γνώσεως· ποῦ δίκαιον μὴ τοὺς γονέας αὐτοὺς καθ' αὑτοὺς ἐξετάζεσθαι, εἴπερ ὁ πατὴρ πορνεύων αἶσχος προσάψει πλεῖον τῷ ἐξ αὐτοῦ, κἀντεῦθεν τῇ πόλει δημηγοροῦντος αὐτοῦ, ἢ ἡ μήτηρ ἑταίρα γε οὖσα καὶ τοῖς βουλομένοις ἔκδοτος, καὶ μηδὲν ἔχουσα τὰ ἴσα ταῖς ἐλευθέραις, κἂν βρύῃ γνώσει, κἂν πλούτῳ βρίθῃ, κἂν Λαῒς τὸ κάλλος ἄλλη τις ᾖ, καὶ ἧττον οὐδὲν ὁ ἐκ ταύτης πρὸς κάλλος καὶ πλοῦτον καὶ σύνεσιν φαίνηται; Ἕψεται τῷ πατρὶ τὸ τέκνον, καὶ ἀσωτεύσει κατὰ τὸν πατέρα κἀκεῖνο; ἀπελατέον πάντως τῆς πνυκὸς[1] τὸν υἱόν, ἀπελατέον δὲ αὐτοῦ γε καὶ τῆς αὐτοῦ ἀσωτείας ἕνεκα. Τί ζητήσομεν τὸν πατέρα, ὡς ἐντεῦθεν καταδικάσαι τὸν νέον; ἀρκεῖ ἑκατέρῳ εἰς ἀτιμίαν τὸ αὐτοῦ πλημμέλημα. Ἀλλ' οὐχ ἕψεται τῇ μητρί, καὶ ταύτῃ ἀτίμῳ γε οὔσῃ οὐδ' ὅλως ἐξισωθήσεται, ἀλλ' ἄτιμος μενεῖ πάλιν καὶ καλὸς ὢν ταῦτα καὶ σώφρων καὶ τῶν σεμνῶν. Διὰ τί; ὅτι τὸ τῆς μητρὸς αἶσχος ἐκεῖνο καὶ εἰς τὸν υἱὸν κάτεισιν. Οὕτω γὰρ τῷ νόμῳ δοκεῖ καὶ ἔστιν ἓν τῶν ἀπὸ νόμων προστίμων τῇ πόρνῃ, τὸ μηδὲ τὸν ἐξ αὐτῆς ἔντιμον εἶναι τῇ πόλει, ἀλλὰ κατ' αὐτὴν ἐκείνην κοινοῦ συνεδρίου καὶ αὐτὸν ἀπελαύνεσθαι. Τὸ γοῦν σεμνὴν τὴν μητέρα εἶναι καὶ σώφρονα καὶ συνετὴν εἰς πολλὰ οὐκ ὀνίνησι τὸν υἱόν, ἂν ἐκεῖνος δοκιμαζόμενος ἀδόκιμος φαίνηται, καὶ τὸ τῆς μητρὸς πλεονέκτημα οὐ διαβαίνειν οἶδε καὶ πρὸς τὸν υἱὸν ἀναγκαίως· τὸ δ' ἐλάττωμα διαβήσεται, καὶ ὥσπερ αὐτὴν ἐφέξει τοῦτο τῆς τῶν εὐγενῶν καὶ σωφρόνων καὶ σεμνῶν παῤῥησίας, οὕτω κἀκεῖνον ἀπείρξει τοῦ βήματος ταὐτὸ τοῦτο τὸ τῆς μητρὸς ἐλάττωμα. Ἀναιδὴς ἐκείνη

[1] Πνυκός] p. 169, n. 4.

καὶ πόρνη, οὔτε τούτῳ προςκειμένη ταῖς ἀληθείαις, οὔτ' ἐκεῖνον στέργουσα, ἀλλὰ καὶ πᾶσιν ἔκδοτος, καὶ οὐδενὶ ὡς ἀνδρὶ καθυπείκουσα, τοῦτον κατέχει καὶ ἄλλον ζητεῖ, ἐκεῖνον φθάνει καὶ ἄλλον μνηστεύεται· ἀναίσχυντός ἐστιν, ἄστοργός ἐστι, φθορὰ πόλεως, γυναικῶν ἀκοσμία, ποικίλον νεότητος ἄγκιστρον. Ὁ γεννηθεὶς ἐξ ἐκείνης ποῖον οἶδε τῶν ἁπάντων πατέρα; κἂν τοῦτον εἴποι, ἄλλος ἀμφισβητεῖ· κἂν ἐκεῖνον, ἄλλος ἑαυτῷ παραγράφει τὸ γέννημα· καὶ οὕτω, μηδένα πατέρα σχών, ὑποπτεύεται τῶν ἁπάντων. Καὶ τέλος τὰ νόθα τῇ γαστρὶ προςνέμει ὁ νόμος, καὶ μόνης γίνεται τῆς μητρὸς ὁ πολλοῖς προςήκειν ὅσον κατὰ πατέρας ὑποπτευόμενος. Κἀντεῦθεν, μηδὲν ἔχων ἀπὸ πατρὸς ὀνομάζεσθαι, πρὸς τὸ τῆς μητρὸς συστέλλεται ὄνομα· ὄνομα δὲ τῆς μητρὸς ἑταίρα καὶ πόρνη, καὶ ἀναιδὴς καὶ ἀκόλαστος, καὶ πᾶν εἴ τι[1] τοιοῦτον καὶ κάκιστον. Ἀκούει τοίνυν ὁ τῆς ἑταίρας υἱὸς τὸ τῆς πόρνης ἔκγονον, τὸ τῆς ἀναιδοῦς θρέμμα, τὸ τῆς ἀκολάστου παίδευμα. Καλά γε ταῦτα τῷ τῆς πόλεως βουλευτῇ! καλά γε τῷ κοινῷ δημηγόρῳ καὶ ῥήτορι! παῤῥησιάσεται εὐτονῶς πρὸς τὸν ἐχθρόν, ἐλευθέρως εἴποι, μετὰ παῤῥησίας ἀνταγωνίσεται! ἐμοὶ δοκεῖν, πτὼξ ἐσεῖται πρὸς πάντας, καὶ πρὸς χάριν ἐρεῖ, καὶ κολακεύσει τὸν ἐπιπλήξεως ἄξιον.

Τί τῶν τοιούτων κωλύσει κἀμέ; πέπρακεν ἡ μήτηρ τὴν ἰδίαν ὥραν λημμάτων αἰσχρῶν; εἵλετο ἡδονῆς χάριν ἐπονείδιστον βίον; παρέῤῥιψεν ἑαυτὴν ἐπ' αἰσχύνῃ καὶ ταῖς ἐσχάταις ὕβρεσι περιέβαλλεν; οὐκ οἶδα κἀγὼ τὸν γεννήσαντα; οὐ πατρόθεν καὶ ἔτι

[1] Pro εἴ τι fortasse ὅ τι placebit lectoribus nonnullis. Sed sic εἴ τι Declamatione duodecima. Ceterum sæpe ita variatur. Synesius Ep. 4, p. 163 : χρυσίον καὶ ὅ τι ἄξιον χρυσίου. Est εἴ τι in codice. Vide meam ibi notam in Delectu Patrum Sinneriano, p. 469. Matthæus, 12, 28 : ἀπόδος μοι ὅ τι ὀφείλεις. Est et ibi varietas εἴ τι, quam præferebat Millius, improbante G. Horreo Anim. p. 94. Gregorius Naz. Orat. 40, p. 655 : παρέστω μοι πατήρ, ἀδελφοί, γυνή, τέκνα, φίλοι, πᾶν ὅ τι τίμιον. Lucianus Navig. 18 : ἔστω γὰρ τὸ πλοῖον καὶ τὰ ἐν αὐτῷ πάντα ἐμά.... αἱ γυναῖκες, καὶ ἄλλο εἴ τι ἥδιστον κτημάτων ἁπάντων. Variatur et hic, εἴ τι et ὅ τι. Quibus respondetur : λέληθας σεαυτὸν ἔχων ἐν τῇ νηΐ. Monet Fritzsch. sensum esse : « non animadvertis esse tibi in navi bonum ceteris præstantius ». Malim, λέλ. σεαυτὸν τοῦτ' ἔχων. Nam edita græca sunt breviora. Vel, quod præferendum esse videtur, scripserim νηΐ...., oratione interrupta, quam occupat alia dialogi persona : τὸν παῖδα φῂς τὸν κομήτην.

ἄνωθεν ὀνομάζομαι; οὐ λέγομαι τοῦ δεῖνος υἱός, ἀνδρὸς ἐντίμου, πολίτου μηδὲν ἔχοντος ἀπὸ νόμων τὸ πρόστιμον; τίς ἐκώλυσε τὸν πατέρα θέλοντα πολιτεύεσθαι; τίς κακῶς εἶπε; τίς ἀπεστράφη ἰδών; Ἀναπτύξατε τὸ τῶν ἀτίμων πινάκιον· ζητήσατε, παρακαλῶ, εἴ που τῆς βίβλου κεῖται τὸ τοῦ πατρὸς ἀνάγραπτον ὄνομα. Εἰ δὲ καὶ κεῖται (κείσθω γὰρ καὶ τοῦτο), ἐμοὶ μὲν οὔμενουν λεκτέον τοῦτο· οὐδὲ γὰρ ἄξιον· τέως δὲ τί πρὸς ἐμὲ τοῦτο; ἐκεῖνος, κἂν ὁποῖός τις ἦν[1], ἀλλ'οὖν ἐλευθέρως ἔθρεψε τὸν υἱόν, καὶ ὑπὸ μυσταγωγοῖς καὶ παιδαγωγοῖς ἀνῆξε, καὶ οὐδὲν ἐνέλειπε δαπανῶν εἰς τὴν ἐμὴν εὐδοκίμησιν· εἴπω δέ, καὶ ἀπ' ἐκείνου ἔσχον τὰς τῶν καλῶν ἀφορμάς, ἐςαεὶ νουθετοῦντος ἅ τε πρακτέον καὶ ἃ φευκτέον εἰς δύναμιν.

Θέλετε μαθεῖν τὴν ἐμὴν διδαχήν; ἴδετε τὸ τέλος, σκοπήσατε τὴν προαίρεσιν. Δέδωκεν ἡ φύσις ἐμοί — ἀλλ' οὐ βούλομαι λέγειν, μή πως ἐπαχθὴς εἶναι δόξω περιαυτολογῶν — ἀλλ' οὖν, εἴ τι δέδωκεν, οὐκ ἐμαυτῷ καὶ μονῷ τηρῶ· ἀλλὰ κοινὸν προτίθημι τοῦτο, καὶ πολιτεύομαι, καὶ βουλὰς βουλεύω τὰς ὠφελούσας. Κἀγὼ μὲν « Οὐδὲν ἀδικῶ » φημί· εἰ δ' ἀδικῶ, ὡς σὺ λέγεις, σὺ μὲν δεῖξον τὴν ἀδικίαν, ἐγὼ δὲ παραστήσω σοι τὴν ὠφέλειαν.

Καί μοι σκόπει καθ' ἕκαστον· εὔπορόν ποτε χρημάτων ἐξ ἀπόρων τὸν δῆμον κατέστησα ταῖς βουλαῖς· ἐξήνεγκα πόλεμον καθ' ὧν ἐθάῤῥουν οὐδένες, ἀλλ' ἔπτησσον ἀγγελλομένων καὶ μόνον, καὶ μυχοὺς τῆς γῆς ἐζήτουν φυγεῖν· ἐχρημάτισα πρέσβεσι, καὶ λαβὼν λέοντας, ἀπέπεμπον λαγωούς[2]· πρέσβεις ἐξέπεμπον μετὰ θάῤῥους. Τἄλλα, ἵνα μὴ καθ' ἕκαστον διατρίβω, δεόντως καὶ ὡς ἂν αὐτοὶ φαίητε κατὰ τρόπον καθίστων. Ταῦτα τὰ τῆς ἐμῆς ἀδικίας ἔκγονα· ταῦτα παρανομῶν, ὡς αὐτὸς λέγεις, ἔπραττον. Τὰ πραττόμενα

[1] Eadem syntaxi, p. 128 : *κἂν ὁποῖος καὶ εἴη*. Cf. p. 130, n. 4.

[2] Antithesis non rara leonis et leporis. Nonnus Dionys. 14, 123 : *Νοσφὶ μόθοιο λέοντες, ἐνὶ πτολέμοις δὲ λαγωοί*. Proverbium metricum 665 : *Λαγὼ βίον ζῇς ὁ πρὶν ἄτρομος λέων*. Vide Junium Adagio : « leo prius, nunc leporem agit ». Et dicunt *λαγωοῦ βίον ζῆν* sine leonis oppositione. Quod proverbium raro in nostra lingua exemplo adhibuit Sagius Hist. Estev. : « je sentois s'élever dans mon âme des mouvemens de frayeur.... enfin je menois une vie de lièvre ». Studiis classicis a puero probe imbutus fuerat Sagius.

γοῦν, ὁμολογῶν εἰς καλὸν εἶναι καὶ συμφέρον τῆς πόλεως, τὸν τρόπον καθ' ὃν γέγονε ταῦτα, ἀντὶ τοῦ χάριν ἀξίαν ἀποδιδόναι, παρανόμων γράφῃ;

« Ἀλλ' ἄλλως[1] ἔδει σε τὴν πόλιν εὐεργετεῖν ».

Ἄλλως ἔδει; εἰπὲ τὸν τρόπον· μᾶλλον δὲ τὸν ἐμὸν ἐκείνῳ[2] ἀπόδειξον μὴ προσήκοντα. Κἂν παραστήσῃς ἐκεῖνον τῶν ἀπρεπῶν, ἐντεῦθεν κατάκρινε, καὶ μὴ ζήτει καθ' ὃν ἔδει τρόπον ἄλλον τἀμὰ πρὸς τὴν πόλιν γίνεσθαι. Εἰ μὲν γὰρ οὐκ ἐχρῆν παρ' ἐμοῦ γίγνεσθαι τὰ τῇ πόλει συμφέροντα, κάκιζε κἀμὲ καὶ τὸν τρόπον καὶ τὰ πραττόμενα. Εἰπὲ μετὰ παῤῥησίας τῷ δήμῳ· « Οὐκ ἔξεστι τῷ δεῖνι πολιτεύεσθαι εἰργομένῳ παρὰ τῶν νόμων· κἂν τὰ πραττόμενα παρ' αὐτοῦ τῶν λίαν[3] ᾖ καὶ συμφέρῃ, ἀλλ' οὐ συμφέρει παρανομοῦντος[4]. Πᾶσαν ἡμῖν κωλυτέον προαίρεσιν τοῖς νόμοις εἰργομένου, κἂν παρ' αὐτοῦ μέλλοιμεν σώζεσθαι. Μὴ τοῦτο μὲν κωλύσωμεν πράττειν αὐτόν, τοῦτο δὲ δῶμεν[5]. Ὁ γὰρ ἁπλῶς ἐκ νόμων ἀποκλειόμενος, οὐ τρόπον ἔχει τὸν συνεισάγοντα ».

Εἰ γοῦν εἴργομαι νόμοις, τί ζητεῖς τὸν τῆς ὠφελείας τρόπον, καὶ ἄλλως λέγεις χρῆναι τὴν πόλιν εὐεργετεῖν; εἰ δ' ἔστι τρόπος εὐεργετεῖν[6] τὰ κοινὰ πράττοντα, καὶ τὸν ἐμὸν μὲν ἐκφαυλίζεις, ἐκεῖνον δ' ἀντεισάγεις ὡς ἔννομον, ἀκούσῃ δικαίως, οἶμαι, καὶ παρ' ἐμοῦ, ὡς οὕτως ἦν ἐμοὶ βουλομένῳ τὴν πόλιν εὐεργετεῖν, οὕτως ἦν δυναμένῳ τοὺς ἐμοὺς ὠφελεῖν.

Μὴ τοίνυν[7] ἐπίτηδες ἐπηρέαζε, μηδὲ λέγε τρόπον ἕτερον ὃν εἶχες κἀκεῖνον κακίζειν, εἰ κατ' ἐκεῖνον ἔπραττον. Φέρε γάρ· εἰ συνήργουν ἄλλως, καὶ πρεσβείαις ἐπεβαλλόμην ἢ τηρήσεσι τῶν κοινῶν, οὐκ εἶχες λέγειν καὶ τότε, εἴπερ ἐβούλου, ὡς ἄλλως ἔδει ποιεῖν, καὶ μὴ οὕτως. Ἐξῆν μέν, ὦ ἑταῖρε, πολίτην ὄντα, τὴν πόλιν ἐκ τῶν δυνατῶν ὠφελεῖν· ἐξῆν, γνῶσιν ἔχοντα ἐξ Ἑρμοῦ,

[1] Schol.: μετάληψις.

[2] Ἐκείνῳ] fortasse ἐκεῖνον.

[3] Post τῶν λίαν periit vocabulum unum saltem, καλῶν, vel χρηστῶν, vel χρησίμων.

[4] Et periisse videtur præpositio παρά· παρὰ παρανομοῦντος. In transitu reddatur Moschopulo sic edito Π. σχ. p. 206: ἐπεί· σύνδεσμος συναπτικός. Codex bene, σ. παρασυναπτικός. Est enim ejus conjunctionis epithetum proprium.

[5] Codex, τοῦτο δ' ἰδῶμεν.

[6] Fortasse τοῦ εὐεργετεῖν.

[7] Schol.: ἀντίληψις.

βουλεύειν τὰ χρήσιμα, καὶ μηδὲν ὁριστὰς ἔχειν σέ τε κἀκεῖνον, καὶ ἄλλον αὖθις, τοῦ πῶς ὠφελεῖν καὶ καθ' ὅντινα τρόπον δεῖ. Ἦ σοὶ μὲν ἔξεστι καὶ λέγειν καὶ κατακρίνειν ὁντιναοῦν, ἄλλῳ δ' οὐκ ἦν λέγειν, οὐκ εἰς ἐπήρειαν πολιτῶν, ἀλλ' εἰς ἀγαθὸν τῆς πόλεως;

Ἐγὼ μὲν οὖν, οὐδ' ἂν ἄλλοι πλείους ἢ σύ γε κωλύωσι, σιγήσομαι πώποτε, ἔστ' ἂν ἡ πόλις φέρῃ με[1] ζῶντα, καὶ τῶν πολιτῶν εἷς κἀγὼ λέγωμαι. Σὺ δέ, εἰ μὲν ἔχεις ἄλλον δεικνύειν νόμον τὸν ἐμὲ κωλύοντα, δεικνύων κώλυε. Οὐδὲ γὰρ ἐγὼ παρὰ τὸν νόμον βούλομαι πολιτεύεσθαι. Εἰ δὲ τοῦτον ἔχεις καὶ μόνον ὃν δὴ καὶ προτείνεις, ἴσθι μηδὲν ποιῶν, μηδὲ δικαίως ἰσχυριζόμενος. Ζήτει τὸν ἐξ ἑταίρας, καὶ εἶργε· ζήτει τὸν ἀπὸ νόμων εἰργόμενον, καὶ ἐξέλα· καὶ τότε δόξεις οὐ βασκαίνων ἐντίμοις εὐδοκιμοῦσιν, ἀλλὰ νόμων πολιτικῶν ἀντεχόμενος. Κἂν μυριάκις ἀναγινώσκῃς τὸν νόμον, ἐμὲ μὲν οὐχ αἱρήσεις (οὐδὲ γὰρ ὑπόκειμαι τῷ προστίμῳ), δείξεις δὲ μόνον ταυτὸν φθονοῦντα τῇ πόλει τῆς ὠφελείας, κἂν μὲν νοῇς ὅ τι καὶ λέγεις, βασκαίνοντα, ἂν δ' ἀγνοῇς, τὴν διπλῆν ἄγνοιαν[2] ἔχοντα. Ὁ διπλῆν δ' ἀγνοῶν[3], μωρίαν ὀφλισκάνει ἢ μανίαν, ἢ ἄλλο τι τῶν ὁμοίων παρὰ πολλοῖς. Τί γοῦν σαυτὸν οὐκ ἐλλεβορίζεις[4],

[1] Codex, φέρῃ μοι.

[2] Ad verba Æneæ Gazæi, αὐτὴν ἀμαθῶς ἀγνοήσας τὴν ἄγνοιαν διπλάσιον νοσεῖ, plurima contuli p. 222; in his locum ipsius Pachymeris ex Historiarum initio, cujus nunc non spernendam varietatem memorabo, ὥςτε pro ὡς τό. Sed sum valde iratus mihi quod retinuerit memoria tenacior debiles versus hosce poetæ ignorabilis : « L'aveu qu'Hylas m'a fait de son insuffisance Rachète ce défaut, et peut tourner à bien; Car le comble de l'ignorance, C'est d'ignorer qu'on ne sait rien ».

[3] Ferme videtur desiderari ἀγνοῶν ἄγνοιαν.

[4] Servavi tenuem codicis spiritum in ἐλλεβορίζεις. Verba mutuatus est sophista Demosthenis Ctes. § 121. Ibi scholium : ἀπαλλάσσου τῆς νόσου· χρήσιμος ἐν τοῖς τοιούτοις κακοῖς ὁ ἐλλέβορος· δέχου τῆς πόας τὴν θεραπείαν· ῥῖψον ἀπὸ τῆς ψυχῆς τὸ ἀῤῥώστημα. Bremius ibidem : « nobis *nieswurz* »; nobis « hellébore » vel « ellébore ». Sed botanice loquentibus de nomine res est paulo implicatior. Satis secure crediderim helleborum antiquorum eam esse plantam, quam Prusæ vidit Turnefortius (t. III, p. 347); quam nonnulli Helleborum Orientalem vocant. Magna est Turnefortii auctoritas, medici viri et inter botanicos scriptores primarii. De helleboro veterum multi multa dixerunt. Indicare satis sit Trillerum medicum eruditissimum ad Thom. Mag. p. 716; Bompart. Commentario in septimam Hippocratis epistolam, p. 90; Vinkii Amœnitates Medicas, p. 251; Beverovicii Ideam medicinæ veterum part. 3, cap. 2, quod est « De principis facultatis symptomatis ». Regnierius Sat. 15,

καί, φοιτῶν ἐς νομοτριβῶν[1], μανθάνεις νόμον ἀκρίβειαν; Ἢ σὺ μὲν ἐξελάσεις τοῦ συνεδρίου, οὕτω δόξαν σοί, τὸν ἐπὶ καιροῦ φανέντα τῇ πόλει χρήσιμον, εἴπω δέ γε καὶ φανησόμενον; ἐγὼ δὲ οὐχ ἕξω προτείνειν τὰ ὅμοια κατὰ σοῦ, καὶ νόμον δεικνύειν τὸν ἐξελῶντα καὶ πόῤῥω που πέμποντα;

Μαίνῃ παραφρονῶν, ἄνθρωπε, ἢ καθάπαξ τοὺς νόμους ἀμφαγνοεῖς. Εἰ μὲν τὸ πρῶτον, ἰατροῖς καὶ μάγοις ὑπόκεισο, δεῖξον τὴν νόσον καὶ θεραπεύθητι· ἐκείνοις ἐπίτρεψον σεαυτόν, ἐκεῖνοί σε σωφρονίσουσι· καὶ καθεστὼς ἐκεῖθεν, λέγε τότε, καὶ ἴσως σωφρόνως λέγων δειχθήσῃ. Εἰ δ' ἀγνοεῖς, ἔχει διδασκάλους ἡ πόλις τῶν νόμων κοινούς. Δράμε πρὸς ἐκείνους. Μάθε πρῶτον, καὶ τότε λέγε. Καὶ μὴ παντὸς ᾤου τὸ νόμους γινώσκειν ἐς τἀκριβές· ἀλλὰ δὸς καὶ γήρᾳ, καὶ πείρᾳ, καὶ μαθήσει, καὶ ἕξει, καὶ τριβῇ διηνεκεῖ, τὰ τῶν νόμων· καὶ παρὰ τοὺς τοιούτους φοιτῶν μάνθανε.

Ἐγὼ μὲν εἶχον λέγειν καὶ πλείω, εἴπερ μὴ τούτους ἑώρων, νομομαθεῖς ὄντας πάντως, πολλήν σου καταγινώσκοντας τὴν εὐήθειαν. Ὑμεῖς δέ[2], ἀλλὰ δότε μοι τὴν ἀπολογίαν ἐντεῦθεν. Κἂν βαρὺς ἐγὼ καὶ δύσερις ἐν ὑμῖν, καὶ καταφρονητὴς νόμων δοκῶ, ὑμῶν κρινόντων, καὶ μὴ τούτου κατηγοροῦντος, εὐμενῶς τὸ δοκοῦν ὑμῖν δέξομαι, ὡς δόγμα κοινὸν πολιτῶν, καὶ οὐχ ὡς συκοφάντου ἐπήρειαν. Κἂν οὗτος λέγῃ, οὐδὲν ὅ τι μὴ λέξω καὶ ἰσχυρίσομαι συκοφάντην δεικνύειν καὶ παρερμηνέα τῶν κειμένων νόμων καὶ ἐπηρεαστήν. Κἂν ὑμεῖς ἀποφαίνοισθε, σιγήσομαι παραυτίκα,

de scribendi cacoethe, Horatii sui memor : « Plus on drogue ce mal, et tant plus il s'empire; Il n'est point d'ellébore assez en Anticyre ». Ibi Brossetti nota. Malherbius Epistola ad Racanum : « Si quelqu'un y trouve à redire, qu'il prenne de l'ellébore ». Diniz., poeta elegantissimus : « Estes, cujas cabeças disgraçadas Não bastam a curar tres Anticyras, Abrazados se crêm d'um santo fogo ». In quibus Horatii agnoscuntur vestigia, monstrante, qui nomen celavit, editore, Verdierio, viro docto, qui, patria relicta, libertate, quæ sera tamen ipsum respexerat, Lutetiæ fruebatur. Ad Dinisii versus ipse olim, gallicus interpres, nonnihil scribens adnotationis de Veratri Albi L. synonymia monere memini. Res est, ut modo dixi, non parum incerta. Certissimum est a potionibus id genus ἐμετικωτάταις esse abstinendum, veluti a toxicis.

[1] Nomine νομοτριβής usus est et supra p. 112, 12. Mich. Choniates Encomio Is. Angeli, § 7 : ὡς εἴποι ἄν τις νομοτριβής.

[2] Schol. : ἐπίλογος.

οὐ γρύξω λόγον[1], οὐ τὸ τυχὸν ἀντερῶ. Εἴσομαι γὰρ παρὰ μὴ φθονούντων, ἀλλ' ἀγαπώντων κρινόμενος. Ἀγαπήσω παρ' ὑμῶν γε καταγνωσθείς, ἢ[2] παρὰ τούτου δικαιωθείς. Πιστεύσω τοῖς ὑμετέροις λόγοις ὡς νόμοις. Ἀπέλθω χαίρων ὅτι συκοφάντης οὐκ ἴσχυσε κατ' ἐμοῦ, ἀλλ' ἄνδρες νομομαθεῖς καὶ ζηλωταὶ πολιτικῶν ἐθῶν καὶ νομίμων κατακεκρίκασι. Κἄν τις πρὸς χάριν συνηγορεῖν θέλοι, καὶ θεραπεύειν τὴν λύπην, οὐκ ἀποδέξομαι. Μᾶλλον ὑμῖν πιστεύσω καταδικάζουσιν ἢ ἑτέροις ἀπογινώσκουσιν. Ἐρῶ τότε ὡς πόλις με πᾶσα κατέκρινε, καὶ τῆς κοινῆς βουλῆς νόμος ἀπεῖρξε, κρινόντων ἐκείνων, ἐκείνων ἐξηγουμένων. Τίς ἐχέγγυος ἄλλως τοῦ λοιποῦ ἐξηγεῖσθαι τὸν νόμον, καὶ ἀθωοῦν ὃν ἀπροσπαθῶς αὐτοὶ κατακρίνουσιν;

Ἀγαπῶ κἀγὼ τὴν τιμήν. Καὶ πῶς γὰρ οὔ; ἄνθρωπος ὤν, καὶ τοιαύτης πολίτης πόλεως, ὅπου καταίρουσι πλεῖστοι· καὶ πολὺς τῶν ἐντίμων[3] ὁ θροῦς παρ' αὐτοῖς, ὅπου φανεῖεν τῆς πόλεως διερχόμενοι, πολὺς ὁ περὶ αὐτῶν λόγος ἐκείνοις· « Οὗτος » λέγουσιν[4] « ὁ περιφανὴς βουλευτής· ἐκεῖνος ὁ ἄριστος στρατηγός· ἄλλος ὁ τὰ κοινὰ πράττων δικαίως· τούτους τιμᾷν δεῖ, καὶ τιμητέον αὐτοὺς ἡμῖν ἐστί, ξένοις γε οὖσι, καὶ ταῦτα καὶ προςτατῶν χρήζουσιν ». Ὅθεν καὶ προσέρχονται, καὶ τιμῶσι, καὶ δωροφοροῦσιν[5], ὡς ἄξιον. Ταύτην ἀγαπῶ κἀγὼ τὴν τιμήν. Ὁμολογῶ τὸ πάθος· θέλω περιφανὴς εἶναι, θέλω περίβλεπτος. Εἰς τί γὰρ ἄλλο καὶ τὰ πολλὰ κεκοπίακα, καί, ἄλλων ἡδοναῖς δουλευσάντων, ἐγὼ σωφρονῶν τὸν βίον ἐῤῥύθμιζον, ἢ πάντως ἵν' εἰς καιρὸν τῶν πόνων δρέψωμαι τοὺς καρπούς; Ἡττῶμαι φιλοτιμίας, δι' ἣν ἐσπούδασα. Ἡττῶμαι δόξης, ἧς ἕνεκα προσεκτικῶς ἔζων καὶ συντετηρημένως, κἂν εἴ τι καὶ παρὰ τοῦ πατρὸς ἔφερον, ἀπαλεῖψαι θέλων ἐκεῖνο καὶ μετεγγράψαι τὰ κρείττονα. Ἤθελον διὰ βίου ταῦτα παρεῖναι καὶ κοσμεῖν με καὶ μεγαλύνειν φαινόμενον.

[1] De γρύζειν p. 4, n. 1.

[2] Ellipsis fit adverbii μᾶλλον.

[3] Fortasse omissa a librario præpositio περί· πολὺς περὶ τῶν,... sed subauditur passim.

[4] Sic codex. Si post ἐκείνοις commate distingueretur, λέγουσιν fieret dativus.

[5] Sic codex, δωροφοροῦσιν. Malim δορυφοροῦσιν. Quorum verborum de permutatione monui ad Anecd. Nova, p. 330. Cf. Thes. Did. V. Δωροφορέω.

Ἀλλὰ τί πάθω; οὐκ ἔχω πρὸς ὑμᾶς ἄλλο καὶ ἀξιοῦν, ἢ προσχεῖν ἀκριβῶς τῷ νόμῳ, καὶ πολλάκις μὲν ἀναγνῶναι, κριτὰς δὲ μὴ τοῦδε ἢ τοῦδε, ἀλλ' αὐτοῦ γε γίγνεσθαι. Ἔχει τις συλλογίσασθαι κατὰ τοῦτον (καὶ τοῦτο γὰρ δίδωμι)· ἔχει δ' ἄλλος διαστεῖλαι τὸν λόγον, καὶ τὸ ῥητὸν ἐκλαβέσθαι κατὰ τὸ κείμενον, ἀφεὶς τὰς παρεξηγήσεις, ὡς νοὸς ἐπιβολὰς ἔνθεν κἀκεῖθεν ῥεπούσας, καὶ τὸ μὲν δικαιούσας, τὸ δὲ καταδικαζούσας πρὸς ὅ τις βούλεται. Πρώτη νόμου σαφήνεια τὸ ῥητόν, αὐτὸ καθ' αὐτὸ καθὼς καὶ γέγραπται ἀναγινωσκόμενον. Ἂν ἔξωθεν ἐπάγοι τις ἄλλο, ὁ μὲν τόδ' εἴποι, ὁ δὲ τόδ' ἐρεῖ, καὶ ἀμφιβολία ἐντεῦθεν καὶ μάχη ταῖς ἐξηγήσεσιν. Ἀλλὰ τί δεῖ διδάσκειν ἄνδρας ἐντριβεῖς νόμων καὶ κρίσεων, καὶ μὴ τὸ ἐντεῦθεν αὐτοῖς θαῤῥήσαντα πρὸς τοὺς ἄλλους εἰπεῖν, καὶ τῶν παρόντων ἀπαλλαγῆναι ταχίον;

Ἄνδρες δημόται, — δεῖ γὰρ καὶ πρὸς ὑμᾶς εἰπεῖν τὸν ἐπίλογον — καλὸν τὸ σπεύδειν πάντας ὑπὲρ τῆς πόλεως· καλὸν τὸ τὰ τροφεῖα διδόναι, ὡς ἂν οἷοί τ' ὦμεν, τῇ θρεψαμένῃ, καὶ μὴ ἅπαξ, εἰκόνος σχῆμα λαβόντας[1], τὸ καθ' αὐτὸν ζητεῖν ἕκαστον, ἀλλὰ συμμεταβάλλειν καὶ καιροῖς καὶ παρεμπίπτουσι πράγμασιν, ὡς νῦν μὲν φαίνεσθαί τινα ταπεινὸν καὶ χαρίεντα, ὅτε τούτου καιρός, νῦν δὲ ἀπαραίτητον ἄλλως καὶ προςκρουστικὸν τοῖς πολλοῖς, ἃ δεῖ, κἂν μὴ πολλοῖς ἀρέσκῃ, βουλεύοντα· νῦν σιωπηλὸν ἄλλως καὶ πρὸς μηδένα μαχόμενον· ἄλλοτε δ' αὖθις καὶ ὀχληρὸν καὶ αὐθάδην, ἂν καιρὸς καλῇ πείθειν καὶ παρακινεῖν τοὺς πολλοὺς ῥᾳθυμοῦντας εἰς τὸ ὑπὲρ τῆς πόλεως ἀγωνίζεσθαι. Κἂν μὲν οὐδεὶς κωλύῃ, πλάττειν[2] μὴ ἔχων προφάσεις, καλόν· εἰ δὲ καὶ κωλύει προφασιζόμενος, ἀλλ' οὖν μὴ καθυφίεσθαι τῆς ἀρχῆθεν σπουδῆς ἄξιον, ἀλλ' ἀντέχεσθαι πάλιν καὶ λόγων κοινῶν καὶ βουλῶν ἀγαθῶν, καὶ πρὸς τὸν κωλύειν πειρώμενον ἀντιλέγειν, ὅσα καὶ δυςνουν τῇ πόλει καὶ ἡμεδαπὸν πολέμιον· πλὴν ἀλλ' ἐπιτρέπειν τὰς κρίσεις τοῖς κοινοῖς βουλευταῖς· κἂν οὗτοι μὴ ἀποφαίνοιντο μηδὲ τῆς βουλῆς ἐξείργοιεν, ὀλίγον λόγον ποιεῖσθαι τῶν κατηγόρων καὶ οἷς ὑμᾶς ἀπείργουσιν· εἰ δ' οὗτοι κρίνοντες καταγνοῖεν, καὶ κα-

[1] Εἰκόνος σχῆμα λαβόντας] vide superius p. 76, n. 3.

[2] Fortasse, κωλύῃ πράττειν. Facilis permutatio verbi πλάττειν et πράττειν.

ταψηφίζοιντο τὴν ἀργίαν, ἐντεῦθεν ἀργεῖν ὑμᾶς, καὶ μηδὲν βιάζεσθαι.

Ἔχομεν δεικνύειν τὴν ἡμετέραν σπουδὴν καὶ τὸν ὑπὲρ τῆς πόλεως ζῆλον ἐξ ὧν οὐχ ἑκόντες σιγῶμεν, ἀλλ' ἄκοντες, οὕτω δικαιωσάντων τῶν βουλευτῶν. Καὶ τὸ ἐντεῦθεν ἡμῖν μέν, καὶ μὴ λέγουσιν, ἱκανὰ τὰ τῆς ἀπολογίας πρὸς πάντας· αὐτοῖς δὲ σκεπτέον ζημιουμένοις τῆς ἐκ τῶν πολλῶν ὠφελείας, τί ἂν καὶ ἀπολογοῖντο πρὸς τοὺς πυνθανομένους πῶς παριδόντες πολίτας εὔνους, τὰ τῶν συκοφαντῶν ἐπίπροσθεν θέντες, τὴν ἐξ αὐτῶν ὠφέλειαν φέρουσι ζημιούμενοι.

ΜΕΛΕΤΗ Ι'.

Ἑταίρα χρυσία εἰ φοροίη, δημόσια[1] ἔστω. Πεφώραταί τις ἑταίρα φοροῦσα χρυσία, καὶ δημοσίαν τίς φησιν ἀπὸ νόμων εἶναι. Ὁ δὲ παρὼν οὗτος, ὃν μελετῶμεν[2], οὐκ αὐτὴν εἶναι δημοσίαν φησίν, ἀλλὰ τὰ χρυσία, προπαροξυτόνως ἀναγινώσκων[3].

Μισθοῦ[4] μὲν οὖν οὐδὲ δώρων ἕνεκα ταύτην τὴν γραφὴν ἐνεστησάμην ὑπὲρ τῆς τέως δοκούσης ἀτίμου· ἀλλ' ἐπειδὴ νόμοις εἴργεται τῆς ἐνταῦθα παρόδου, γυνή γε οὖσα καὶ ἑταιρίς, ὡμολόγησα ταύτῃ, ὡς ἂν οἷός τε ὦ, συνερεῖν· συνερεῖν δὲ οὐχ ὑπὲρ ὧν ἅπαξ δέδωκεν ἑαυτὴν ἀτίμοις πάθεσι πιπράσκουσα τὴν ἰδίαν ὥραν λημμάτων αἰσχρῶν, τοῖς βουλομένοις ἔκδοτος, ἀλλ' ὧν χάριν ἐλευθέρως βιοῦσα, καὶ τῶν κειμένων νόμων ἐπαΐειν ἥκιστα ἔχουσα, φθάνει κοσμήσασα ἑαυτὴν χρυσίοις, καὶ πολλοῖς ὁραθεῖσα φο-

[1] Codex sic, δημόσῖα, indicandi causa ambiguam esse pronuntiationem istius vocabuli, quod possit esse plurale neutrum, vel singulare fœmininum. Argumentum id ipsum exhibet Hermogenes Περὶ στάσεων, capite 14, quod est περὶ ἀμφιβολίας, eritque lectori conferendum, qui rhetorice volet Pachymeris Declamationem judicare. Vide et S. Petit. Legg. Att. p. 576.

[2] De μελετῶμεν p. 159, n.

[3] Schol.: ἡ στάσις, ἀμφιβολία.

[4] Schol.: προοίμιον ἐξ ὑπολήψεως τοῦ ἀπολογουμένου.

ροῦσα, οὐκ ἐξὸν οὐδόλως παρὰ τῶν νόμων αὐτῇ. Νόμοις οὖν εἰργομένης ἐκείνης, νόμοις ἐγὼ ἁπλῶς καὶ δικαίως ταύτῃ συνηγορῶ. Δέδοται γὰρ τὸ ὑπὲρ τῶν ἀτίμων λέγειν ἑτέρους, μή πως, εἴ που τι δίκαιον ἔχοιεν, παρορώμενον ἀφανίζοιτο, καὶ τὸ μέρος ἐκείνων οἱ κρίνοντες ἀδικοῖεν. Ἀδικεῖν δὲ τοὺς ὀμωμοκότας τὰ δίκαια κρίνειν οὔ μοι δοκεῖ ἔχειν τὸ εὔλογον. Κιχρῶ τοίνυν τῇ πόρνῃ τὴν γλῶτταν[1], καί, ταύτης ἐκποδὼν οὔσης, ἐγὼ παρῆλθον ὑπὲρ τῶν ἐκείνης λέξων δικαίων, καί, ὅσον ἔστι ταύτῃ τὸ εἰς βοήθειαν ἐκ τῶν τῆς πόλεως νόμων, τοῦτο παραστήσων ὑμῖν. Μὴ γοῦν ὅτι ἐκείνη τοιαύτη σκοπείτω τις· ἀλλ', ὅτι πᾶς τις λέγειν ὑπὲρ ἑαυτοῦ, καὶ ὅσον οἴεται βοηθήσειν αὐτῷ ἐφειμένον ἔχει καὶ νόμοις ἐκδεδομένον καὶ ἔθεσι, διδότω τὰς ἀκοάς, καὶ ἀκουέτω οὐκ αὐτῆς ἐκείνης διεξιούσης, ἀλλ' ἐμοῦ λέγοντος. Τάχα γὰρ ἐντεῦθεν συνιέντες, κατὰ τὴν τῶν νόμων ἀποφανεῖσθε βούλησιν, καὶ οὐκ ἂν ἄλλως παρὰ τοῦ πικροῦ τούτου ῥήτορος πιθανολογοῦντος παρατραπείητε.

Ὁ μὲν οὖν[2] παρὼν ἀγὼν τόλμην μὲν ἔχει πόρνης καὶ ἀναισχυντίαν, καὶ τοῦ ὑπερορᾷν τῶν κειμένων οἴησιν νόμων· ἐμὴν δ' ἀτολμίαν καὶ δειλίαν εἰς τὸ ταύτῃ συνηγορεῖν. Χρὴ δὲ ὑμᾶς μηδόλως καταγινώσκειν ἐμοῦ ἀκαιρίαν, ὅτι λέγειν ὥρμημαι ὑπὲρ ταύτης. Εἰ μὲν γὰρ προυθέμην δεικνύειν τὴν πρᾶξιν ἀνεύθυνον, ἣν αὐτὴ πεποίηκε, φορέσασα τὰ χρυσία καὶ ἀνερυθριάστως ἐν ταῖς ὁδοῖς πομπεύουσα, τῶν νόμων κωλυόντων ἄντικρυς, ἴσως ἂν καὶ πολλοῖς ἐδόκουν, μᾶλλον δὲ καὶ πᾶσιν ἀναίσχυντος, καὶ πλέον φέρων ἤπερ ἡ πόρνη τὸ αἶσχος, εἰ ῥήτωρ ὢν ἐγώ, καὶ νόμοις συντεθραμμένος καὶ τοῦ δικαστηρίου τουτουῒ τρόφιμος, τοιαῦτ' ἐτόλμων λέγειν καὶ ὡσανεὶ τερατεύεσθαι ἐξ ὧν ἐκείνῃ μὲν ἴσως συνεγινώσκετο ...σθαι[3] δίκαιος, εἰ τοιαύτην τόλμην τολμᾷν ἐπὶ πάντων ὑμῶν[4] ἤμελλον, νικῶσαν καὶ τὴν τῆς πόρνης παραπολύ· ἀλλ', ἐπειδὴ προτείνει μὲν οὗτος νόμον κατὰ τῆς πράξεως, τὸ πρόστιμον δὲ βουλόμενος παριστᾷν, παρεξηγεῖται τὸν νόμον, καὶ

[1] Κιχρῶ.... γλῶτταν] vide superius p. 167, n. 5.

[2] Schol.: δεύτερον προοίμιον.

[3] Inserui puncta signum lacunæ. Schol.: λείπει στίχος.

[4] Codex, ἡμῶν.

πικρότερον τοῦτον τῇ γυναικὶ ἀπεργάζεται, καὶ τὴν προςῳδίαν ἐναλλάττων τὸ ῥητὸν παροξύνει[1], ἅμα δὲ καὶ τὰς ὑμῶν ἀκοάς[2] εἰς τὸ ταύτην ποιεῖν δημοσίαν, δηλαδὴ δούλην, καί, πρὸς τοῖς ἄλλοις δεινοῖς, οἷς αὐτὴ ἑαυτὴν ἐκ τῆς αἰσχρᾶς αὐτῆς ἐργασίας ἐκ πολλοῦ περιέβαλε, καὶ ταύτην προςτιθέναι τὴν καταδίκην, ὡς μηδὲ τὴν ἀπὸ πατέρων ἐλευθερίαν ἔχειν, Ἀττικήν γε οὖσαν καὶ Ἑλληνίδα τὸ ἀνέκαθεν, βούλομαι βραχέ' ἄττα[3] πρὸς αὐτὸν εἰπεῖν, καὶ δεῖξαι ἢ ἀγνοοῦντα τοὺς νόμους τῆς πόλεως τῷ ἐξ ἐπιπολῆς διέρχεσθαι, ἢ μὴν κακουργοῦντα εἰς πικρὰν τῆς ταλαιπώρου ἐπήρειαν· ὥςτε ὃ μὲν τῆς πόρνης ἐστίν, εἰς κόλασιν ἄγον ταύτην καὶ τιμωρίαν τὴν τέως προςήκουσαν, ἐκείνης ἔστω μόνης καὶ οὐκ ἐμοῦ· ὃ δ' ἐμόν, τὸ τοὺς νόμους ἐξηγεῖσθαι καθὼς τὴν ἀρχὴν ἐγράφησαν, κἄν πού τις ἄλλως ἀναγινώσκῃ, οἰκείαν ὄρεξιν ἐκπληρῶν, εὐθὺς ἐλέγχειν τὴν κακουργίαν· οὐ μᾶλλον τοῖς πολίταις ἢ τοῖς νόμοις αὐτοῖς βοηθεῖν, τοῦτ' ἐμὸν ἔστω. Καὶ μηδεὶς τοὐντεῦθεν λεγέτω ὡς ἡ πόρνη καὶ τὸ ὑπὲρ τῆς πόρνης λέγειν αἰσχρόν, ἀλλ' ὡς οἱ κείμενοι νόμοι καὶ τὸ ὑπὲρ τῶν νόμων λέγειν καὶ λίαν καλόν[4]. Οὕτω γὰρ καὶ ὑμεῖς, ἀφέντες τὴν πόρνην καὶ τὰ τῆς πόρνης, ὅλοι γενήσεσθε τῶν τῆς πόλεως νόμων, οἷς ἂν καὶ δίκαιον βοηθεῖν ἡγήσαισθε, ὡς ἂν μὴ κατά τι παρατρεπομένων αὐτῶν πολλοὺς ἔχοιεν ἀδικεῖν τινες ἐξεπίτηδες.

Βούλομαι δὲ[5] μικρὸν ἄνωθεν τὴν ὑμετέραν κοσμιότητα ὑπομνῆσαι, καὶ διαλαβεῖν, τῷ δοκεῖν μὲν περὶ τῆς γυναικὸς αὐτῆς ἧς χάριν καὶ ἡ παροῦσα συνάθροισις, τῇ δ' ἀληθείᾳ ὑπὲρ τοῦ πάθους αὐτοῦ, πῶς τῇ ὑμετέρᾳ πολιτείᾳ, ὡς ἄλλη τις νόσος τῶν χαλεπῶν, ἐκ πολλοῦ παρειςέφρησε.

[1] Mutans accentum, προςῳδίαν ἐναλλάττων, qui scilicet δημοσία diceret.

[2] Videtur verbum periisse quo regatur accusativus ἀκοάς. Si a παροξύνει pendebunt τὸ ῥητόν et τὰς ἀκοάς, lusus fiet in verbis, cui nunc non locus. Cf. p. 193, 27.

[3] De ἄττα nil habeo quod dicam, adeo pervulgatus est ejus vocabuli usus. Animadvertere tamen operæ pretium fuerit jurisconsultorum barbariem qui credidisse videntur ἄττα esse neutrum adjectivi ἄττος. Scripsit enim Procopius Arc. 28, p. 154 : ὁ νόμος ἐμποδὼν ἵστατο, τὰς μὲν ἄλλας δίκας ἁπάσας ἐς τριακοντοῦτιν παραγραφὴν ἄγων, ὀλίγας δὲ ἄττας καὶ τὰς ὑποθηκαρίας τεσσαράκοντα ἐνιαυτῶν μήκει ἐκκρούων. Græca oratio purior poscebat ὀλίγας δέ τινας.

[4] Καὶ λίαν καλόν] vide n. 3, p. 176.

[5] Schol. : προκατάστασις.

Λαΐς[1] ἦν ἐν Κορίνθῳ, Λαΐς, ἧς καὶ τὸ μνησθῆναι μόνον, εἰ μή τις περιφράττοιτο σωφροσύνῃ, ἡδονῆς ἐμπύρευμα τῇ ψυχῇ. Ταύτην εἶχον Κορίνθιοι, ὥςπερ τι τῶν περιφανῶν θεαμάτων, καί, δέον αὐτὴν ἀτιμοῦν ἢ ἐξελᾶν τῆς σφῶν πόλεως, ὥςπερ τι μύσος[2] καὶ κοινὴν φθορὰν τῆς ἐν αὐτῇ νεότητος, οἱ δὲ καὶ περιεῖπον, καὶ παῤῥησίας μετεδίδουν, ὡς κἂν ταῖς ὁδοῖς διερχομένην σοβεῖν, κόσμον περικειμένην παντοῖον καὶ πολλοῖς παραπεμπομένην, ὥςπερ τινὰ τῶν ἱερῶν καὶ μεγάλων καὶ τῇ πόλει σεβασμίων, καὶ ὧν ἐστὶ τὸ τιμᾶσθαι δημοτελῶς.

Ἐπειδὴ τοίνυν μὴ μόνον ἐκείνων τοὺς βουλομένους, ἀλλὰ καὶ ξένους ἐπιδημοῦντας εἷλκε πρὸς τοὺς αὐτῆς ἔρωτας, λαμβάνει τὸ πάθος νομὴν κἂν ταῖς λοιπαῖς πόλεσι· καὶ ὅτι Λαΐδα οὐκ ἐτιμώρουν, ἀλλὰ καὶ ὑπερεπῄνουν Κορίνθιοι[3], γίνονται Λαΐδες ἄλλαι καὶ πανταχῇ καὶ ἐνταῦθα. Τὴν Μυῖαν ἐκείνην οἴδατε πάντες τὴν Ἀττικήν[4], καὶ μετ' αὐτὴν ἄλλην, καὶ αὖθις ἑτέραν.

Τὸ γοῦν πάθος ἀρχαῖόν ἐστιν, οἶμαι, καὶ χρόνοις συχνοῖς ἔντροφον.

Καθ' οὓς καὶ οἱ ἐπὶ τῶν ἡμετέρων προγόνων σοφοί, οὓς εἴ τις εἴποι καὶ κοινοὺς εὐεργέτας οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος, βλέποντες μὲν τὸ πάθος καὶ τῇ ἡμετέρᾳ ταύτῃ[5] ἐπειςκωμάσαν, ἀρίστως δὲ περὶ τούτου διανοούμενοι, ὡς οὐδὲν ἀρχὴν σχὸν καὶ χρόνῳ μετρίῳ βεβαιωθὲν ῥᾴδιόν ἐστιν ἀπαλλάξαι, καὶ ταῦτα ἡδονῆς ὂν οὐ τῆς τυχούσης τοῖς πολίταις αἴτιον, τὸ μὲν ἁπλῶς

[1] Schol.: κατάστασις.

[2] Codex, μῦσος. Vide p. 101, n. 3.

[3] Fuit tamen Lais a Corinthiis urbe pulsa, si Libanii declamatio fidem habere potest, quod juventutis mores corrumperet, dein ab exilio revocata, ob adulteriorum multitudinem. Sed plerumque ficta sunt declamationum argumenta. Est in illa declamatione locus obiter tangendus, t. IV, p. 436: ἔδει τοὺς τοιούτων λόγων συμβούλους ἑτέραν πόλιν οἰκεῖν, ἐν ᾗ σωφροσύνης χωρὶς πολιτεύονται. Ibi conjecit Morellus πολιτεύωνται, non improbante Reiskio, qui ipse proposuit πολιτεύσονται vel πολιτεύσωνται. Et id verbum, quod ipse non mutem, intellexerunt de συμβούλοις, intelligendum de subauditis civibus alius ejus urbis, quo abire οἱ σύμβουλοι monentur.

[4] Lucianus Muscæ Encomio, § 11: ἐγένετο δὲ κατὰ τοὺς παλαιούς.... ὁμώνυμος αὐτῇ (τῇ μυίᾳ).... ἑταίρα τῶν Ἀττικῶν ἐπιφανής, περὶ ἧς καὶ ὁ κωμικὸς ποιητὴς ἔφη· « Ἡ Μυῖ' ἔδακνεν αὐτὸν ἄχρι τῆς καρδίας ».

[5] Sic codex, omisso πόλει, vel cum ellipsi subaudito.

κωλῦσαι νομοθετήσαντας τὸ πραττόμενον ὅμοιον ἡγοῦντο, ὥςπερ ἂν καί τι ἄλλο τῶν τῆς πολιτείας ἐθίμων παράγειν καὶ μεταποιεῖν ἔμελλον[1]. Οὔτε γὰρ νόσον ἔστι τῷ ἰατρῷ ἐξ αὐτομάτου κωλύειν καὶ ταῦτα χρονίσασαν, οὔτ' ἔθος πόλεως καταπαύειν εὐθέως τοῖς τῆς πολιτείας πατράσι[2], καὶ ταῦτ' εἰς ῥᾳστώνην ὂν καὶ ἡδονὴν τῶν μετερχομένων, οὔμενουν εὐαπάλλακτον. Τὸ δὲ προςηνῶς θεραπεῦσαι, καὶ πρόνοιαν θέσθαι τοῦ πῶς ἂν ἐλαττοῖτο τὸ πάθος προϊόντος τοῦ χρόνου, καὶ τὰς ῥίζας οἷον ἐκτέμνοντας, κἂν οὐκ ἠδύναντο κατασπάσαι τὸ δένδρον, τὸν καιρὸν ἀφεῖναι ξηρᾶναι τὸ τέως ἀνθοῦν, καὶ λίαν τῶν ἐντέχνων ἐνόμιζον.

Ὅθεν καὶ σοφῶς ἐκτιθεῖσι νόμους, τὴν μὲν ἑταίραν εἰς ὅ τι πράττοι οὔμενουν εἴργοντας, ἄλλα δὲ πολλὰ καὶ μεγάλα καταψηφιζομένους αὐτῆς ἐπιμενούσης τῷ πάθει, καὶ πᾶσαν νουθεσίαν τιθεμένης ὑστέραν τῆς σφετέρας αὐτῆς προαιρέσεως· τούτων ἓν ἐστι καὶ τὸ μηδὲ χρυσία φοροῦσαν ἐμπομπεύειν τῇ θέᾳ καὶ τῷ κάλλει σεμνύνεσθαι· εἰ δέ τι καὶ ὑπερορῶσα πράττοι τῶν ἀπειρημένων αὐτῇ, ἐφ' ἑκάστῳ τὸ πρόςτιμον κατὰ τὸ προςῆκον πράττοντας, τὴν μὲν ἀπὸ πατέρων ἐλευθερίαν, ὡς ἀναγκαίαν καὶ μηδὲν ἔχουσαν ἐναλλάττεσθαι, τῇ ἡταιρηκυίᾳ φυλάττοντας, ἰδίοις δὲ προςτίμοις αὐτὴν καθυπάγοντας, ἵνα, σωζομένης τῆς ἐλευθερίας αὐτῇ, μηδὲν ἕτοιμος ᾖ εἰς τὸ τέλος ἀπαυθαδίζεσθαι[3], ἑαυτὴν δὲ ταῖς ἐλευθέραις ἐγκρίνουσα χώραν ἔχῃ[4] πρὸς τὸ μεταμανθάνειν τὸ σῶφρον, καὶ μεταμέλεσθαι, καὶ πρὸς τὸ βέλτιον μετατίθεσθαι.

Αὕτη τοίνυν, περὶ ἧς ὁ νῦν ἀγών ἐστιν, ὁποίων μὲν ἔτυχε τῶν πατέρων, καὶ οἵας εἴληχε τῆς ἀναγωγῆς, καὶ ὅπως ταύτης τῆς ἐργασίας μεταποιήσαιτο, λέγειν οὐκ ἔχω· τέως δ' ἡμεδαποὶ τῆς πόλεως οἱ ταύτην γεννήσαντες. Ἡμεδαποὺς δ' ὅταν λέγω,

[1] Sic codex, ἔμελλον. Sed fuit ἤμελλον scriptum modo p. 187, 29. Est ἔμελλον p. 12, 7. Statim erit ἠδύναντο. Edidi ex codice ἠβούλετο p. 105, 7. Sed alibi augmentum erit syllabicum. Sic fluctuat passim non sibi constans librarius. Quem tamen sum secutus, quum non haberem qui conferretur alium codicem.

[2] Πολιτείας πατέρες sunt summi magistratus, legislatores.

[3] Codex ἀπαυθαδιάζεσθαι prius, nunc ἀπαυθαδίζεσθαι, eraso a. Est ἀπαυθαδίζῃ p. 147, 3.

[4] Cod., ἔχει. Scripsi ἔχῃ ob syntaxin quidem, sed ᾖ quod præcedit me movit præsertim, ut in tali auctore.

σεμνοὺς καὶ σώφρονας καὶ[1] καλοὺς λέγειν μὲν ἐμέ, ὑπονοεῖν δ' ὑμᾶς, τῶν εἰκότων ἐστιν οἴεσθαι, τοὺς ἀκούοντας· ἴδιος γὰρ τῆς πόλεως κόσμος ἡ σωφροσύνη καὶ τὸ σέμνον. Εἴτε δὲ καὶ τυχαίως ἐνταῦθα παρέῤῥιπται, ὡς δήμῳ δεδόσθω τοῦτο καὶ πλήθει, καὶ ὡςανεί τινι πολυσυνθέτῳ σώματι ζώου, ὃ δὴ ἐν ταυτῷ μένειν δι' ὅλου τῶν χαλεπῶν, ἢ καὶ μᾶλλον ἀδύνατον.

Τοὺς γοῦν γεννήσαντας οὕτως ὑπονοουμένους, ὡς τὸ εἰκός, οἶμαι καὶ παιδεύειν ἀξίως καὶ ὡς ἐχρῆν τὸ θυγάτριον, πατέρας γε ὄντας καὶ νόμοις ὑπείκοντας φύσεως. Τίς γὰρ ἂν καὶ δέξαιτο ὅλως φαῦλον φανῆναι τὸ ἐξ αὐτοῦ, καὶ εἰς ἀτιμίαν τοῦ σφετέρου γένους καὶ ὄνειδος, εἰ καὶ πολλὰ κερδαίνειν εἶχεν ἐκ τῆς τοῦ τέκνου φαυλότητος; Ἄπαγε τῆς ὁρμῆς ὁ τοῦτο λέγων, καὶ μηδὲν ἄλλο τὸ στόμα τὸ σὸν συγκλειέτω, ἢ ἡ περὶ τὸ σὸν τέκνον προαίρεσις σή. Ῥᾳδίως, οἶμαι, καταπροΐξῃ[2] καὶ τῆς ζωῆς αὐτῆς ὑπὲρ τοῦ μηδὲν ἄχαρι, ἵνα μηδὲν εἴπω πλέον, νομισθῆναι τὸ τέκνον, καὶ ταῦτά γε παρὰ σοῦ παιδευόμενον. Ἐνουθέτουν κἀκεῖνοι, ὡς εἰκός, ἐνουθέτουν· καί, περιόντων, ἴσως σῶφρον ἂν ἦν καὶ σεμνὸν τὸ θυγάτριον. Ἀλλὰ τί χρὴ λέγειν, ὅτ' ἐπικρατέστερον γίνηται τὸ δαιμόνιον; Ἐκεῖνοι γὰρ ἴσως θαλαμηπόλον[3] εἶχον τὴν θυγατέρα, τὸ τῆς πόλεως ἔθος, καὶ γάμους ἡτοίμαζον τῇ παιδὶ καὶ τὸν ἀξόμενον ἐδοκίμαζον. Ἀλλ' ἡ μοῖρα ῥέψασα πρὸς τὸ χείριστον, οἷα δὴ τὰ ἀνθρώπινα, ἐξ ἀνθρώπων γενέσθαι πα-

[1] Addidi καί. Quæ vocula sæpe periit ob exiguitatem. Anonymus Georgidæ Gnomologio, p. 37 : τῶν κάτω καταφρόνει, πλούτου, τρύφης, δόξης, ὡς τάχος φθειρομένων. Codex, καὶ δόξης. Sed conjunctione facile carebitur. Heliodorus, 2, 9 : ἐπιδεικνύναι τὸν μοιχὸν ἢ ζῶντα ἢ τεθνηκότα ἠξίουν. Codex Venetus, ἢ καὶ τεθν., non sine vi. Libanius, t. I, p. 510 : οὗτος ὁ Σαλμωνεὺς ἢ Λυκοῦργος, καὶ πρός γ' ἔτι Μελιτίδης. Codex, καὶ Λυκ., cum glossa ad pronomen : ἤγουν ὁ Κωνστάντιος. Nicephorus Gregoras Florentio editionis Iahnianæ, p. 508 : πέπραχέ τι ἐνθουσιῶδες καὶ μανικὸν καθ' ἑαυτοῦ οἷον ποτὲ κατὰ τοῦ Πενθέως αἱ Βάκχαι. Codex Parisinus, καὶ οἷον....

[2] Sic codex cum diæresi, καταπροΐξῃ. Usus est in Historia Andronici Pachymeres, pp. 218, 380, formis καταπροΐζεσθαι καταπροϊσαμένοις, quas et in codice 1723 reperi. Themistocles Epist. 15, 11 : οὔτε τοὺς θεοὺς λήσεις,.... οὔτ' ἐμὲ ἀδικῶν καταπροΐξῃ. Codex, καταπροηξιν.

[3] Est hic θαλαμηπόλος pro οἰκουρός significatione insolita. Fortasse scripsit θαλαμηπολουμένην, quo verbo utetur mox p. 192, 16.

ρασκευάζει τοὺς ἐκ φύσεως κηδεμόνας τῆς κόρης, καί, πρὶν ἐκείνῃ τελέσαι τοὺς γάμους ἀξίους, τὸ βιοῦν ἐκμητρήσαντας τελεσθῆναι τῷ Πλούτωνι. Εἰκὸς δ' ἦν καὶ ἀνεπιτρόπευτον ἐαθῆναι τὴν ὀρφανήν, εἴτε τοῦ θανάτου ἐξαίφνης συμβάντος, εἴτε καὶ πενίας ὑπούσης, ἐξ ἧς τὰ πολλὰ κακὰ γίνεται. Ποῖος γὰρ ἐντεῦθεν ἢ συγγενὴς ἢ φίλος προὔστη τῆς κόρης ἄν, καὶ τῆς ὠφελείας αὐτῇ προὐνοήσατο; εἰ γὰρ πλουσίῳ φίλοι πολλοί, ὡς ἡ παροιμία φησί, τῷ πένητι πάντως οὐδείς[1].

Ἐρήμην δ' οὖσαν τῶν κηδεμόνων, τί πράξειν εἰκὸς ἦν αὐτήν, εἰ μή γ' ὁπόσα βδελυρίας καὶ κακίας ἦσαν καρποί; νεότης γὰρ ἀχαλίνωτος, καὶ μᾶλλον ἐπὶ θηλυτέραις, αἷς δὴ καὶ πλείων ὅσον καὶ ῥάων ὁ κίνδυνος, ὡς σφαῖρα κινουμένη κατὰ πρανοῦς[2]. Τὸ δ' ἅπαξ κακίας δραξάμενον ἐπισχεῖν μετρίως, ὅμοιον καὶ ἂν εἰ πῦρ λάβρον ὕλης δραξάμενον σβεννύειν ἐπιχειροίη τις. Συνέπεσεν οὕτω τῇ νέᾳ τὰ κατὰ τὸν βίον, καὶ κακίας ἧπται, ῥᾳδίας ὁδοῦ· καὶ ἡ τέως θαλαμηπολουμένη ἀῤῥένων ὄψεις θαῤῥεῖ[3], καὶ ἀκολάστων ὄμμασι δίδοται. Κἀντεῦθεν (φύσει γὰρ εὐχερὴς ἡ κακία) τῷ πρώτως ἁλόντι τοῦ κάλλους αὐτῆς ἐπιῤῥίψασα ἑαυτήν, Ἀφροδίτῃ ὀργιάζει καὶ Ἔρωτι. Ἔνθεν ἀναισχυντεῖ καὶ μεταφέρει πρὸς ἄλλους τοὺς ἔρωτας, καὶ τῆς αἰσχίστης ἐργασίας προΐσταται. Καὶ δὴ ἑταίρα μὲν λέγεται, τὰς δὲ παρὰ τῶν νόμων εὐθύνας ὑπέχει, μὴ τὴν αὐτὴν ταῖς ἄλλαις τιμὴν ἔχουσα, ἀπελαυνομένη

[1] Est proverbium metricum 256 : εὐτυχία πολύφιλος. Ibi nota; collato Erasmo Adagio : « Felicitas multos habet amicos », 3, 5, 4, et alio : « Felicium multi cognati », 3, 1, 88. Ibi citat opportune græcum versiculum, ἢ μόλις ἔγνως Τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος, Platonis, inquit, in Epigrammate. Sed fallebat eum memoria. Tribuebatur Erasmi ætate id epigramma Philodemo, nunc fide Vaticani libri invenitur Anth. 5, 113, sub nomine Marci Argentarii, ad quem legatur Jacobsius in Analectis, t. IX, p. 286. Euripides Cressis : Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν, Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Joannes Chrys. sub initium orationis pro Eutropio, quem summo lapsum prosperitatis culmine deseruerant perjuri amici ac dolosi : ποῦ νῦν οἱ πεπλασμένοι φίλοι; ποῦ ὁ τῶν παρασίτων ἑσμός; Cf. n. ad Choricium, p. 294. Addam diligentiæ causa in margine codicis e regione ejus sententiæ adscriptum esse scholium brevissimum, nunc evanidum adeo ut legi nequeat.

[2] Comparationem hanc spheræ deorsum delatæ jam legisse fere memini, non autem quo in libro.

[3] Ὄψεις θαῤῥεῖ] vide p. 162, n. 1.

μὲν συλλόγων κοινῶν, ἀπελαυνομένη δὲ καὶ τόπων ἐκείνων ὅπου γυναῖκες διάγουσι σώφρονες. Καὶ δέχεται μὲν τὰ παρὰ τῶν νόμων δίκαια πρόςτιμα, οἶδε δέ, καθ' ὅσον ἔστιν εἰδέναι καὶ γυναικὶ καὶ μηδὲν παῤῥησίας μετεχούσῃ τῆς ἐν τῇ πόλεις τὰ παρὰ τῶν νόμων αὐτῇ. Ἀλλ' ἅπαξ τέως τὸ χείριστον ἀγαπήσασα, νόμον ἔχει τὸν τρόπον, κατὰ τὰς ἀτίμους βιοῦσα καὶ μόνον διώκουσα τὸ κατ' ὄρεξιν.

Ἐπεὶ γοῦν, κἂν τις καὶ σκώπτοι, ἀλλὰ τὸ κατ' ἐπιθυμίαν ζῆν ᾑρετίσατο[1], ἐπιθυμεῖ καὶ χρυσίοις κοσμεῖσθαι, ἃ δὴ πολλά γε παρὰ πολλῶν εἴληφεν, οὐ καταφρονοῦσα νόμων (μὴ γένοιτο!), ἀλλὰ κατὰ τὸ ἐπιτυχόν, ὡς κὰν τοῖς λοιποῖς ὀρέξει δουλεύουσα.

Ἀλλ' οὐκ ἦν λαθεῖν τοὺς ἐπόπτας οὕτω βιοῦσαν, καὶ παρὰ τοὺς νόμους τῆς πολιτείας διάγουσαν. Αὐτίκα γὰρ φωρᾶται τὰ χρυσία φοροῦσα, καὶ τοῖς νόμοις λέληθεν ὑπαχθεῖσα ἐς ὅγε δώσει τὴν ὡρισμένην δίκην, καὶ μάθῃ ἐς ἀκριβῆ ζημίαν προϊσχομένη τὸ ἀναιδές, οὗ χάριν τοιαῦτα πράττειν ἐτόλμησε. Καὶ ἰδοὺ μαθοῦσα ὅ τι τὸ πρόςτιμον ἀπὸ νόμων ἔστι τῆς πράξεως, δυςχεραίνει μέν — καὶ πῶς γὰρ οὔ; — ζημιουμένη τὸν κόσμον τὸν ἑαυτῆς· ἀλλ' οὖν γε μόλις καὶ ἄκουσα, ἕτοιμός ἐστι κατατίθεσθαι τὰ χρυσία, εἰς τὸ γενέσθαι ταῦτα κατὰ τοὺς νόμους δημόσια.

Οὕτω[2] γὰρ ὁ νόμος διαγορεύει ῥητῶς· « Ἑταίρα χρυσία εἰ φοροίη, δημόσια ἔστω »· εἰ κοσμοῖτο, φησί, χρυσίοις ἑταίρα, ἔστωσαν ταῦτα δημόσια. Καὶ οὕτω μὲν αὕτη παρὰ νόμους κοσμηθεῖσα προςτιμᾶσθαι κατὰ νόμους καταδικάζεται.

Οὗτος δ'[3], οὐκ οἶδα πόθεν ἐλθών, βαρὺς τῷ ὄντι καὶ πικρὸς κατήγορος ὤν, φησί· « Μὴ τὰ χρυσία, ἀλλ' αὐτὴν δημοσίαν γίνεσθαι τὴν ἑταίραν ὁ νόμος βούλεται ». Καὶ τὸ γραφὲν παροξύνει καὶ ἑνικὸν λαμβάνει τὸ ἔστω· « ἔστω » λέγων, « ἡ γυνὴ δημοσία, ὅτι χρυσία πεφόρηκε ».

Τί λέγεις, ἄνθρωπε; οὕτω μεγίστας τὰς τιμωρίας ὁρίζῃ καὶ ὑπὲρ τῶν τυχόντων πλημμελημάτων, καὶ οἷς ἄν τις μᾶλλον

[1] Codex, ἠρετίσατο. Suidas: ᾑρετισάμην· εἱλόμην, ἐξελεξάμην. Vide ad Babrium F. 61, 5.

[2] Schol.: προβολὴ τοῦ ῥητοῦ.

[3] Schol.: ἑτέρα προβολὴ κατὰ τὸ ἀμφίβολον.

συγγνοίη πραχθεῖσιν ἢ ἐπεξελθεῖν θελήσειεν; οὕτω πικρὸς σὺ τιμωρὸς καὶ κολαστὴς ἀπαραίτητος, εὑρών τινα πλημμελήσαντα; Ἴσθι μὴ καλῶς ἀναγινώσκων τὸν νόμον. Προπαρόξυνε τὴν γραφήν, καὶ τῇ τῶν Ἀττικῶν συνηθείᾳ χρῶ, Ἀττικὸς ὤν, καὶ τὸ ἔστω πλήθυνε.·

Εἰ μὲν γὰρ μὴ γεννηθεὶς ἐνταῦθα μηδὲ τραφείς, ἀλλ' ἄλλοθί που, εἶτα ἠγνόεις τὴν τῶν Ἀττικῶν συνήθειαν, καὶ ὅπως τὸ ἑνικὸν ῥῆμα πληθυντικοῖς συντάσσουσι τοῖς ὀνόμασιν, εἰ μόνον εἶεν οὐδέτερα, τυχὸν ἄν τίς σοι καὶ συνέγνω, οὕτω τὸν νόμον ἀναγινώσκοντι. Ἐπεὶ δὲ ἀνὴρ Ἀθηναῖος σύ, καὶ τῆς ἡμετέρας διαλέκτου ἐς ἄκρον ἐπήβολος, ὅ τι γε καὶ γυναικῶν ἀκούσεις ἐνταῦθα καὶ οἷς ἀγροῖκος ὁ βίος καὶ τῶν βαναύσων οὕτω λεγόντων, πάτριον ἐχόντων πάντως τὴν γλῶτταν καὶ εὐγενῆ, ποῦ δίκαιον μὴ συνιέναι σε τοῦτο, καὶ τὸν νόμον ἀναγινώσκειν[1] κατὰ τὴν Ἀττικὴν σύνταξιν; Εἰ δὲ καί τις[2] τὸν τόνον μετέθηκε καὶ ἡ βίβλος οὕτω τῆς γραφῆς ἔχει, ἔδει σε πρὸς τὸν νομοθέτην ἐπανατρέχειν[3], καὶ ἐξετάζειν τὴν ἐκείνου διάνοιαν[4], κἀκεῖθεν λαμβάνειν τὴν λύσιν τοῦ ἀμφιβόλου, ὡς ἀληθεῖ τῷ πρέποντι χρώμενον. Τὸ γὰρ πρέπον πανταχοῦ τῶν καλῶν, καὶ οὐδεὶς τούτῳ χρώμενος ἡμάρτηκε πώποτε.

Καὶ δὴ ἐφ' ἑκάστῳ τῶν γινομένων ὅρα τὸ πρέπον, ὁπόσην ἰσχὺν τῷ λέγοντι περιτίθησι. Πρέπον πατρὶ τὸ περὶ τὸ οἰκεῖον γέννημα κηδεμονικόν· καὶ πειρατῇ πρέπον αὖθις τὸ περὶ τοὺς ἐντυχόντας κακοποιόν. Φέρε γὰρ εἴ που περιτετυχήκει πατὴρ σὺν υἱῷ πλέων μονογενεῖ πειραταῖς, καὶ ὁ παῖς ἐβυθίζετο ὑποβρύχιος, τοῦ πατρὸς ἐφέντος, ἠμφισβήτουν δ' ἀλλήλοις πειρατὴς καὶ πατὴρ περὶ τὸ συμβὰν ἐκεῖνο, καὶ ποῖος τοῦ βυθισθῆναι ἐγένετο αἴτιος τῷ παιδί, ἔκρινες δὲ σύ, ἐκείνων οὕτως ἀμφισβητούντων τοῦ περὶ τὸν παῖδα πάθους, πότερον ἄρα ἐκ τῶν εἰκότων κατέκρινας, τὸν πειρατὴν ἢ τὸν πατέρα; οὐ πᾶσ' ἀνάγκη τὸν πειρατήν; Οὕτω πανταχοῦ τὸ πρέπον ἐστὶ καὶ περὶ τὰ ἀγνοούμενα δήλωσις.

[1] Repetatur mente negatio μή ante ἀναγινώσκειν.

[2] Aliquis scilicet antiquarius.

[3] Sic vernacule dicimus : « recourir au législateur ».

[4] Schol : διάνοια τοῦ νομοθέτου.

Πόθεν ἔσχες, εἰπέ μοι, τὰς ἀφορμάς, καὶ εὔνουν λέγεις τῇ πόλει τὸν νομοθέτην καὶ εἰς συνοῖσον εἶναι[1] ὅ τι νομοθετοίη, καὶ ταῦτα μηδὲν ἐκεῖνον εἰδώς, μηδ' ὅπως εἶχε περὶ τὴν πόλιν γνώμης καὶ προαιρέσεως; ἢ[2] πάντως τὸ πρέπον δίδως κἀκείνῳ· ὡς οὐκ ἄν, ἄλλως νομοθετοῦντος, τοὺς τότ' ἦν δέχεσθαι τὰ νομοθετήματα· μὴ γάρ, ὅτι δύςνους ἦν[3]; ἀλλ' εἰ καὶ μόνον παρά τισιν οὐκ ὢν[4] ὑπωπτεύετο, σχολῇ γ' ἂν εἶχον μὴ ὅτι γε νόμους ἐκείνου, ἀλλ' αὐτὸν ἐκεῖνον καὶ σιγῶντα δέχεσθαι.

Εἶδες τὸ πρέπον, ὁπόσην ἐπὶ τοῖς ἀγνοουμένοις καὶ ἀμφιβόλοις ἔχει τὴν δύναμιν; ἐξέταζε τοίνυν κἀνταῦθα πρεπόντως τὴν τοῦ νομοθέτου διάνοιαν.

Ἦν[5] νομοθετεῖν ἐκεῖνον κολάσεις καὶ τιμωρίας μεγίστας ἐπὶ τυχοῦσι τοῖς πλημμελήμασιν, ἢ κατὰ λόγον τῶν ἡμαρτημένων πρέπον ἦν καὶ τὰς εὐθύνας γίνεσθαι; Καὶ σκόπει, παρακαλῶ. Ὕβρισέ τις τὸν δεῖνα; ἀλλ' ὅρα καὶ τὸν ἐπὶ τῇ ὕβρει νόμον, καὶ τὴν δίκην ὁποίαν ἀξιοῖ λαμβάνειν τὸν ὑβρισμένον παρὰ τὸ δίκαιον. Πεφόνευκέ τις ἄλλος ἕτερον; καὶ ὅρα νόμον ἄλλον, καὶ δίκην ἑτέραν ἥπερ ὁ πεφονευκὼς καθυπάγεται. Ἆρ' ἴσον εἴποις τὸ τῶν δικῶν ἐνταῦθα κἀκεῖ; καὶ ποῦ δίκαιον ἴσας τὰς δίκας οἴεσθαι γίνεσθαι ἐπὶ ἀνίσοις τοῖς πλημμελήμασι; Καί, εἰ μίαν μέλλει[6] τις ὑπέχειν δίκην καὶ ἴσην, μικρὸν ἁμαρτήσας καὶ μεῖζον, ἵνα τι, ἐξὸν ἀδικεῖν τὰ μεγάλα, τοῖς μικροῖς ἐπιχειροίη, ὁ ἀδικεῖν βουλόμενος, εἴπερ ἕνα καὶ τὸν αὐτὸν τρόπον τῆς τιμωρίας ἁλοὺς κολασθήσεται;

[1] **Εἰς συνοῖσον εἶναι**] in sententiis *εἰς δύςνοιαν* (imo *δυςτυχίαν*), *εἰς φιλοτιμίαν*, subaudiebam p. 52, n. 2, verbum *τείνειν*. Ex hoc loco *εἶναι* potius intelligatur.

[2] Codex *ἡ*. Scripsi *ἢ*, ut et alibi. Meleager Anth. 5, 191, ad amicæ domum procedens sic secum :.... Ἆρά γε τὰν φιλάσωτον ἔτ' ἐν κοίταισιν ἀθρήσω Ἄγρυπνον, λύχνῳ πολλ' ἀποκλαομένην; Ἦ τιν' ἔχει σύγκοιτον; ἐπὶ προθύροισι μαράνας Δάκρυσιν ἐκδήσω τοὺς ἱκέτας στεφάνους.... Interrogatio male videtur sequentibus convenire. Fortasse, ἤ τιν' ἔχει σύγκοιτον. Ἐπὶ προθ.... Putandus est poeta per rimas januæ aliove modo vidisse amatorem rivalem intus ab amica admissum. Reliqua dicit despondens. Januæ sæpius male clausæ meretricibus nocuerunt. Rufinus mulierculæ incautiori Anth. 5, 41 : Τὸ πρόθυρον σφήνου. Possit etiam legi : Εἴ τιν' ἔχει σύγκοιτον, ἐπὶ προθ. Sed id minus bene; nam ita si esset in codice, proponerem, ἤ τιν'.

[3] Feci interrogationem.

[4] Excidisse videtur *εὔνους*.

[5] Ἦν scilicet *πρέπον*, quod mox dicet.

[6] Cod., *μέλλει*, superscripto *οι*

Ἥμαρτεν ἡ ἑταίρα, τὰ χρυσία φορέσασα; τίνα καὶ πόσην τὴν ἁμαρτίαν; Ὅτι, φησίν, ἀπηναισχύντησε πρὸς πάντας, πεπαῤῥησίασται, κεκαλλώπισται, τέθρυπται τοῖς ὁρῶσιν. Οὐκ οἶδε ποῦ χοροῦ, εἴτουν ἀξίας[1], τάττει ταύτην ὁ νόμος· οὐ γὰρ τῆς μεγίστης καὶ ἧς αἱ ἄλλαι μετέχουσιν· ἀλλά που παραδύει ταύτην καὶ τῆς ἐσχάτης ἀξιοῖ μοίρας, καὶ ἀπαῤῥησιάστου, καὶ μηδὲν ἐχούσης ἀγάλλειν τὸν ἐκεῖ ταττόμενον. Αὕτη δὲ ἀλλὰ καὶ σεμνύνεται φαινομένη, καὶ χρυσίων ἐπιθέσεσι καλλωπίζεται. Οὗτος ὁ τρόπος τῆς πόρνης· αὕτη τῆς ἀκολάστου ἡ ἁμαρτία· τοῦτο τὸ τῆς ἑταίρας πλαμμέλημα. Ἀμέλει τοι καὶ κολάζει ταύτην ὁ νόμος. Τίνα τὴν καταδίκην ἐπιτιθείη; ἆρα τὴν μεγίστην καὶ ἀπαραίτητον; ἢ[2] πάντως κατὰ λόγον τοῦ πλημμελήματος.

Ἐγὼ μὲν οἶμαι ὡς ἱκανὴν τιμωρίαν ὁ νομοθέτης ἡγήσατο τὴν τῶν χρυσίων ἀφαίρεσιν. Ἐφ' οἷς γὰρ ἐκείνη μέγα ἐφρόνησεν, ἀφαιρουμένη ταῦτα, ταπεινωθήσεται, καὶ ἱκανὴ ζημία προςέσται ἀπόρῳ γενομένῃ ἐξ εὐπόρου ἐξαίφνης, καὶ ὥρᾳ μιᾷ ἀποβαλούσῃ τὸν πλοῦτον, ὃν συχνοῖς δὴ τοῖς χρόνοις ἐκ πορνικῶν μισθωμάτων συνέλεξεν· ὅμοιον ὡς ἂν εἴ τις πάντα τὸν πλοῦτον ἀθροίσας καὶ ἐπὶ νηὸς καταθέμενος, εἶτα, τυχὼν τῆς θαλάσσης οὐκ εὐμενοῦς, μόλις αὐτὸς ἐσώθη ἀποβαλὼν ἅπαντα.

« Γενέσθω τοίνυν » φησὶν ὁ τὸν νόμον γράψας, « ἡ εὔπορος ἄπορος, καὶ ἡ μὴ τῷ πλούτῳ εἰδυῖα χρῆσθαι καλῶς, ἀποβαλοῦσα σωφρονιζέσθω, ἵνα τῶν τῆς πενίας ἐντεῦθεν δεινῶν πειραθεῖσα, ἤν που καὶ πάλιν συμπέσῃ τὸ εὔπορον, ἔχοι τὸ παίδευμα ἱκανὸν ὡς παθοῦσα, καὶ ὡς σφαλερὰν τὴν θρύψιν φυλάττοιτο. Τοῦτο τὸ πρόςτιμον καὶ ταύτην σωφρονίσει, τὸ ἀπ' ἐκείνου μὴ ἔχουσαν καλλωπίζεσθαι, καὶ ταῖς ἄλλαις φόβον ἐνσείσει τὸν μέγιστον, εἰ, μικρᾶς τέρψεως χάριν, ὅλον ἀποβάλοι τὸν πλοῦτον, ᾧ δὴ καὶ μόνῳ παρὰ τὰς πολλὰς ἐνησμένιζεν ». Αὕτη ἡ τῆς πόρνης καταδίκη, τοῦτο τὸ τοῦ νομοθέτου βούλημα.

Εἰκὸς[3] γὰρ ἦν ἐκεῖνον καὶ διαγνῶναι, σοφόν γε ὄντα, ὡς γυνὴ ἐκείνη, καὶ περὶ ἄλλα τὴν σχολὴν ἄγουσα, καὶ ὡς ἀγνοοῦσα,

[1] Cod. εἴτ' οὖν. Vide p. 149.
[2] Codex, ἤ.
[3] Schol.: ἀντίθεσις συγγνωμονικὴ ὑπὲρ τῆς πόρνης.

οὕτω πράξοι. Ἄλλα δὲ τῶν ἀγνοούντων, καὶ ἄλλα τῶν καταφρονούντων τὰ ἐπιτίμια. Ἂν καταφρονῶν τις παρανομῇ, διπλῆν τὴν δίκην ἀποίσεται, οἷς τε κατεφρόνησε, καὶ οἷς παρηνόμησεν. Ἂν ἀγνοῶν ἁμαρτάνῃ, συγγνώμης ἔστιν ἐντός. Ὅτι μὲν ἥμαρτε, κολασθήσεται· ὅτι δὲ μὴ εἰδώς, τὸ μέτριον ἕξει τῆς καταδίκης, οἷς ὅτι[1] καὶ ἀκούσιον τὸ πλημμέλημα, καὶ οὐ παρὰ τὴν αὐτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν ἄγνοιαν τὸ πλημμεληθέν. Πολλῷ δὲ δήπου τὴν ἑταίραν ἀγνοοῦσαν ἐξαμαρτάνειν περὶ τὸν νόμον, ἢ καταφρονοῦσαν εἰκός. Τίς γὰρ ὁ ἐκείνην παιδεύων; καὶ ποία καὶ ἐπὶ τίνι τῶν σωφρόνων συναγωγὴ παρασκευάσει μαθεῖν ἐκείνην ὅπερ ἠγνόει τὸ πρότερον; Ἀπείργεται πάσης συνόδου, ἐκβάλλεται παντὸς συνεδρίου· κἂν λαθοῦσα καὶ παρεισδῦσα λαθραίως παρακαθίσῃ ταῖς ἄλλαις, εὐθὺς ὡς τολμηρὰ καὶ ἀναιδὴς ἀποπέμπεται· κἂν συλλόγοις ἑαυτὴν παρενείρῃ εἰς ὅ τι μαθεῖν χρήσιμον, ὡς ἄγος ταῖς σώφροσιν ἐκδιώκεται. Κἂν ἐπιστῇ παιδευτής, ἐραστὴς ἀντὶ παιδευτοῦ γίνεται, καὶ νόμους ἀφεὶς ἐκείνους καὶ ὅ τι διαγορεύουσιν, ὅλος τῶν ἐκείνης ἐρώτων δείκνυται.

Κἀντεῦθεν ἐξ ἀγνοίας ἁμαρτανούσῃ συγγνώσεται δικαίως. Καὶ λοιπὸν ἡ ἡτισοῦν κόλασις αὐτάρκης τιμωρία πλημμελησάσῃ παρὰ τὴν σύντροφον ἄγνοιαν.

Οὕτω καὶ σὺ συμβίβαζε τὸ ῥητόν, καὶ ἅμα μὲν ἀττικίζειν ἔχεις τὴν κοινὴν ταύτην καὶ καθωμιλημένην συνήθειαν, ἅμα δὲ καὶ κατὰ λόγον τῶν ἀδικημάτων[2] τὰς δίκας ἐπιτιθέναι τοῖς ἁμαρ-

[1] De formula οἷς ὅτι vide p. 153, n. 3.

[2] Cod., πλημμελημάτων, vocabulo subtus notato punctis deletoriis, et cum glossa interlineari, γρ. ἀδικημάτων. Sic sæpe librarii a describendo vocabulo aberrantes in synonymum incidunt. Ille librarius noster laudando exemplo se correxit ipse. Sæpe etiam mutationes id genus novæ ab auctore factæ recensioni tribuendæ sunt aut videntur tribuendæ. Heliodorus extremo libro 1 : πρὸς τὸ νησίον.... κατ' αὐτό. Codex Venetus, πρὸς τὴν νῆσον.... κατ' αὐτήν. Libanius, t. IV, p. 113 : κἂν μὲν αἰδούμενος τὰς οἰκείας συμφορὰς σιωπήσωμαι, οὐκ ἔχειν δόξαιμι δι' ὧν τὴν ἀπολογίαν πληρώσω· ἂν δὲ ὑπὸ τῆς ἀνάγκης τἀληθῆ λέγειν προάγωμαι, δόξω τὰς ἡμετέρας ἐγὼ συμφορὰς ὃν ἐρυθριᾷν ἔδει διηγουμένων ἑτέρων. Codex 3017 pro σιωπήσωμαι habet synonymum ἀποκρύψωμαι, quod poterit displicere; ἀποκρύψομαι enim paucis occurrit ante versibus; poterit tamen non displicere nonnullis repetitio. Codex post ἐγώ addit commodissime προφέρειν, et pro ὃν dat ἅς, quod non est vulgare. Idem, p. 855 : Ἔρως ἅπτεται ποταμοῦ· πόθον

τήσασιν. Ἀλλὰ σκόπει, λέγεις, οὕτω, καὶ παράλληλα τίθει[1] *τὰ γράμματα καὶ τὸν σκοπὸν ἐμοῦ τε καὶ σαυτοῦ ὅσαγε καὶ σκοπὸν ἄλλον μακρόθεν ἵστη· καὶ πρὸς ἐκεῖνον τὴν τῶν γραμμάτων κρίσιν ἀπεύθυνε.*

« Ὁ γοῦν[2] *σκοπὸς εἷς ἀμφοτέρων » φής, « πάντως φυλαχθῆναι τὸν νόμον καὶ μὴ διαπεσεῖν τὸ γραφόμενον. Οὐ χρὴ γὰρ οὐδὲ δίκαιον τὸν ἁμαρτάνοντα, καθ' ὅτι ἂν ὁ νόμος προςέταξε, μὴ κολάζεσθαι. Οὗτος, λέγεις, ὁ σκοπὸς ἀμφοτέρων ἐμαυτοῦ καὶ σοῦ. Φέρει δὲ τοῖς γράμμασι τὴν ἀμφιβολίαν ὁ τόνος· κἀντεῦθεν καὶ πιθανῶς ἰσχυρίζομαι ἐνί γέ τῳ τρόπῳ τὸν νόμον φυλάξαι. Καὶ εἰ μὲν οὕτως ἔχει, ὡς ἐγὼ λέγω, καὶ παροξύνεται, οἶμαι δικαίως τὸν νόμον καὶ τὴν ἐκείνου βούλησιν ἐκπληροῦν· εἰ δ', ὡς σὺ λέγεις, προπα-*

οὖν ἐμβέβληκε Ἀλφειῷ Σικελικῆς πηγῆς Ἀρεθούσης τοὔνομα. Codex :.... *καὶ ποταμοῦ· π. ο. ἐνέβαλε τῷ Ἀ. τῆς Σ....* Maximus Planudes conversione Græca Metrorum Boethii, 4, 1 : *Εἰσὶ γὰρ ὠκύτατοι πτέρυγες ἐμοὶ Ἐς ὕψος ἥκουσαι πόλου, Ἃς περιαψάμενος νοῦς εὔδρομος Γῆν μὲν στυγῶν διαπτύει, Ἄντυγα δ' ἠερίην ὑπερίπταται, Νεφέλην λιπὼν ὀπιστέραν.* Codex 2094, *νέφη λ. ὀπίστερα*, iambico melius incedente; ac incedet dactylicus melius, scripto *νόος* quod reperi, ac fere reperit editor suo in codice, ubi esse *νοο* testatur. Theodorus Prodr. Rhod. 8, p. 337 : *Γέροντι μὲν γὰρ τοῦ ξίφους μικρὸς φόβος.* In Rhodonia Macarii Chrysocephalæ, qui hunc versum excerpsit, legitur, monente me J. Morello viro desideratissimo, *μικρὸς λόγος.* Idem, p. 319 : *Ἂν δ' ἐκ μέσου (ὁ φίλος) γένοιτο, καὶ ῥυῇ χρόνος, Ἡ τῶν ποθούντων δαπανᾶται καρδία.* Macarius, *ῥοῇ*, quod habendum esse videtur pro calami lapsu, non alio verbo. Idem Tetrast. p. 150 : *χαίρετε, ἀμπλακόεργοι, θαρσέετ' ἔθνε' ἀλιτρῶν· Χριστὸς ἀλιτροβίοισι μεθίζεται· ἠδέ τε, δειπνεῖ. Ματθαῖον καταθρεῖτε· ἔην πάρος ἀμφὶ τελώναις, Νῦν δὲ Χριστὸν ἄνακτα συνέστιον ἔσχεν ἐν οἴκῳ.* Codex, *ἔσχε κατ' οἶκον*, quam mutationem, nec malam, me quidem judice, Theodoro tribuo. Et ipsius esse puto varietatem *ποτιδέρκευ*, pro *καταθρεῖτε*, scilicet voluit durum vocalium *εε* concursum effugere; sed properavit nimis, quum singularis persona novi verbi aliena sit a priore disticho. In Thesaurum novum verbum *μεθίζεσθαι* e schedulis meis, indicato Theodori loco receptum est, adjuncta conversione, « sedem mutare », quæ mea non est, qui plerumque a convertendis, quæ editoribus vv. dd. transmitto, vocabulis abstineo. Si voluissem id convertere, proposuissem « sedere una », vel Suvignianum « una assidere ». Tenue, fateor nomen Theodori; sed quum fuerit habitum quod citaretur dignum, et dignus fuit ejus liber qui inspiceretur, sensus asserendi causa. Nomen etiam tenue meum, dignum tamen mihi saltem quod ab errore non meo vindicem. Quæ vindicatio si cui forte non placebit, dicam quod dixit ille : « laus mea plurimum apud me valuit ».

[1] *Παράλληλα τίθει*] cf. p. 132, 14.

[2] Schol. : *τὸ περιέχον καὶ τὸ περιεχόμενον εἰςάγων, ἐξ ἀντιθέσεως λύει.*

ροξύνεται τὸ ῥητόν, ἀξιῶ καὶ οὕτως αὐτὴν ἐκείνην δημοσίαν γίνεσθαι, ἵνα, κἂν μὴ κατὰ τὸ τοῦ νόμου βούλημα διαπράττωμαι, ἀλλ' οὖν ἔχω καὶ πάλιν ἐκ περιουσίας τὸν νόμον ἀποπληροῦν. Τῆς γοῦν γυναικὸς δημοσίας καταστάσης δούλης, ἕψονται ταύτῃ καὶ τὰ χρυσία, κἀκεῖνα τοῖς δημοσίοις προςανακείσονται. Οὐ ταῦτα λέγεις, καὶ ἄνω καὶ κάτω[1] τὸ περὶ τοὺς νόμους ζητεῖς ἀσφαλῶς; ἆρα καλῶς τὸν σκοπὸν τῶν σῶν λόγων διεσαφήνισα; οὐκ οἶδας, λέγεις, τὸν νόμον, ποῦ ῥέπει καὶ τί σαφῶς διορίζεται. Ἀλλ' ἔστω μὲν τὴν ἑταίραν, ἔστω δὲ καὶ τὰ χρυσία λέγειν αὐτόν. Γενέσθω γοῦν ἡ γυνὴ δημοσία, κἂν ὁ νόμος τοῦτο κἂν μὴ βούληται. Ἂν μὴ βούληται ταύτην, ἀλλὰ τὰ χρυσία εἶναι δημόσια, ἡ γυνὴ δημοσία ἔστω, καὶ οὕτω κἀκείνως τὰ χρυσία γενήσονταί μοι δημόσια ».

Ἀλλ', ὦ 'τάν, οὐ μικρὸν ὁ κίνδυνος περὶ τὴν ἀθλίαν ταύτην γυναῖκα, ὥςτε, καὶ μὴ βουλομένου τοῦ νόμου, δουλοῦσθαι τῷ δήμῳ παντί, μόνον εἰ σὺ κελεύεις διὰ τὴν τῶν νόμων, ὡς λέγεις, ἀσφάλειαν. Ἀλλ' εἰ νόμος κελεύει τὸ ταύτην δημοσίᾳ[2] δουλοῦσθαι, ἔστω καὶ δούλη καὶ δημοσία, καὶ οὐ σοίγε τιμωρείσθω, ἀλλὰ τοῖς νόμοις οὕτω κελεύουσιν· εἰ δ' οὐ κελεύει νόμος αὐτήν, ἀλλὰ τὰ χρυσία εἶναι δημόσια, ποῦ δίκαιον τόσην δίκην δοῦναι τὴν ἁμαρτήσασαν, ἣν οὐδὲ νόμος οἶδεν, οὐδ' ἦθος τοῦ δήμου φιλάνθρωπον;

Καὶ μὴν νόμος ἐστὶν ἄλλος καὶ οὗτος τῶν παλαιῶν, ἄν πού τι φέροι νόμος ἀμφίβολον, πρὸς τὸ φιλανθρωπότερον ἐξηγεῖσθαι τοὺς κρίνοντας· « Νικάτω » γὰρ « ἐπὶ τοῖς ἀμφιβόλοις » φησί, « τὸ φιλάνθρωπον ». Ποίαν τοιγαροῦν οὐχ ὑπερελάσει ἀπήνειαν, τό, ἀμφιβόλου κειμένου εἰ ταύτην, εἴ τε τὰ χρυσία, τῷ δημοσίῳ καθυπάγεσθαι ὁ παρὼν νόμος βούλεται, σὲ ταύτην, καὶ μὴ τὰ χρυσία, ποιεῖν ὑπ' εὐθύνην ἐσχάτην καὶ καταδικάζειν οὕτως τὴν ἄνθρωπον; « Περιέχει » φής, « ἡ πόρνη καὶ τὰ χρυσία, ὡς κτωμένη τὸ κτῆμα ». Ἀλλ' οὐ καλὸν αὐτὴν ἐντεῦθεν καταδικάζεσθαι. Πολλά γ' εἰσὶ τὰ εἰς ἀμφιβολίαν κείμενα, κἀκεῖσέ τις εὑρήσει τό τε

[1] Ἄνω καὶ κάτω] Vide p. 168, n. 3. [2] Cod., δημοσία. Et sic p. 47, 8.

περιέχον καὶ τὸ περιεχόμενον· ἀλλ' οὐκ εὐθύς τις, ἀφεὶς τὸ φιλάνθρωπον, τὸ περιέχον κρατήσειεν.

Περιέχει πάντως ἡ πόλις τὸν Πειραιᾶ, καὶ νόμος ἔστι τοὺς ἐν Πειραιεῖ ναυπηγουμένους Ἀθηναίους ξυντελεῖς τῷ δημοσίῳ γίνεσθαι. Καὶ ὁ λόγος πάντως ἀμφίβολος, πότερον τοὺς ἐν τῇ πόλει Ἀθηναίους, — οὐκ ἀλλαχοῦ γάρ, ἀλλ' ἐν Πειραιεῖ καὶ αὐτοὶ ναυπηγοῦνται — ἢ μόνον ἐκείνους τοὺς ἐν Πειραιεῖ καθημένους καὶ ναυπηγουμένους ξυντελεῖς τῷ δημοσίῳ γίνεσθαι βούλεται. Ἐπεὶ τοίνυν ἀμφίβολον τοῦτο, λάβε μοι τὸ περιέχον κἀν τούτοις, διὰ τήν, ὡς σὺ λέγεις, τῶν νόμων ἀσφάλειαν, καὶ ποῖος ἐντεῦθεν τῶν Ἀθηναίων ἀξυντελὴς τῷ δημοσίῳ ἔσται σοι; Ὁρᾷς ἐς ὅσον προβαίνων ὁ λόγος οὗτος οὐδὲν χρηστὸν τῇ πόλει ἐργάζεται;

Ἱστόρηται πάλιν τοῖς συγγραφεῦσι προσχωρῆσαι τῷ Πέρσῃ τοὺς Ἕλληνας. Ἀλλ' ἀκούων τις Ἕλληνας, νομίσοι μὲν πάντας, νομίσοι δὲ καὶ τοὺς ἰδίως καλουμένους, ὧν Ἀχιλλεὺς ἦρχε τὸ πάλαι[1]*, λέγειν τὸν γράφοντα. Τί γοῦν; δέξεταί τις τὸ περιέχον ἐνταῦθα; καὶ λοιπόν, χωρὶς τοῦ πολλοὺς καὶ ἄλλους τὸ τοιοῦτον ἀδίκως σχεῖν ὄνειδος, προδόται τῆς ἀπὸ πατέρων δόξης καὶ Ἀθηναῖοι ἀκούσονται; Ἀθηναῖοι, ὦ πολισσοῦχοι θεοί, καὶ ἱερὰ μαντεῖα, καὶ κλεινὴ Σαλαμίς, καὶ πάντ' ἐκεῖ λαμπρὰ καὶ μέγιστα κατορθώματα!*

Μὴ γοῦν ὅτι τοῖς περιέχουσι τὰ περιεχόμενα συνεισάγονται, τοῦτο μόνον λογίζου· ἀλλ' εἰ καλῶς καὶ δικαίως ἔχει, εἴ τις ἐκ μέρους παρὰ τῶν νόμων καταδικάζεται, τὴν καθόλου διδόναι δίκην καταναγκάζεσθαι. Καί, εἰ βούλημα νόμου τοῖς χρυσίοις εὐθύνειν τὴν πόρνην, κείμενον ὂν σὺ τοῦτο παρείς, αὐτὴν ἐκείνην καταδικάζεις, δημοσίαν ποιῶν τὴν ἐςαεὶ ἐλευθέραν, κἂν τὰ αἴσχιστα πράξειε.

Μηδ' ὅτι[2] *πόρνη λογίζου, κἀντεῦθεν τῆς γυναικὸς ὡς ἀτίμου κατάτρεχε. Πόρνη καὶ ἄτιμος αὕτη· κἀγὼ λέγω καὶ πάντες*

[1] Sequitur Thucydidem, 1, 3: Ὅμηρος.... πολλῷ ὕστερος ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας (Ἕλληνας) ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν.

[2] Schol.: ἀντίθεσιν ἀντεγκληματικὴν λύει ἡ μετάληψις.

οἴδασιν. Ἀλλ' οἰκείαν φέρει τὴν ἐπιτιμίαν τῆς πράξεως· οὐ[1] μετέχει κοινῶν συλλόγων καὶ πανηγύρεων, οὐ τὴν αὐτὴν ταῖς ἄλλαις μεταλαμβάνει τιμήν, οὐ κοινωνεῖ τῆς αὐτῆς παῤῥησίας ταῖς σώφροσι. Κἂν θύῃ τις, ἀπελήλαται. Κἂν τὰ μυστικὰ τῷ Διονύσῳ χορεύῃ, οὐ μετὸν αὐτῇ μέχρι καὶ ἀκοῆς τῶν τερπνῶν ἐκείνων καὶ ἱερῶν. Κἂν εἰς Ἀθηνᾶς ἢ ἐς Ἀρτέμιδος προςκαλῶνται γυναῖκες, κατὰ τὰ πάτρια προςευξόμεναι ταῖς θεαῖς, ἡ δέ, ὥςπερ ἄλλο τι τῶν μυσαρῶν καὶ βεβηλῶν, ἐκκλείεται. Κἂν συναντᾷ τις σώφρων δοκεῖν βουλόμενος, ἀναστρέφεται· κἂν ἀκούσῃ περὶ ταύτης λεγόντων, τὴν ἀκοὴν περιφράττει. Ἄτιμος πανταχοῦ καὶ συγγενέσι καὶ ξένοις περίψημα[2].

Τί λέγεις; οὐχ ἱκανὰ ταῦτα τῇ πόρνῃ τὰ πρόςτιμα; τί λοιπὸν ἐπιδαψιλεύῃ καὶ ἄλλα ἅπερ ὁ νόμος οὐκ οἶδεν, ἀλλ' ἡ σὴ πάντως βούλησις; τί ἐπεμβαίνεις τῇ ταλαιπώρῳ, οὕτω κειμένῃ[3]; κάλαμός ἐστι συντετριμμένος, ὕδωρ ἀστάθμητον, ναῦς ἀνερμάτιστος[4]. Τί βαρὺ κατὰ ταύτης πνέεις, καὶ μηδὲν οὖσαν ἀφανίσαι φιλονεικεῖς; ἑταίραν οἶδας λέγειν, καὶ γυναῖκα οὐκ ἐννοεῖς; τὸν τρόπον κακίζεις, καὶ οὐ συγγινώσκεις καὶ φύσει, καὶ ἔθει καὶ τύχῃ, καὶ οἷς οὐδ' ὁ καρτερώτατος ἀντισχεῖν δύναιτο; τὴν ἀκολασίαν κρίνεις, καὶ τὴν πενίαν παρατρέχεις; Τί τῶν κακῶν ἡ πενία οὐχ εἰςηγεῖται; ποῖον οὐκ ἀφανίζει τῶν ἀγαθῶν; Ἂν ἄνδρα λάβῃ, εὕει δίχα πυρός, καὶ νεανίσκον μὲν ὄντα γέροντα τίθησι[5], φρό-

[1] Schol.: ἀνατρεπτικὰ ταῦτα τῆς τοπικῆς καταδρομῆς, ἣν ὁ κατήγορος δῆλος ἐστὶ συνεῖραι.

[2] Notissimum est nomen περίψημα ex loco Pauli Ad Corinthios, quod si ex illo fonte hausisset Pachymeres, loquutus fuisset ut homo κλήρῳ σωθεὶς θείῳ, quod de se prædicat Historiarum initio. Sed orator, qui se esse fingit Atticum potius meminisse putandus est antiquæ formulæ, περίψημα ἡμῶν γενοῦ, qua utebantur dejicientes quotannis in mare juvenem pro lustratione ac salute urbis, quod docet Photius Lexico in Περίψ. Vide et Bosium Exercit. p. 131.

[3] Ἐπεμβαίνεις κειμένῃ] vide supra p. 105, n. 5.

[4] Comparatio νηὸς ἀνερματίστου non rara. Basilius M. Homilia ad Juvencs, c. 8: ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα. Joannes Chrys. De sacerd. 1, c. 4, 50: ὥςπερ ἀνερμάτιστον πλοῖον εἰς πέλαγος ἡμᾶς ἄπειρον ἀφῆκας. Ibi Leo. Gualt. Scott. Nigelio: « as passive and helpless as a boat, that drifts without oar or rudder, at the mercy of the wind and waves ».

[5] Meminit Hesiodei loci de mala muliere E. 700: Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον Τῆς ἀγαθῆς· τῆς

νιμον δὲ παράληρον καὶ μωρόν, ἄπορον ἐς τὰ πάντα καὶ τὸν εὐμήχανον, καταφρονητὴν εἰς θεοὺς τὸν τέως ἐπιπολὺ εὐσεβῆ τε καὶ δεισιδαίμονα, ῥᾴθυμον ἐς πολιτικὴν κοσμιότητα τὸν χθὲς καὶ πρὸ τρίτης σεμνὸν καὶ κόσμιον. Ἂν γυναῖκα κατάσχῃ, καὶ ταῦτα νέαν καὶ ἁπαλὴν τὸ εὐεξαπάτητον[1], ἐπείπερ τὰς τῆς ζωῆς ἀφορμὰς οὐ δυνατὸν ἔχειν ταύτην ἑτέρωθεν, ὃ μόνον ἔχει, τούτῳ χρᾶσθαι παρασκευάζει τὴν ἄνθρωπον· κἀπειδήπερ πλέον οὐκ ἔχει παρὰ τὸ σῶμα, χρᾶται τούτῳ πρὸς τὴν ἐκείνου τροφήν. Καὶ οὐκ ἐκ γνώμης πάσαις, ἀλλὰ καὶ ἐξ ἀνάγκης ἡ ἀκολασία ἐστὶ ταῖς πλείοσι. Γυνὴ καὶ πένησσα ἐν ταυτῷ· ἐκεῖθεν ἡ τῆς ἀπάτης παρείςδυσις· ἐντεῦθεν ἡ τῆς ἀνάγκης ἐπίθεσις. Κἂν σοφόν τι πράττειν ἐπιχειρῇ καὶ καρτερικόν, καὶ πρὸς τὴν ἀπάτην ἀνδρικώτερον στῇ, τὸ τῆς ἀνάγκης βίαιον περιγίνεται, καὶ ἡ τέως σώφρων καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὴς αἰχμάλωτος ὑπάγεται τῇ ἀνάγκῃ, καὶ τὴν ἀκολασίαν τροφῆς ποιεῖται προςπορισμόν. Οὕτω πολλαῖς τὰ τοῦ τρόπου φθείρεται.

Οὐ πόῤῥω δὲ τοῦ εἰκότος καὶ ταύτην τρόπον τὸν αὐτὸν φανῆναι κακήν.

Εἰ δὲ καί τι κέκτηται νῦν, καὶ τὰ χρυσία προτείνεις εἰς δεῖγμα τοῦ εὐπορεῖν, ἔστω καὶ τοῦτο. Ἀλλά γε τὸ ἔθος παρ' οὐδὲν φύσις[2], καὶ δυςαπάλλακτον ἐν πολλοῖς. Τί δέ; εἰ δ' ἀποβαλεῖ[3] ταῦτα κατὰ νόμους τῷ δημοσίῳ, οὐκ ἄπορος πάλιν αὕτη καὶ μηδὲν πρὸς τὸ ἐξ ἀρχῆς ἀφθονώτερον ἔχουσα;

Οἴει ταύτην νόμων καταφρονήσασαν τῶν κειμένων, οὕτως ἑαυτὴν τοῖς χρυσίοις ἐπισκευάσασθαι; πρὸς τί ταῦτ' ἐπινοεῖς[4], κὰκ ποίας αἰτίας; ἢ ὅτι συχνάκις τοῖς νόμοις ὡμίλησε, συχνάκις τοῖς δικαστηρίοις παρέβαλε, συχνάκις ταῖς ἐλευθέραις καὶ σώφροσιν ἐπιμίξασα, εἶχεν ἀκούειν τὰ νόμιμα; ποῖος καιρός, εἰπέ

δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο Δειπνολόχης, ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα Εὕει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν. Conferendus Joannes Pediasimus poematiolo περὶ γυναικὸς κακῆς, quam esse dicit Γῆρας ἄωρον εὐνέτῃ τριςαθλίῳ.

[1] Fortasse ἁπλῆν καὶ εὐεξαπάτητον, vel ἁπλῆν εἰς τὸ εὐεξ. De permutatis ἁπαλός et ἁπλοῦς vide Jacobs. ad Philostr. pp. 529, 284, 665, 710.

[2] Ἔθος.... φύσις] vide p. 165, n. 1.

[3] Fortasse καταβαλεῖ.

[4] Schol.: ἐξέτασις τῆς γνώμης τῆς πόρνης, κἀντεῦθεν οἱ ἐπίλογοι.

μοι, ταύτην ἐπὶ τοῖς νόμοις μαθήτριαν ἔδειξε; τίς ὁ διδάσκων καὶ γυναῖκα, καὶ οὕτω βιοῦσαν, κἀντεῦθεν πανταχόθεν ἀπειργομένην, ἐξ ὧν ἔμελλέ ποτε μανθάνειν τι χρήσιμον; Ἠγνόει τὸ λοιπόν, ἠγνόει· καὶ τῆς ἀγνοίας πολλὴ συγγνωμὴ παρὰ τοῖς κρίνουσιν. Ἐντεῦθεν ἄλλη τὰ τῶν νόμων ἴσως μαθήσεται, καὶ τηρήσει φοβηθεῖσα τὸ προςταττόμενον.

Ὥςπερ τοίνυν ἄλλη παρὰ ταύτης μαθοῦσα φυλάξεται τὴν πρᾶξιν ὡς ἄνομον, οὕτως ἣν ἂν καὶ ταύτην παρ' ἄλλης μαθεῖν, εἴπερ φυγεῖν πρὸ αὐτῆς ἄλλην ταύτην τὴν κατηγορίαν συνέπεσεν. Ὁ δ' ἀγνοῶν, καὶ πρῶτος διὰ ταῦθ' ἁλούς[1], συγγνώμης ἐντός.

Σὺ δὲ ἀλλ', εἰ βούλει, μηδὲ συγγίνωσκε, λάμβανε τὴν δίκην κατὰ τοὺς νόμους, καὶ τὰ χρυσία ποίει δημόσια· τί ἐπιτείνεις τὸ πρόςτιμον, δίκαιον ὂν ἀνιέναι καὶ τὸ προκείμενον. Ποίει τὴν ἅπαξ ἀπερυθριάσασαν ἄπορον· ποίει πάλιν παρειςδύεσθαι ταῖς γωνίαις καὶ οἰκοτριβεῖν τὴν κακῶς ἐμπομπεύσασαν. Ἂν ἀφέλῃ τὰ χρυσία, ὅλον ἀφείλου τὸν πλοῦτον. Πόσοι πάλιν χρόνοι διὰ ταύτης τῆς ἐργασίας δείξουσι ταύτην εὔπορον; Σὺ μὲν λαμβάνεις τὸν πλοῦτον αὐτῆς, ταύτην δὲ πάλιν ἡ πενία ὡς αἰχμάλωτον παραλήψεται. Καὶ σὺ μὲν ἀφήσεις ἐλευθέραν αὐτήν, ἀλλ' ἡ τύχη καὶ πάλιν δουλώσεται. Σύ, ὡς εἰκός, ἐλεήσεις, ἢ μᾶλλον τὸ παρὸν φιλάνθρωπον δικαστήριον· ἀλλ' ἡ πενία ἐπικείσεται βαρυτέρα προςαναγκάζουσα. Σύ — ἀλλὰ τί δεῖ πλείω λέγειν; — σὺ τοίνυν ἴσως ἐλεεινολογουμένης ταύτης φείσῃ καὶ καθυφήσεις τοῦ ἀγωνίσματος· ἀλλ' αὕτη πολλὰ ἂν πρότερον πείσεται ἢ εὐμενοῦς τεύξεται τῆς ἀνάγκης, ἧς τὸ σθένος, εἰς ὅ τι καὶ ῥέψοι, ἀδήριτον[2].

[1] Plurale διὰ ταῦτα post singulare participium ἀγνοῶν illustretur ex mea nota ad Aristænetum p. 436, ubi ταῦτα de sola meretricum avaritia, quibus ἀνάργυρον οὐδέν ἐστι πιθανόν. Electra Sophoclis poscit τὸ τεῦχος quo inclusos esse putat fratris cineres, atque id in manus ipsi tradi jubet Orestes: οὐ γὰρ ὡς Ἐν δυςμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε. Qui illam syntaxin in Isocrate animadverterat Corayus non debuit p. 49, ni ipse fallor, comparare hanc ex Areopagitico sententiam: οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας. Nam τοῦτο non est pro ταῦτα, scilicet δι' ὧν κολ., sed est pro τοῦτο πρᾶγμα. Et ad Nubes, 654, ✝ ubi πρότερα τούτων, relato τούτων ad unum λόγον τὸν ἀδικώτατον, vir primarius subtilior fuisse videtur.

[2] Similis Nostri sententia Hist. Andr. Pal. 2, 16, p. 152: τὸ γὰρ τῆς ἀνάγκης

Ὢ ποσάκις μεταμελήσει ταύτῃ ἐσχάτῃ συνεχομένῃ πενίᾳ τοῦ διὰ τῶν χρυσίων κόσμου! ποσάκις δὲ καὶ ταῖς ὁμοίαις ἐρεῖ, καὶ ὡς παραίνεσιν προτενεῖ τὴν διήγησιν! « Εἴδετε » λέγουσα, « πόσα βλάπτειν ἔχοι τὸ μὴ ταῖς σεμναῖς καὶ κοσμίοις ἡμᾶς ἐξεῖναι συναναστρέφεσθαι; χθὲς εὔπορος ἦν, καὶ χρυσίοις ἐχρώμην, καί τις ἐδόκουν παρ' ἐμαυτῇ τῶν θεραπείας ἀξιουμένων τισί. Κἂν καὶ τὸν τρόπον ὁρῷεν, ἔλεγον· ἀλλ' οὖν μακαρίσουσί με τοῦ πλούτου, καὶ μεγαλυνοῦσιν ἄλλως καταφρονουμένην καὶ στυγουμένην ὑπὸ τῆς πόλεως. Χθὲς ταῦτα. Ἀλλ' εὐθὺς ἀγνοοῦσαν τοὺς νόμους, καὶ καταφρονεῖν δόξασαν, ἐσχάτη με πενία κατέλαβεν. Ἂν ἑταίρα τινὸς ἐλεγόμην, κρεῖττον ἦν μοι κατὰ πολύ. Νῦν δ' ἄλλων ἑταίρα μόνον ἀκούουσα, τῷ πολλοὺς ἔχειν ἀδιορίστως τοὺς ἐραστάς, οὔτε παρὰ τῶν πολλῶν ἐκείνων ὠφέλημαι, καὶ ταῖς ἀτιμίαις ὑπόκειμαι. Κἀντεῦθεν πρόκειμαι πάσαις[1] ὑμῖν κοινὸν σωφροσύνης

ἐστὶν ἀδήριτον· cum scholio, ἀνίκητον, ἀκαταπόνητον. Respicit Æschylum Prom. 105 : Τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος. Ibi Stanley., Blomf. et Burges. Hunc adde et ad v. 527. Callimachus Del. 122 : Ἀναγκαίη μεγάλη θεός. Ibi mea notula. Yungio, cujus protuli versum e Fratribus, « Necessity, for gods themselves too strong » præiverat T. Livius, 9, 4 : « subeatur ergo ista, quantacunque est indignitas, et pareatur necessitati, quam ne dii quidem superant »; vel Simonides cujus nobile dictum fertur : ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται. Multa congessi ad Proclum in Cratylum, 93; ad Gregorii Cyprii verba in Anecd. meis Gr. t. I, p. 446 : ἀνάγκη τις ἐκίνει τὸ πρᾶγμα, ἧς οὐδὲν φασὶ βιαιότερον. Meminerat fortasse Gregorius Cyprius Synesii Catastasi, p. 303 : ἰσχυρὸν ἀνάγκη πρᾶγμα καὶ βίαιον. Synesius Epist. 103, p. 243 : ἀνάγκᾳ δὲ οὐδὲ θεοί, φασί, μάχονται. Codices duo, ἀνάγκῃ δ' οὐδ'. Sed servandus puto dorismus, utpote sumtus e Simonidis dialecto. Adde Schneidewin. ad Simonidem, p. 20; J. Morell. ad Aristidis Leptineam, p. 104.

[1] Codex, πᾶσιν. Est vitium in hoc adjectivo, corrigendum obiter, apud Theodorum Prodrom. mythistoriæ supplemento quod Basso viro d. debemus, ℣ 183 : Ποῦ γὰρ παρ' ἡμῖν καὶ γάλακτος ἐκχύσεις, Εἴ που δεήσει φυσικῷ πάντας λόγῳ Γάλακτος ὁλκοῖς ἐκτραφῆναι τὰ βρέφη; Syntaxi nocet πάντας. Πάντως quod propono legendum bene habebit. Πᾶς pro παῖς Himerio restituatur Orat. 22, 7 : ἀκουέτω πᾶς μύστης καὶ ἐπόπτης ἀνήρ. Euripides Fr. inc. 3 : Συγγνώμονάς τε τοὺς θεοὺς εἶναι δοκεῖς, Ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ, Ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά, Ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων· Pro παισίν, quod vix stare potest, Musgravius proposuit πᾶσιν, « omnibus vel vilissimis », hanc vim vocis a lexicographis notatam dicens, quod Mathias ignorare se fatetur. Meminerat Musgravius, opinor, locorum in quibus πᾶς est pro « quilibet », ὁ τυχών, Callimachei fortasse distichi : Ὠγρευτής, Ἐπικυδές, ἐν οὔρεσι πάντα

παράδειγμα. Ἤθελον μὲν καὶ τὸν τρόπον μεταβαλεῖν καὶ κοσμίους γενέσθαι πάσας ἡμᾶς[1], ὡς ἂν ἐγὼ μέν, κἂν ἀφῄρημαι τὰ χρυσία, ἀλλ' οὖν ἐν τιμῇ τὸ λοιπὸν ἔζων, καὶ ἠλεούμην, οὐκ ἐστυγούμην, ἂν ἄπορος ἦν, ἀλλ' ὑμεῖς, εἴ που κέκτησθε καὶ χρυσία, καὶ τούτοις ἀκωλύτως ἐχρᾶσθ' ἂν σύναμα τοῖς ἀπὸ τῆς τιμῆς ἀγαθοῖς. Ἐπεὶ δὲ τοῦ πάθους ἥττονες γεγονυῖαι, ἔθους χειρίστου δοκοῦντος ἑάλωμεν, καὶ ἔτι προςμένειν ταῖς ἡδοναῖς ὀρεγόμεθα, σωφρονιστέον[2] ἀλλ' ὑμῖν τέως, ἐφ' ᾧ χρυσίοις μὴ καλλωπίζεσθαι. Κἂν ἀπείργησθε κοινῶν συλλόγων, εἰς τὸ μανθάνειν τὰ νόμιμα ἄλλην μὴ ζητεῖτε παρ' ἐμὲ τὴν διδάσκαλον, μὴ μόνον ζημιωθεῖσαν τὸν κόσμον ἐκ τοῦ δόξαι τῶν νόμων καταφρονεῖν, ἀλλὰ καὶ περὶ τὴν ἐλευθερίαν αὐτὴν τοῦ σώματος κινδυνεύσασαν μάλα σχεδόν, εἰ μὴ φιλανθρώπων ἐξηγητῶν νόμων, τῶν δικαστῶν, ἔτυχον. Μέχρι τούτου Λαΐδα μιμώμεθα, ἂν μὴ τέως δυνώμεθα σωφρονεῖν, μέχρι καὶ τοῦ κάλλους ἐπιμελεῖσθαι, καὶ τὸ ἐπίπλαστον ἀγαπᾷν, καὶ ἐραστὰς ἐπισύρεσθαι· τὸ δὲ καὶ χρυσίοις καλλωπίζεσθαι μόνῃ παραχωρῶμεν τῇ Κορινθίᾳ, ὅτι καὶ νόμος οὐδεὶς ἀπεῖργεν ἐκείνην παρὰ Κορινθίοις κείμενος. Ἡμεῖς δέ, ἀλλ' ἰδοῦσαι τὸν ἐμὸν ἐς ὁπόσον προέβη κίνδυνον, χαίρειν ἐᾶτε χρυσία, καὶ τὸ δι' ἐκείνων

λαγωὸν Διφᾶ, καὶ πάσης ἴχνια δορκαλίδος. Atque πᾶσιν olim receperam, quod nunc valde displicet. Proposuit vir d. τοῖσιν, debilius. Propono, ἢ καὶ σὺν αὐθ., litteris mutatis quidem, sono fere eodem.

[1] Codex duas miscet lectiones ὑμᾶς ἡμᾶς, littera η litteræ υ inscripta. Quæ pronomina passim permutantur; magno documento non olim eodem sono veteres pronuntiavisse vocales η υ. Quid enim discernendum magis, ac re et verbis magis separandum, quam « vos » et « nos », « vestrum » et « nostrum »? Ab hoc incommodo sibi cavent hodie Græci, ἐμεῖς, ἐσεῖς, ἰδικός μου, σου, μας, σας, dicentes, et a pronominibus antiquis abstinentes plerumque. Procopius Gazæus Monodia in Yriartæ Catalogo, p. 264 : οὐ καλὸν ἦν ἡμῖν καὶ ὅσιον, ὡς καὶ ἐμοὶ ἔδοξε καὶ πᾶσι, προαποθανεῖν ἢ συναποθανεῖν τῷ πτώματι. Codex 1182, qui Psello hanc Monodiam tribuit : .... ὑμῖν.... συνθανεῖν.... τι; Inde sumserim ὑμῖν et interrogationem. Omissa fuit ἀπό in συναποθανεῖν, frequentissimo in verbis compositis mendo. Libanius, t. IV, p. 137 : ἔπειτα ἤρετό με εἰ καθεύδοιμι. Codex, ἔπειτ' ἀνήρετό με.... Nicephorus Gregoras Florentio Iahnianæ p. 520 : πρὸς τὸ μῆκος ἀποβλέπων τῆς ἑξῆς διηγήσεως. Codex 2292 : τῆς ἐφεξῆς.

[2] Sic codex. Sed puto corrigendum σωφρονητέον. Fuisse prius scriptum videtur σωφρονιτέον, iotacismo vocales confundente, tum male correctum σωφρονιστέον. Sed sunt graviora menda, quæ codex alius forsan corriget.

κοσμεῖσθαι καὶ καλλωπίζεσθαι· εἰ δ' οὖν, ἀλλ' οὐ λείψει ὁ εἰς τὸν δῆμον προςαγγελῶν. Καὶ λοιπὸν εἰ μὲν τέως φιλανθρώπων καὶ ὑμεῖς τῶν δικαστῶν τύχητε, ἐξ εὐπόρων γενήσεσθε πένησσαι· εἰ δὲ πολλάκις[1] ὑπερτερήσει τὰ τοῦ καθ' ὑμῶν λέγοντος, τί χρὴ παθεῖν ὑμας λογίζεσθαι ἄξιον; Ὡς ἔγωγε μὲν ἀγνοοῦσα τοὺς νόμους καταφρωνεῖν ἔδοξα, κἀκ τοῦ παραχρῆμα κατέστην εἰς ἔσχατον κίνδυνον, καὶ τάχ' ἂν καὶ τῆς ἐλευθερίας αὐτῆς ἐστερήθην τοῦ σώματος, εἰ μή τίς με μοῖρα προςηνὴς περιέσχε παρὰ τοῖς κρίνουσι, καί τισιν ἔδοξα συγγνώμης ἐγγύς, ὡς ἐξ ἀγνοίας καὶ μὴ καταφρονήσεως πλημμελήσασα· ὑμεῖς δέ — ἀλλὰ τί γ' ἐρεῖτε τότε, ἐμὲ μὲν ἰδοῦσαι παθοῦσαν, τὸν δὲ νόμον μαθοῦσαι ἐπ' ἀμφιβόλοις κείμενον εἰς ἐξήγησιν »;

Ἀλλὰ πρὸς μὲν ἐκείνας τῶν ἐκείνης ἅλις· πρὸς δ' ὑμᾶς ἐγὼ ἀντ' ἐκείνης βραχέ' ἄττα λέξας, εὐθὺς καταβήσομαι.

[1] Πολλάκις pro τυχόν, ἴσως, videtur capiendum, quam significationem jam animadverti p. 73, n. 2; atque redibit Declamatione XII, ni fallor. Non promptus sum in illo sensu admittendo; adeo ipsi naturæ adverbii πολλάκις repugnat. In loco nobili Thucydidis, 2, 13, Pericles ὑποτοπήσας narratur μὴ Ἀρχίδαμος τοὺς ἀγροὺς αὐτοῦ πολλάκις παραλίπῃ. Qui πολλάκις latino « forte » convertunt, interpretes hodie opinor paucis se probare lectoribus; idque non immerito. Nam, Thucydide teste, non fortuitu aget Archidamus, sed ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι, ἢ καὶ Λακεδαιμονίων κελευσάντων. Et in ea Platonis sententia qua usus sum pag. cit., πολλάκις poterit etiam significatione intelligi solita. Heliodorus, 1, 10 : ὁ κοινὸς ἡμῶν παῖς, ὃν ἐγὼ πλέον καὶ σοῦ πολλάκις ἠγάπησα· « quem fortasse magis te dilexi ». Si quis ita converteret, personæ quidem diceret convenientia; sed et verbis græcis convenientiora, si adverbio πολλάκις, ut solet, intellecto, redderet : « cui sæpe majorem etiam quam ipsi tibi amorem exhibui ». Lucretius de morborum origine, 6, 1098 : « aut ipsa sæpe coorta De terra surgunt »; ubi si adverbium in sensu dubitationis capietur, melius quidem cum poeta agatur, quam si mutetur in ablativo nominis « sæpe », quod non nemini venit in mentem; sed nihil omnino impedit quominus idem ac « frequenter » valeat. Ex Lucretio videtur profecisse Virgilius nobili comparatione : « Ac veluti magno in populo quum sæpe coorta est Seditio ». In quo versu « sæpe » post Abreschium viri docti plurimi pro « forte » habuerunt, ulla sine necessitate, qui non cogitabant de sequente versu, « si forte virum quem Conspexere ». Illis contradixit Gœllerus ad Thuc. l.; et versum recte interpretatus est Heynius. Sic « sæpe » et « forte » se excipiunt Æn. 10, 723 : « Impastus stabula alta leo seu sæpe peragrans, Suadet enim vesana fames; si forte fugacem Conspexit capream aut surgentem in cornua cervum, Gaudet ». Et ibi non opus est a vulgari adverbii significatione recedere.

Ἄνδρες δημόται καὶ τῶν νόμων ὑπέρμαχοι, ὑμεῖς μὲν μισθὸν τοῖς ἡμετέροις[1] λόγοις δοίητε τὸ φιλάνθρωπον, καὶ τὸν νόμον, ὡς εἰκός, ἡμέρως καὶ προςηνῶς ἐκλαβόμενοι, καὶ τὴν ἀθλίαν ταύτην γυναῖκα ἐσχάτης δίκης ἀπολυσάμενοι· ἐγὼ δ' ἀντιδοίην ὑμῖν, ὅ μοι δοκῶ καλὸν ἀντιδοῦναι καὶ χρήσιμον. Εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις, μάλιστα δὲ τῷ Λογίῳ Ἑρμῇ[2], οὕτως ὑμᾶς παρ' ἐκείνων ἐμπνεῖσθαι, τοῖς ἱεροῖς ἐπιβαλλομένους νόμοις, καὶ φιλανθρώπως μὲν ἑρμηνεύειν αὐτούς, φιλανθρώπως δὲ καὶ δικάζειν, καρπὸν φέροντας τοῦ νοὸς τὴν πρὸς τοὺς πολίτας εὐμένειαν. Καὶ τάχα πρὸς τοῖς ἄλλοις καλοῖς, οἷς παρὰ τοὺς πολλοὺς ἔχετε, μέγιστον τοῦτο παρὰ πολλοῖς εἰς εὐδοξίαν ἔσται τῇ πόλει, ὅτι, νόμων θέλοντες εἶναι κατὰ τὸ εἰκὸς φύλακες, οὐ παρατρέπεσθε τοῖς συκοφαντεῖν αἱρουμένοις, ἀλλ' ἀξίων οἱ νομοθέται καὶ τῶν ἐξηγητῶν ἔτυχον, πρὸς τὸν σφῶν σκοπὸν ἑρμηνευόντων τὰ γράμματα, καὶ παντὸς ἄλλου μᾶλλον προϊσχομένων τοῖς κρινομένοις τὸ εὐμενές, δικαίως ἔχουσι νόμοις δικαίας καὶ τὰς ψήφους ποιουμένων, παρ' ὅ τι καὶ κρίνοιτε.

ΜΕΛΕΤΗ ΙΑ'[3].

Ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε, καὶ φόνου φεύγει. Μελετῶμεν τὸν ἀριστέα[4].

Τῆς μὲν[5] ἐμῆς ἀριστείας πολλὰ καὶ μεγάλα τὰ δείγματα, καὶ οὐκ ἂν εἰπεῖν τις τολμήσειε, εἰ μή γε περιττὸς εἴη καὶ δύςερις[6], ὡς ἢ ἐμοὶ παρ' ὃ ἐνεχώρει τὰ κατὰ πόλεμον πέπρακται, ἢ ὑμῖν

[1] Codex, ὑμετέροις.

[2] De Ἑρμῇ Λογίῳ ad Choric. p. 22.

[3] Schol.: αἱ ἐπίλοιποι (μελέται scilicet) παρὰ τὴν ἀντίστασιν τῶν ἀντιθετικῶν τρεῖς· τὸ ἀντέγκλημα, ἡ μετάστασις, καὶ ἡ συγγνώμη. Καὶ πρῶτον ζήτημα, τὸ ἀντέγκλημα.

[4] Schol.: ἡ στάσις, ἀντέγκλημα.

[5] Schol.: τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ ἔχοντος τὸ ἔγκλημα.

[6] Περιττὸς εἴη καὶ δύςερις] Noster p. 24, 13: ὡς ἄν τις καὶ περιττός. Sic codex, sed omisso, ut videtur, altero epitheto; fortasse, οὐδ' ὡς ἂν ἀνόητός τις καὶ περιττός, vel aliud quid simile. Statim, ἠλίθιον καὶ περιττόν.

παρ' ὃ ἔδει τὰ πρὸς τὸν ἀριστέα πεφιλοτίμηται, ὁσάκις καὶ ἀριστεύσαιμι· τῆς δὲ γνώμης τῆς πρὸς τοὺς ἰδίους, καὶ μᾶλλον οὓς ἡ φύσις μοι παρὰ τοὺς πολλοὺς διαφερόντως ᾠκείωσε, παράγειν, παρ' αὐτοὺς ἐκείνους, μάρτυρας ἄλλους ἠλίθιον ἴσως δόξει καὶ περιττόν. Οἷς γὰρ τυχοῦσιν ἐστὶν ἀπόνασθαι τῶν καλῶν, τούτοις οὐκ ἔστι παρ' ἄλλων πεπεισμένοις ὁμολογεῖν· ἀλλὰ τὰ σφίσι συμπεσόντα, ὅτε δὴ καλοίη καιρός, αὐτοὶ γνησίως καὶ μαρτυρήσαιεν. Ἐγὼ δὲ εἰ φόνου κρινοίμην, υἱὸν ἐκποδὼν ποιήσας, πρὸς τοὺς ἐμοὺς τρόπους οὔμενουν ἐφαρμόζοντα, ἀριστεὺς ὢν καὶ ταῦτα[1] καὶ τὸ τῶν ἀλλοτρίων προκινδυνεύειν περὶ πλείστου ποιούμενος, θαυμάζοιμ' ἄν.

Ὅμως νικᾷ τὰ τοῦ κατηγόρου, καὶ παρελθὼν ἐγὼ κρίνομαι. Καὶ τὸ βῆμα μὲν οὐ δυςχεραίνω τοδί, εἰδὼς πᾶσιν ἠνεῳγμένον τοῖς κατηγορεῖν θέλουσι, κἂν ἐπηρεασταί, κἂν συκοφάνται εἶεν ἐπίτηδες· περιαλγῶ δέ, εἰ, πολλάκις τὴν ἐμὴν προαίρεσιν δείξας ὅτι καὶ ὑπὲρ τοῦ τυχόντος ἠγώνισμαι, παιδοκτόνος κινδυνεύω δοκεῖν ἐκ τῆς τοῦ πικροῦ τούτου κατηγόρου σκαιότητος. Ἀξιῶ δ' ὑμᾶς, ὦ ἄνδρες, μὴ ἁπλῶς, μηδ' ὡς ἔτυχε τὴν κατηγορίαν δέχεσθαι, ἀλλὰ πρὸς τὸν σκοπὸν ἐμβαθύνοντας τὸν ἐμόν, οὕτω ποιεῖσθαι τὴν τοῦ πραχθέντος ἔρευναν. Οὕτω γὰρ ἂν καὶ ἐλεεῖν ἐμέ, οὐ μισεῖν, ὑμᾶς τῶν εἰργασμένων ἕνεκα, πέπεισμαι.

Ὁ μὲν[2] οὖν παῖς, ὦ ἄνδρες, ἤδη κεῖται πεσὼν ἐκ τῆς ἐμῆς δεξιᾶς· ὁ δὲ πατὴρ ἐγὼ ἐν συμφοραῖς εἰμὶ χαλεπαῖς, καὶ γνησίων δέομαι τῶν παρακλητόρων. Καὶ τί γὰρ ἄλλο, εἰ πατὴρ ὢν παιδός, καὶ τὴν τῆς ἀρετῆς διαδοχὴν ἐλπίζων ἔχειν ἐχέγγυον, ὅμως, ἄλλως συμβὰν[3] τῷ παιδί, ἐξάγομαι καὶ αὐτοῦ τοῦ φυσικοῦ καθήκοντος, καὶ ὑπὲρ οὗ πολλὰ καὶ πολλάκις τῶν θεῶν ἐδεόμην, τοῦτον ἀναγκάζομαι κτείνειν αὐτός, καὶ τὴν διαδοχὴν ἀμαυροῦν ἅμα μὲν τοῦ γένους, ἅμα δὲ καὶ τῆς ἀρετῆς. Τούτου τί ἂν ἄλλο δυςτυχέστερον εἴποι τις;

[1] De formula καὶ ταῦτα sic posita, tractavi ad Anecd. Gr. t. II, p. 47. p. 163, n. 1.

[2] Schol. : δεύτερον προοίμιον.

[3] Formulam parilem οὕτω συμβὰν Pachymeres Hist. initio : αὐτόπτης τὰ πλεῖστα, οὕτως ξυμβάν, γεγονώς. Codex, οὕτω ξυμβάν, quod paulo suavius.

Εἰ μὲν τοίνυν ἐπὶ τοῖς δυστυχοῦσι τὰς ψήφους τῆς καταδίκης εἴθισθε φέρειν, φονεύετε παρευθύς, καὶ οὐδεὶς λόγος ἐμοὶ μὴ δικαίαν τὴν δίκην ὁμολογεῖν· εἰ δ' ἐπὶ τοῖς ἀδικοῦσι καὶ μόνοις, καθὼς καὶ ὀμωμοσμένον ὑμῖν ἐστί, καὶ πάντες συμφήσαιεν, οὐκ ἄδικος ἐγὼ τὸ παράπαν, ἀλλὰ δυστυχῶν κομιδῇ καὶ δυστυχίαν ὄντως ἑκούσιον μέν, ἀλλ' ἀναγκαίαν καὶ μὴ δεχομένην παραίτησιν, ἔδει γουν καὶ τὸν ἐμὸν τοῦτον κατήγορον, εἴπερ ἤθελε τὰ πρὸς ἐμὲ δίκαια πράττειν, παρακαλεῖν σὺν τοῖς ἄλλοις καὶ παραμυθεῖσθαι τὴν συμφοράν, καί, εἰ μὲν φθονῶν καὶ πρότερον ἦν, λήγειν τοῦ πάθους, ἐμπιπλάμενον τῆς ὀρέξεως· τί γὰρ ἄλλο μεῖζον κακὸν ἠθέλησεν ἐπ' ἐμοὶ ἢ τὸ παρὸν τοῦτο, ᾧ δὴ καὶ συνέχομαι· εἰ δὲ καὶ ταῖς ἀληθείαις συνήλγει, κατηγορεῖν οὐκ ἐχρῆν, ὃν τέως παρακαλεῖν ἔδει, καὶ συνδιαφέρειν τὴν συμφορὰν πάσχοντι. Ἐπεὶ δ' ἐς τοσοῦτον ὁ φθόνος αὐτὸν κατέχει ὥστε καὶ τόσην συμφορὰν ἀναξαίνειν θέλειν, καὶ συγκροτεῖν κατ' ἐμοῦ δικαστήριον[1], δέομαι μικρὸν[2] ἀκοῦσαι κἀμοῦ, καὶ μαθόντας ὅπως ἐμοὶ τὰ κατὰ τὸν παῖδα ξυνέβη, οὕτω κρίνειν λοιπόν· ὡς ὅ τι ἂν ἀκούσαντες εὐσταθῶς κρίνοιτε, τοῦτ' εὐμενῶς κἀγὼ δέξομαι, μὴ ταῖς τοῦ κατηγόρου συκοφαντίαις, ἀλλὰ ταῖς ὑμετέραις ψήφοις, αἷς εἴθισμαι λαμβάνειν πολλάκις ἀριστεύσας τὰ γέρα[3], καὶ ταύτην τὴν δίκην ἀπενεγκάμενος, κἂν ὅση καὶ οἵα συμπέσῃ μοι.

Βούλομαι δὲ[4] ἄνωθεν τὰ κατ' ἐμαυτὸν εἰπεῖν, καί, ὡς ἐνόν, διηγήσασθαι· πλὴν οὐχ ὥστε καὶ περιαυτίσασθαι ἢ ἐνόντα μοι δεῖξαί τινα κατορθώματα, — οὐδὲ γὰρ τῶν τοιούτων ὁ παρὼν καιρός, οὐδ' ἐγγύς — ἀλλ' ὥστε δήλην γενέσθαι τὴν ἐμὴν ἀρχῆθεν προαίρεσιν, καὶ ὅτι πόῤῥω πάσης ἡ γνώμη θρασύτητος, μὴ ὅτι γ' εἰς οἰκεῖον, ἀλλ' οὐδ' εἰς ὁντιναοῦν τῶν πολιτῶν, σκαιωρεῖν ἢ κακουργεῖν[5] ἀνασχομένου τὸν ἅπαντα χρόνον ὃν δὴ καὶ πεπολίτευμαι παρ' ὑμῖν.

[1] Vide p. 144, n. 2.

[2] Codex, δέομαι μικρὸν δέομαι, posteriore verbo subtus notato punctis.

[3] Codex, γέρρα.

[4] Schol.: προκατάστασις.

[5] Sic codex, σκαιωρεῖν, verbo a bonis scriptoribus parum usitato, quod veluti explicaturus κακουργεῖν addit. Atque sic

Ἐμοὶ πατὴρ[1] ἀγαθὸς τὰ πολεμικά, δημοτικὸς τὸν τρόπον, μέτριος πρὸς τοὺς πολίτας καὶ ἱλαρός, πρὸς δὲ τοὺς ἐχθρωδῶς ἔχοντας πρὸς τὴν πόλιν καὶ λίαν θρασύς[2]· ἔχων υἱὸν ἐμὲ μηδὲν ἀπεοικότα πρὸς τοὺς ἐκείνου τρόπους, ὡς καὶ πολλοὺς τῶν ἐνθαδὶ μαρτυρεῖν. Δι' ἣν αἰτίαν καὶ πολλάκις ἐπὶ φοβερῶν πολέμων παραταττόμενος, ὡς ἐκεῖνος ἔλεγεν, οὐδὲν ἐλογίζετο τὸ θανεῖν, ἐλπίζων καὶ πάλιν ζῆν αὐτός, εἰ καὶ θάνοι, καὶ ἐπὶ τῶν ἐμῶν ἔργων φαίνεσθαι.

Ἔλεγε δὲ πολλάκις καὶ πρὸς ἐμὲ τοιούτους λόγους·

« Ὦ παῖ, ἐμὸς μὲν τῇ φύσει παῖς εἶ, ἐμὸς δὲ καὶ καὶ τοῖς τρόποις γίνεσθαι σπεῦδε. Φύσεις γὰρ σωμάτων καὶ ψυχῶν πάμπολυ διεστήκατον, καὶ ἴδοι τις ἂν πολλάκις τοὺς μὲν γνησίους τῇ φύσει καὶ οὓς ἑνοῖ σωμάτων οἰκείωσις πάμπολυ διαφέροντας, τοὺς δε πολὺ τὸ γένος διῳκισμένους τοῖς τρόποις γνησίως ἔχοντας. Βούλου τοίνυν φαίνεσθαι τοῦ πατρὸς ὡς ἀρχετύπου εἰκών. Καὶ μὴ τοῦ δεῖνος λέγεσθαι παῖς, ἀλλὰ καὶ εἶναι ταῖς ἀληθείαις, σπεῦδε· μὴ δὲ μόνον οἰκειοῦ τῷ γένει, ἀλλὰ πολλῷ μᾶλλον τοῖς ἤθεσι, καθὰ καὶ βάρβαρος Ἕλληνι οἰκειώσαιτο ἄν, καὶ ὁ ἐξ ἀλλοδαπῆς τῷ αὐτόχθονι. Οὐ τοσοῦτον γὰρ εἰκόνες σώματος παρεμφερεῖς δεικνῦσί[3] τινας, ὅσον καταστάσεις ψυχῆς. Ἔχεις τοιγαροῦν τὸ νύττον εἰς τοῦτο. Οὐ γὰρ ἄλλοθεν, ἀλλ' ἀφ' ἑστίας, ὅ φασι[4], τὸ παράδειγμα. Εἰ γοῦν οὐ καλῶς πράττω, φεῦγε τὴν μίμησιν. Τότε γάρ τις καὶ ἀπειθοῦντα τῷ σῷ γεννήτορι ἐπαινέσεται, καὶ τὴν ἐναντίαν τοῖς τοῦ πατρὸς τρόποις ὁδεύοντα πᾶς φρονῶν ἀποδέξεται. Καὶ αὐτὸς ἐγὼ ἦν ὅτε, κρείττονος τῶν παθῶν τοῦ λογισμοῦ γεγονότος[5], ἐδυςωπήθην ἂν τὴν ἀρετήν, καὶ τῷ ἐμαυτοῦ καταγι-

Herodianus Epimerismis, p. 122: σκαιωρῶ, τὸ κακουργῶ· σκαιωρία, ἡ κακουργία. Malim esse usum verbo σκευωρεῖν, quod in suo Demosthene sæpius legerat. Libanius, t. IV, p. 583 : τὸ δὲ πᾶν τῆς σκευωρίας τῷ νυμφίῳ τροςάψει· codex, 3017, σκαιωρίας, non preferendum, ni fallor. Symeon Sethi Ichnel. p. 86 : σκαιωρίαν κατὰ σοῦ τοιαύτην συῤῥάψαι. Quem confer p. 92. Idem p. 436 : ἅπαν τὸ κατὰ τὸν ἀθῶον θῶα σκαιώρημα. Et p. 110 : τοῦτο σκαιωρήσαντες.

[1] Schol.: κατάστασις.

[2] Καὶ λίαν] vide n. 4, p. 188 ; 211, 1.

[3] Codex, δείκνυσί τινας. Scripsi δεικνῦσί τ.

[4] Ἀφ' ἑστίας] vide p. 172, n. 1.

[5] Sic codex.

νώσκειν ἀπ' ἐναντίας ἔχοντα τὸν υἱὸν καὶ λίαν ἐθαύμαζον. Εἰ δὲ καλῶς, ὡς δοκῶ, μετέρχομαι τὴν ζωήν, κἀκεῖνα πράττω ὅσα δὴ καὶ τῷ δήμῳ συμφέρει κἀμοί, σοὶ λοιπόν ἐστι τὸ μιμεῖσθαι. Καὶ εἰ μὲν παρ' ἄλλων ἔμελλες λαμβάνειν τὴν παίδευσιν, ἔδει σοι καὶ κόπου καὶ χρόνου, οἶμαι δὲ καὶ δαπανημάτων ἱκανῶν πρὸς τὴν μάθησιν· ἐπεὶ δὲ πατὴρ ὁ παιδεύων, φύσει τῆς ἀρετῆς εἰςφέρων διδάγματα, Ἀχιλλεὺς ἔσο, πρὸς ἐμὲ ὡς πρὸς Πηλέα ὁρῶν. Καὶ μετέρχου μέν, ὡς εἰκός, σωφροσύνην κατ' ἐμὲ τὸν γεννήτορα· οὐδὲ γὰρ ἔχει τις δεῖξαι ὡς ἄλλῃ τινὶ παρὰ τὴν σὴν μητέρα προςέσχον τὸν ὀφθαλμόν[1]· μετέρχου δὲ καὶ ὅσα εἰς ἀνδρείαν θήγει καὶ πολεμικὰ σκάμματα[2]· ὡς ἂν ἐκεῖθεν μὲν τὸ σεμνὸν ἔχοις πρὸς πάντας, καὶ οἷς παῤῥησιάζῃ τὸ παρὰ πάντων συγκεχωρηκός, ὡς ὑπερτέρου νομιζομένου τοῦ παραστάντος πάσης ὀρέξεως, ἐκ τοῦ καὶ σὲ τῶν παθῶν εἶναι κρείττονα· ἐντεῦθεν δὲ τὸ ὑπὲρ τῆς πόλεως ἀγωνίζεσθαι πρὸς τοὺς ἐναντίους, οὐκ οἰκείου τοῦ κέρδους καὶ κατ' ὄρεξιν[3] προκειμένου, ἀλλὰ κοινοῦ, καὶ οὐ μᾶλλον σοῦ ἢ πάσης τῆς πόλεως. Οὐκ ὀλίγα δὲ συλλαμβάνει καὶ σωφροσύνη πρὸς ἀριστείαν, ὅτι καὶ παθῶν κρείττων τις ὢν καὶ ταῦτα τοῦ βιαιοτάτου καὶ ᾧπερ ἡ φύσις ἐπικλινής, ῥᾳδίως μαχέσεται καὶ πρὸς δαίμονα, μηδὲν ἔχων περὶ πλείστου τὸ ζῆν. Ψυχὴ γὰρ αὐτοκράτωρ[4] οὖσα παθῶν, καὶ τούτων ἀπανισταμένη, τιμᾷ καὶ τῶν ὁμοίων ἐφίεται ».

[1] Ἄλλῃ τινὶ παρὰ.... προσέσχον τὸν ὀφθ.] vide p. 170, n. 1.

[2] Sunt πολεμικὰ σκάμματα idem ac πολεμικοὶ ἀγῶνες. Joannes Chrysost. Eclogis Matth. p. 21; p. 162 Worst. : ὁ τε ἔτι ἐν σκάμματι ὤν; « qui adhuc est in hujus vitæ certamine ».

[3] Sic codex.

[4] Animam αὐτοκράτορα illustrabunt loci, quos protuli ad Theophylactum Simoc. p. 275, ad Æneam Gaz. p. 219. Accedat nunc Polemo Oratione Cynægiri patris contra Callimachi patrem, p. 22 : τῷ μὲν σῷ παιδὶ καὶ ἀνάγκη τις ἦν, ἡ ἀρετὴ ἦγεν· ἐξῆρχε γάρ, κἂν τοῖς πρώτοις ἔταττεν αὐτὸν ἡ πολεμαρχία· ὁ δὲ ἐμὸς υἱός, οὐκ ἀρχὴν αἰδούμενος..., αὐτοκράτορι δὲ ἀρετῇ καὶ καθαρᾷ προθυμίᾳ χρώμενος, τοιοῦτος ἐφάνη. Longiorem allegavi sententiam, monendi causa de Aristide, cujus in codice unico lectio Καλλιμάχῳ τῷ Πολέμαρχου, verisimillime fuit a Graverto correcta, emendante K. τῷ πολεμάρχῳ. Pro lectione τῷ Πολεμάρχου argumentum fuit nuper propositum a Stievenartio viro d. ex parilitate nominum præcedentium : Θεμιστοκλεῖ τῷ Νεοκλέους καὶ Παυσανίᾳ τῷ Κλεομβρότου, καὶ τῷ Εὐφορίωνος Κυναιγείρῳ καὶ Καλλιμάχῳ τῷ Πολεμάρχου.

Ἐμοὶ πατὴρ[1] ἀγαθὸς τὰ πολεμικά, δημοτικὸς τὸν τρόπον, μέτριος πρὸς τοὺς πολίτας καὶ ἱλαρός, πρὸς δὲ τοὺς ἐχθρωδῶς ἔχοντας πρὸς τὴν πόλιν καὶ λίαν θρασύς[2]· ἔχων υἱὸν ἐμὲ μηδὲν ἀπεοικότα πρὸς τοὺς ἐκείνου τρόπους, ὡς καὶ πολλοὺς τῶν ἐνθαδὶ μαρτυρεῖν. Δι' ἣν αἰτίαν καὶ πολλάκις ἐπὶ φοβερῶν πολέμων παραταττόμενος, ὡς ἐκεῖνος ἔλεγεν, οὐδὲν ἐλογίζετο τὸ θανεῖν, ἐλπίζων καὶ πάλιν ζῆν αὐτός, εἰ καὶ θάνοι, καὶ ἐπὶ τῶν ἐμῶν ἔργων φαίνεσθαι.

Ἔλεγε δὲ πολλάκις καὶ πρὸς ἐμὲ τοιούτους λόγους·

« Ὦ παῖ, ἐμὸς μὲν τῇ φύσει παῖς εἶ, ἐμὸς δὲ καὶ καὶ τοῖς τρόποις γίνεσθαι σπεῦδε. Φύσεις γὰρ σωμάτων καὶ ψυχῶν πάμπολυ διεστήκατον, καὶ ἴδοι τις ἂν πολλάκις τοὺς μὲν γνησίους τῇ φύσει καὶ οὓς ἑνοῖ σωμάτων οἰκείωσις πάμπολυ διαφέροντας, τοὺς δὲ πολὺ τὸ γένος διῳκισμένους τοῖς τρόποις γνησίως ἔχοντας. Βούλου τοίνυν φαίνεσθαι τοῦ πατρὸς ὡς ἀρχετύπου εἰκών. Καὶ μὴ τοῦ δεῖνος λέγεσθαι παῖς, ἀλλὰ καὶ εἶναι ταῖς ἀληθείαις, σπεῦδε· μὴ δὲ μόνον οἰκειοῦ τῷ γένει, ἀλλὰ πολλῷ μᾶλλον τοῖς ἤθεσι, καθὰ καὶ βάρβαρος Ἕλληνι οἰκειώσαιτο ἄν, καὶ ὁ ἐξ ἀλλοδαπῆς τῷ αὐτόχθονι. Οὐ τοσοῦτον γὰρ εἰκόνες σώματος παρεμφερεῖς δεικνῦσί[3] τινας, ὅσον καταστάσεις ψυχῆς. Ἔχεις τοιγαροῦν τὸ νύττον εἰς τοῦτο. Οὐ γὰρ ἄλλοθεν, ἀλλ' ἀφ' ἑστίας, ὅ φασι[4], τὸ παράδειγμα. Εἰ γοῦν οὐ καλῶς πράττω, φεῦγε τὴν μίμησιν. Τότε γάρ τις καὶ ἀπειθοῦντα τῷ σῷ γεννήτορι ἐπαινέσεται, καὶ τὴν ἐναντίαν τοῖς τοῦ πατρὸς τρόποις ὁδεύοντα πᾶς φρονῶν ἀποδέξεται. Καὶ αὐτὸς ἐγὼ ἦν ὅτε, κρείττονος τῶν παθῶν τοῦ λογισμοῦ γεγονότος[5], ἐδυςωπήθην ἂν τὴν ἀρετήν, καὶ τῷ ἐμαυτοῦ καταγι-

Herodianus Epimerismis, p. 122: σκαιωρῶ, τὸ κακουργῶ· σκαιωρία, ἡ κακουργία. Malim esse usum verbo σκευωρεῖν, quod in suo Demosthene sæpius legerat. Libanius, t. IV, p. 583 : τὸ δὲ πᾶν τῆς σκευωρίας τῷ νυμφίῳ τροςάψει· codex, 3017, σκαιωρίας, non preferendum, ni fallor. Symeon Sethi Ichnel. p. 86 : σκαιωρίαν κατὰ σοῦ τοιαύτην συῤῥάψαι. Quem confer p. 92. Idem p. 436 : ἅπαν τὸ κατὰ τὸν ἀθῶον θῶα σκαιώρημα. Et p. 110: τοῦτο σκαιωρήσαντες.

[1] Schol.: κατάστασις.

[2] Καὶ λίαν] vide n. 4, p. 188 ; 211, 1.

[3] Codex, δείκνυσί τινας. Scripsi δεικνῦσί τ.

[4] Ἀφ' ἑστίας] vide p. 172, n. 1.

[5] Sic codex.

[illegible] ἔγοντα τὸν [illegible] [illegible]
καλῶς. ὡς [illegible]. [illegible] τὴν [illegible]
καὶ τῷ [illegible] [illegible]
ὁ μὲν τοὺς ἄλλων [illegible] [illegible]
ὅπου καὶ χρόνου. οἶμαι δὲ καὶ [illegible]
[illegible] ἐπεὶ δὲ πατὴρ ὁ [illegible]
[illegible]γματα. Ἀχιλλεὺς ἐστ. [illegible]
[illegible] μέν, ὡς εἰκός, [illegible]
οὐδὲ γὰρ ἔχει τις δεῖξαι ὡς [illegible]
[illegible] τὸν ὀφθαλμόν[1] [illegible]
πολεμικὰ πράγματα[2] [illegible]
[illegible], καὶ οἷς [illegible]
ὑπερτέρου νομιζομένου [illegible]
καὶ σὲ τῶν παθῶν [illegible]
[illegible]λεως ἀγωνίζεσθαι [illegible]
καὶ κατ' [illegible][3] [illegible]
[illegible] τῆς [illegible]
πρὸς [illegible]. [illegible]
διαιστά[illegible] [illegible]
πρὸς [illegible]. [illegible]
αὐτοκράτορα[4] [illegible]
τῶν [illegible] [illegible].

[1] Ἀλλ' [illegible] ὀρθ.: vide p. [illegible], n. 1.

[2] Sunt [illegible] πολεμικοὶ ἀγῶνες Joannes [illegible] Eclogis Matth. p. 21: p. 162 Wors.: ὃ τε ἔτι ἐν πράγμασι [illegible] « qui adhuc es in hujus vitæ certamine ».

[3] Sic codex.

[4] Animam αὐτοκράτορα illustrabunt loci, quos protuli ad Theophylactum Simoc. p. 275, ad Æneam Gaz. p. 219. Accedat nunc Polemo Oratione Cynægiri patris contra Callimachi patrem, p. 22: τῷ μὲν σῷ παιδὶ καὶ ἀναγκ[illegible] [illegible], ἡ ἀρετὴ ἦγεν· ἐξῆρχε γάρ. καὶ τοῖς [illegible]

[illegible] Aristo[illegible] [illegible] proponitur [illegible] paritate nominum [illegible] Καλλιμάχου [illegible]

Ταῦτ' ἔλεγεν ὁ πατήρ, καὶ πολὺς ἦν σωφροσύνην ἐξαίρων, κἀμὲ πρὸς ταύτην κατὰ τὸ δυνατὸν οἰκειούμενος.

Τί δέ; ἀλλ' ἐκεῖνος μὲν οὕτως ἐξύμνει τὴν ἀρετήν, ἐμοὶ δὲ μέλον ἦν τοῦ κατ' ἐπιθυμίαν ζῆν, δεύτερα τῆς ἐμῆς ὀρέξεως ποιουμένῳ τὰ τοῦ πατρὸς ἐντάλματα; Καὶ μαρτυρείτωσαν οἱ εἰδότες. Κἂν ἄλλως, ἢ ὥςτε καὶ εὐπειθεῖν ἐμὲ τῷ πατρί, εἴποιεν, οὐ λόγος ἔσται πλείων ἐντεῦθεν ἐμοί· ἀλλ' αὐτὸς ἐγὼ κατ' ἐμαυτοῦ οἴσω τὴν ψηφὸν ἐφ' οἷς ἐγκέκλημαι, τῷ σιγῆσαι μόνον ἡττώμενος. Εἰ δ' οὖν, ἀλλὰ τὰς ἐμὰς ἐγὼ παράξω πράξεις, μονονουχὶ μαρτυρούσας τὴν πρὸς τὸν πατέρα εὐπείθειαν. Ὁ γὰρ πατέρα κατὰ τὸ δυνατὸν ἐκμιμούμενος, ἐφ' οἷς ζῶν ἐκεῖνος ἔπραττε, πῶς ἂν ἀπειθὴς ἐλεγχθείη ἐφ' οἷς παροτρύνων πρὸς τὴν μίμησιν ἔλεγε;

Λάβε μοι τοίνυν ὁ ἀναγινώσκων τουτὶ τὸ τῆς δωρεᾶς ψήφισμα· λάβε δεύτερον τοῦτο, καὶ ἐπ' αὐτοῖς ἕτερον, ἃ φέρων ἐν ταῖς ἐμαῖς χερσίν, ἐφεξῆς δίδωμι.

Ταῦτα τὰ τῶν ἀριστειῶν τῶν ἐμῶν γέρα[1]*, παρόντες. Ταῦτα στήλη τῆς τοῦ δήμου χάριτος. Ταῦτά με πείθουσιν ὅλον γένος προςάγειν τῇ πόλει χρήσιμον. Ἐπειδὴ γὰρ ἡ πόλις πᾶσα τὰς ἐμὰς ἀριστείας θαυμάζει, καὶ οὐχ οὗτος μόνος ἢ ἐκεῖνος, ἢ τρίτος τις τὰ γέρα δίδωσιν, ἀλλ' ὁμοῦ πάντες, ὅτι καὶ κοινῶς εὐηργέτησα, ποῦ δίκαιον μὴ κἀμὲ καὶ χερσὶν ἰδίαις καὶ παισὶν οἰκείοις καὶ γένει παντὶ τὰ πρὸς ὑμᾶς οἰκειοῦσθαι, καὶ ὑπὲρ ὑμῶν ἀγωνίζεσθαι;*

Quod mihi quidem argumentum vis non parum habere videtur, nec tamen ut crediderim omnino Aristidem sic scripsisse. Herodotus enim ap. Grav. jungit nomina *ὁ πολέμαρχος Καλλίμαχος*, *Στησίλεως ὁ Θρασύλεω*, *Κυναίγειρος ὁ Εὐφορίωνος*, Callimachum ut Polemo et Aristides Graverti officii nomine designans. Præterea in Polemonis verbis *ἀνάγκη τις ἦν ἡ ἀρετὴ ἦγεν*, subaudit Orellius *μᾶλλον* ante *ἤ*, nec male quidem, meliorem tamen opinor fore correctionem *ἀνάγκη τις ἦν, εἰ ἀρετὴ ἦγεν*. Non negat, nec poterat Cynægiri pater fuisse virtutem in Callimacho negare, sed tamen inerat ob polemarchiam necessitas quædam. Accedant etiam alia exempla juncturæ nominis fœminini et *αὐτοκράτωρ*. Thucydides, 4, 126 : *αὐτοκράτωρ μάχη*. Dionysius Hal. Antiq. 2, 14 : *ἡγεμονίαν ἔχειν αὐτοκράτορα ἐν πολέμῳ*. Et sic alibi Dionysius. Herodianus, 1, 9 : *νεότης ἐν ὀρφανίᾳ ἐξουσίαν αὐτοκράτορα καὶ ἀκώλυτον προςλαβοῦσα*.

[1] Sic p. 11, 14 : *ἀριστειῶν ἔπαθλα*. In Anecd. meis Gr. t. V, p. 367, 7, legitur lapsu scribentis vel typothetæ *ἀριστείων ἔπαθλα*.

Ἄρχομαι τοίνυν ἐκ τῶν οἰκειοτάτων. Κἀμοὶ μὲν ἡ φύσις οὐ πλείους ἔδωκε τοὺς υἱούς, ἵνα γοῦν κἂν μὴ πάντες, ἀλλ' οὖν τινὲς τὰς ἐμὰς ἀρετὰς ἐκμιμήσωνται· ἀλλ' ἕνα καὶ μόνον παρέσχεν, εὖ μὲν σώματος ἔχοντα, εὖ δὲ καὶ ἰσχύος, εἰ προθυμηθείη εἰς πόλεμον. Καὶ ὡς ἂν εἰκονίσω τοῦτον, μονογενὲς ἄντικρυς λέοντος γέννημα. Πλὴν ἐφ' ὅσον ἡ φύσις παρεῖχε τὰς ἀφορμὰς εἰς καλὸν καὶ τῇ πόλει χρήσιμον, ἐπὶ τοσοῦτον ἐκεῖνος ἀντιπαρῆγεν εἰς κακίαν τὸ πλεονέκτημα, καὶ ὅσαι ἡμέραι καὶ ὅσαι νύκτες κώμοις καὶ μέθαις καὶ ἀσωτίαις σχολάζων ἦν. Ἐφ' οἷς πῶς οἴεσθέ με διακεῖσθαι τῷ τότε[1], ὁρῶντα τὸν τοῦ γένους διάδοχον τοσοῦτον τῆς τοῦ πατρὸς ἀρετῆς διϊστάμενον, ὥςτε μηδὲ φροντίζειν, εἴ πού τις αὐτὸν ἐκ προνοίας τινός, ἐκ τοῦ θέλειν τῶν κακῶν ἀπάγειν, σπουδῆς πατρικῆς καὶ τῆς ἐντεῦθεν τιμῆς ὑπεμίμνησκε; Κἀκείνῳ μὲν ἦσαν τὰ ἐμὰ πάντα, πλὴν τῶν τῆς οἰκίας ὧν κληρονομεῖν ἤλπιζε, λῆρος ἄλλως καὶ ὄχλος μάταιος· ἐμοὶ δὲ τἀκείνου, χωρὶς τοῦ καὶ αὐτὸν τὸν ἥλιον ἀηδῶς ἀναγκάζεσθαι βλέπειν, τῷ λυπεῖσθαι καὶ ἀδημονεῖν ἀπαράκλητα, αἶσχος, καὶ τῆς παρὰ τῶν πολλῶν τιμῆς ἧς ἐτύγχανον καὶ τῆς ἐντεῦθεν εὐφροσύνης ἐμπόδιον. Οὕτω καλῶς ἐκλεϊζόμην ταῖς ὑπὲρ τῆς πόλεως νίκαις, καὶ ταῖς κατ' οἶκον συνειχόμην δειναῖς συμφοραῖς. Ἀριστεὺς ἤκουον, ἀλλὰ καὶ κακόπαις ἐφημιζόμην· εὐδαίμων διὰ τὴν ἀριστείαν, καὶ δυςτυχὴς διὰ τὸν υἱὸν παρὰ πάντων ἐνομιζόμην. Ὁ πατὴρ ἠσχολεῖτο πολέμοις ἡμέρας, καὶ ὁ υἱὸς τοῖς χαμαιτυπείοις συνδιημέρευεν. Ὁ πατὴρ νύκτας ὅλας ἄϋπνος ἴαυεν, ὑφαίνων ὑπὲρ τοῦ δήμου βουλάς, καὶ ὁ υἱὸς πόρναις καὶ τοῖς αἰσχίστοις διενυκτέρευεν.

Ἐγὼ μὲν ἐβουλόμην μὴ λέγειν ταῦτα ὡς ὀνείδη ἔσχατα τῷ ἐμῷ βίῳ καὶ τῇ ζωῇ ἔχοντα· ἄλλως τε δὲ καὶ ἱκανῶς δόντος ἐκείνου δίκας ὧν ἔπραττε, τὸ καὶ κειμένῳ ὡςανεὶ ἐπεμβαίνειν[2], καὶ διασύρειν τοὺς ἐκείνου τρόπους, οὐ μόνον ἀηδὲς, ἀλλὰ καὶ κακόηθες φιλανθρώποις δόξειεν ἀκοαῖς. Ἀλλ' ὁ πάντα δεινὸς οὗτος καὶ πικρὸς κατήγορος ἀναξαίνειν θέλει τὴν συμφοράν, ὡς ἔοικεν, ἐξεπί-

[1] Τῷ τότε] vide p. 75, n. 2. [2] Κειμένῳ ἐπεμβαίνειν] p. 105, n. 5.

τηδες. Κἂν αἱρήσῃ ταῖς πάσαις[1], κερδήσει πάντως τὴν ἐμὴν καταδίκην· εἰ δ' ἀποφύγω, τῶν δικαστῶν τυχὼν εὐμενῶν, ὃ καὶ πέποιθα, ὅμως πάλιν λαμπρὸν κατ' ἐμοῦ στήσει τῶν ἐμῶν συμφορῶν θρίαμβον.

Ἀλλ' οὗτος μὲν ταῦτα· ἐμοὶ δὲ καὶ καθυφειμένῳ τῶν λόγων οὐκ εἰς καλὸν ἔσται, καὶ λέγοντι αἶσχος τὸ μέγιστον. Ἀλλὰ τί πάθω; Λεκτέον ταῦτα κἂν ἐξ ἀνάγκης, οὕτω στενοχωροῦντός με τοῦ καιροῦ.

Ἐνουθέτουν πολλάκις· ἀλλ' οὐχ ὑπήκουε. Προετίθουν τὰ δῶρα τῆς σωφροσύνης· ἀλλ' ὄνος ἦν, τὸ τοῦ λόγου, πρὸς λύραν[2]. Ἀντέ-

[1] De ellipsi nominis ψήφοις in hac sententia vide p. 176, n. 5, et ad Choricii Orationes, p. 327. Sæpe ψήφοις non reticetur. Plutarchus Cic. 9 : πάσαις ἑάλωκε ταῖς ψήφοις. Photius Epist. 1, p. 16 : ψήφοις ἁπάσαις ἐπεκύρωσεν. Choricius, p. 119 : πάσαις ἡμῖν ὁ νεὼς νικήσει ταῖς ψήφοις. Aristides Panath. p. 304 : πᾶσι τοῖς κρίταις νικᾷ καὶ πρός γε ἔτι ταῖς χώραις ἁπάσαις. Ibi Scholium. Videtur Aristides meminisse Aristophanis Av. ℣ 444 : Ὄμνυμ' ἐπὶ τούτοις πᾶσι νικᾷν τοῖς κριταῖς Καὶ τοῖς θεαταῖς πᾶσιν. Vetus inscriptio : *L. Valerio. L. F. Pudenti. Hic. cum. esset. annorum. XIII. Romae. certamine. sacro. Jovis. Capitolini. lustro. VI. claritate. ingenii. coronatus. est. inter. poetas. Latinos. omnibus. sententiis. judicum....*

[2] Schol. : παροιμία. Aristæn. 1, 17 : ἀλλ' οὐδὲν αὐτῇ τῶν ἐμῶν ἐμέλησε λόγων· ὄνος λύρας, οὐδὲ γρὺ τῆς ἐμῆς συμβουλῆς ἐπαΐειν δοκεῖ. Ibi interpr. de proverbio ὄνος λύρας, subaudito ἀκούων, collato Meinekio ad Men. p. 184. Et in priore Aristæneti sententia fere videtur artifex ille centonarius sibi sumsisse, mutatum leviter, versiculum comici cujusdam : Ἀλλ' οὐδὲν αὐτῇ τῶν ἐμῶν μέλει λόγων. Aliter proverbium effert Arsenius Viol. p. 384 : ὄνος λύρας ἀκούων κινεῖ τὰ ὦτα, ἐπὶ τῶν ἀπαιδεύτων, κτλ. Ibi Walz., qui inter alios citat Eustathium Epist. 47, quo et ego utar, sed prolato prolixius : λαλῶ μέν, ἀλλ' οὔτε ῥύδην, καὶ οὐδὲ τορὸν καὶ γλυκύ· καὶ γράφω μὲν πρὸς ῥητορείαν, ἀλλὰ σχολαίως, καὶ ταῦτα τοῖς κατασκατοῦσι· ἄλλοις μὲν γὰρ ἐνδειξαίμην καὶ τὴν ἐμὴν θεατρίσαιμι μουσικήν, οἳ ταύτης οὐδὲν μᾶλλον ἢ ὄνος λύρας ἐπαΐουσι.... σοὶ δ' οὐκ οἶδ' ὅπως ὑπᾴσω οὕτω μεμουσωμένῳ. Quæ adduxi monendi causa lectorem non esse scriptum in codice κατασκα- τ` τοῦσι, sed κα σκατ` σέ, quod debet legi, κατὰ σκατὸν σέ. Id fuit exhibendum omnino; monendum saltem fuit de mutatione, et explicanda conjectura κατασκατοῦσι quid possit. Equidem nihil habeo quod ad interpretationem conferam; sed jam peritiores queunt quid valeant experiri. Atque addam sub finem epistolæ barbaram lectionem, ἔστ' ἂν ἔσκον [θυλκῶς βρα]χὺ καταλήξεις, prorsus fuisse a descriptore confictam, quum supersint extremæ duntaxat syllabæ ἐς κο χύ, mediæ autem cum ipsius chartæ particula perierint. Et ipse lacunam reperisse videtur qui uncis incluserit supplementum, idque mirificissimum. Equidem conjecerim ἔστ' ἂν ἐς κονδύλιον βραχὺ καταλήξεις. Agitur de syringis decrescentibus semper arundinibus, « donec in calamulum brevem

φερον τὰ τῆς ἀκολασίας ὀνείδη· ἀλλὰ ῥόδοις πάττων[1] ἐδόκουν καὶ στεφανῶν[2]. Τέλος ἠπείλουν τὴν ἀποκήρυξιν· καί « Τίς αὕτη ἡ ἀποκήρυξις », ἔλεγεν, « ὡς οἵατ' εἶναι περικόπτειν τὴν ἡδονήν »; Ὕβριζον· κἀκεῖνος ἐχλεύαζεν. Ἐδάκρυον· κἀκεῖνος ἐγέλα. Ἀπέπεμπον τοῦ προςώπου· κἀκεῖνος ἀπηναισχύντει, καὶ μετὰ μυκτῆρος[3] εἰςεδύετο. Ὡς[4] δὲ καὶ τινῶν ἤκουον ἀξίων ὄντων πιστεύεσθαι, ὡς[5] καὶ πολλάκις ἐθάῤῥει λέγειν μετὰ σοβαροῦ τοῦ φρονήματος· « Ὁ σωφρονιστής, » ἐμὲ λέγων, « ὁ διδάσκαλος τοῦ μηδὲν δεομένου μανθάνειν, ὁ παιδαγωγὸς τοῦ μηκέτι νηπίου ὄντος, ὁ νουθε-

desierit ». Est κόνδυλος, « calamus ». Hodie præsertim κονδύλιον usurpant pro calamo scriptorio, et κονδύλι frequentius etiam, cum apocope usitatissima qua neutra in ιον decurtare solent. Non jam quidem καλάμοις ipsis, δόναξι, ad scribendum utuntur, quos Turcis reliquerunt, sed pennis; et tamen τὸ κονδύλι dicunt, non τὸ πτερόν. Al. Sutsus Satira : Ἀλλοιόμονον! τοῦ γένους μας τολμοῦν νὰ ἦναι στύλοι, Ὅσοι ποτὲ δὲν ἔμαθον πῶς πιάνουν τὸ κονδύλι. Christopulus, alter Anacreon : Ποιὸ χέρι, τί κονδύλι Ἠμπορεῖ ν' ἀποτολμήσῃ Νὰ σὲ τὸ ζωγραφίσῃ; Idem alibi sententia frigidissima : Παντάθλιέ μου τάφε, Κονδύλι πάρε, γράφε, Κ' ἐγὼ μελάνι δίνω Τὰ δάκρυα ποῦ χύνω. In quibus describendis non sequutus sum editionem a. 1841. Editor enim, vir præstantissimus, qui fuit amicus Christopuli, qui ipsis uti potuit poetæ chartis, adeo fuit supra modum accuratus, tanta cum superstitione amici manum fuit reveritus, ut κονδυλίου σφάλματα exhiberet, κοντῆλι verbi causa. Cujus vocabuli ita scripti duo sunt menda, η pro υ quod solenne, et τ pro δ quod gravissimum. Nam sonus syllabæ κονδ immutatur, ut non δ græcum, sed nostrum *d* audiatur. Sic qui in comœdiis anglicis loquentes introducuntur, aut in « novellis », Hiberni homines aut Francogalli, pronuntiant « dat », non « that ». Quod si forte Christopulus ita fuit loquutus, id non fuit servandum, ni ipse fallor; et cum iis facio editoribus qui κονδύλι receperunt. Est et reprehensione dignus, qui in Prologo Πολιτικῶν Παραλλήλων Christopuli (attigit enim politicen vir eximius; quo morbo nonnunquam laborant poetæ senescentes) excudendum curavit : πασχίζω νὰ περάσω τὸν ἀργόν μου καιρὸν ἀσχολώτερα, παίζοντας μὲ τὸ κονδῆλι τὸ παιχνίδι τῆς πολιτικῆς. Si mei res fuisset arbitrii, scripsissem, μὲ τὸ κονδύλι τὸ παιγνίδι, amandato duriore χ, quum meminerim versus sic e poetæ chartis editi : Κιαρχίζει τὸ παιγνίδι.

[1] Ex Nubibus 1334 : πάττε πολλοῖς τοῖς ῥόδοις. Choricius, p. 133 : τοῖς ῥόδοις καὶ λόγοι παττόμενοι. Ibi nota.

[2] Codex, στεφανοῦν. Infra p. 220, 21 : ὡς στέφανον τὴν ὕβριν εἶχε.

[3] Μετὰ μυκτῆρος] junxit Eunapius μυκτῆρα καὶ ἀστεϊσμόν, ubi mea nota p. 404. Videndus Schottus ad Procli Chrestom. Gaisfordianæ p. 452, qui loco Eunapii usus ἀλισμόν exhibet. Præstat quod e codd. scripsi ἀστεϊσμόν. Videndus et Dalecamp. ad Plinii verba H. N. 11, 59 : « altior homini tantum, quem novi mores subdolæ irrisioni dicavere, nasus ». Sed « novis moribus » objicio Horatianum « naso suspendis adunco ».

[4] Schol. : ἀναφορὰ καὶ βεβαίωσις.

[5] Videtur delendum ὡς, ni quid desit.

τῆς τοῦ φρονιμωτέρου, εἶτ' οὐκ αἰσχύνεται ἀξιῶν παιδεύειν ἐμέ; ταχὺ ἂν μεταμελήσοι τούτῳ τῆς νουθεσίας. Οὐκ εἰς μακρὰν ἐκδέξεται τοὺς μισθοὺς τῆς παιδεύσεως. Ὑβριζέτω, ἀπειλείτω τὴν ἀποκήρυξιν, προφασιζέσθω τὰ ἀπροφάσιστα. Φθονεῖ μοι τῆς ἡδονῆς· ἀλλ' ὑπὸ πολλῶν ὅσον οὐκ ἤδη ἐλεηθήσεται ».

Ταῦτα πρὸς πολλοὺς ἔλεγε, καὶ δῆλος ἦν μὴ ὅτι γε σωφρονησείων[1], ἀλλὰ καὶ τὰ ἔσχατα· ἐμὲ δρασείων κακά. Τί γοῦν ἔδει με ποιεῖν, ὦ τῆς ἐμῆς τύχης ἐπὶ πλέον ἐπηρεάζων ἐμοί, ὁρῶντα οὕτω πράττοντα, καὶ οὕτω διακείμενον πρὸς ἐμὲ τὸν υἱόν; νουθετεῖν πάλιν καὶ πάλιν, καὶ ἀπειλεῖν, καὶ τὴν κακίαν μᾶλλον ἀναξαίνειν, καὶ μηδὲ περὶ ἐμαυτῷ θαῤῥοῦντα διάγειν, ἀλλὰ τρέμειν καὶ δεδιέναι[2], ἐκείνου φαινομένου ποθέν, καὶ οὐδὲν ἧττον τοῦ φανερῶς πολεμίου διακειμένου; καὶ τί πλέον ἦν, εἰ ταῦτ' ἐποίουν ἢ καθ' ἑκάστην προςδοκᾶν θάνατον; Ἀφεὶς τοίνυν ὑπὲρ ἐκείνου φροντίζειν ὡς ἀνιάτως ἔχοντος, ἀναλαμβάνω τοὺς ὑπὲρ ἐμαυτοῦ λογισμούς, καὶ ὅτι, ζῶντος μὲν ἐκείνου, αἶσχος μὲν ἐμοὶ καὶ τῷ γένει παντὶ καὶ οὐκ ἄν τις ἀπόναιτο ἡδονῆς, κἂν ἀριστεύσῃ πάλιν, κἂν τιμηθήσεται πάλιν, κἂν ἄλλο τι συμβαίνῃ τῶν ἡδύνειν ἐχόντων ἄνθρωπον κατ' ἐμέ· ἐκποδὼν δὲ γενομένου, δόξει ποτὲ τὸ κακὸν ὡς μηδὲ φανὲν ἐν τῷ κόσμῳ· κἀντεῦθεν ὁ μὲν ἁμαρτὼν ἀξίας δώσει ποινάς[3], ἐν ἀσφαλεῖ δὲ διάξω τὸν βίον ἐγώ· πατρὶ

[1] Cod. sic, cum η grandiore superiusque notato puncto, quasi correctione malæ scriptæ prius syllabæ γε. Permutatio vocalium η ι mendum peperit. Alexander Epistola ad Olympiadem: ἤλθομεν εἰς τὴν χλοϊκὴν χώραν, οὗ ἦσαν ἄνθρωποι γίγασι παρεμφερεῖς. Sic edidit recte Bergerus Teratologia, p. 256, pro γήγασι quod in codice repererat. In eodem ipso codice reperit Pseudo-Callisthenis editor γήγετες, et conjicit γίγασι p. 86. Quod si bene legit, convenit quidem sententiæ conjectura, sed legibus criticis adversatur. Etenim τες est omnino pro ταις, finali dativi pluralis syllaba. Donec asseratur codicis scriptura, pro γήγετες legendum propono γηγενέταις, quod non caret probabilitate. Superius p. 136, edidi μεταχειρίσεως, pro scriptura codicis μεταχειρήσεως· de qua mutatione tacendum non fuit.

[2] Jungit pariter τρέμειν καὶ δεδιέναι Julianus Epist. 74: τρέμειν καὶ δεδιέναι φερόμενον ἐπὶ τῆς δημοσίας ἀπήνης. Ibi Heyler. Vide alia exempla in notis ad Eunapium, p. 164, ubi et similes tractavi pleonasmos. Libanius Ep. 1597: πέφρικα καὶ τρέμω. Liber Judith, 15, 2: ἐπέπεσεν ἐπ' αὐτοῦ φόβος καὶ τρόμος. Cyrillus V. Euthymii, p. 11: χρὴ ἐν φόβῳ καὶ τρόμῳ λατρεύειν. Plautus Mil. 4, 8: « Metuoque et timeo ne hoc tandem propalam fiat nimis ».

[3] Ἀξίας δώσει ποινάς] neglectior adje-

δὲ ὄντι δίκαια τὰ τῆς τιμωρίας πρὸς τὸν υἱόν· καὶ ὥςπερ τὸ αἶσχος ἐν ἐμοὶ μόνῳ παρὰ τοὺς ἄλλους ἀνῆρται, οὕτω δὴ καὶ ἡ τοῦ πῶς ἐκποδὼν τὸ κακὸν εἴη φροντὶς ἐμοὶ προςήκει καὶ οὐχ ἑτέρῳ. Σφάττω τοίνυν, οὐ δυςνοῶν τῷ παιδί, — μὴ γένοιτο, γενέθλιε Ζεῦ! — ἀλλ' ἀπαλλάττων μὲν αἴσχους τὴν πόλιν οὔ τι ῥητοῦ, ἀπαλλάττων δὲ κἀμὲ καὶ τὸ γένος ὀνείδους μεγίστου καὶ ὃ οὐκ ἄν τις εὖ φρονῶν καταδέξαιτο.

Τί γὰρ μεῖζον εἰς ὄνειδος ἕτερον, στρατηγῷ, ἀριστεῖ καὶ ταῦτα[1], ἢ υἱὸν ἴχειν κώμοις καὶ μέθαις καὶ πορνείαις[2] ὁςημέραι σχολάζοντα, μηδὲν μὴ μικρὸν ἢ μεῖζον περὶ τοῦ πατρὸς ἐννοοῦντα καὶ τοῦ πατρικοῦ καθήκοντος, ἀλλὰ λῆρον ἔχοντα μὴ ὅτι γε στρατηγίας καὶ ἀριστείας, ἀλλὰ καὶ πᾶσαν πρᾶξιν τῆς πόλεως;

Σὺ δὲ[3] πάντα ταῦτα παραδραμών, ἄνω καὶ κάτω σοβεῖς φόνον, καὶ φόνον υἱοῦ, ὥςπερ οὐ μᾶλλον ἐμοῦ καταγνοὺς μωρίαν ἢ τῶν δικαστῶν ἀπειρίαν, ὡς ἐνταῦθα συναρπάσων αὐτοὺς κατ' ἐμοῦ, μηδὲν μήτ' ἐμοῦ τὰ δίκαια ἀπολογησομένου, μήτ' αὐτῶν ἀσφαλῶς ζητησόντων τὰς τοῦ φόνου προφάσεις, ἀλλ' ὅτι μόνον φόνος καταδικασόντων εὐθὺς τὸν πράξαντα.

Φόνος ἐπράχθη[4]· ἀλλ', ὡς ἐγὼ λέγω, καὶ δίκαιος. Ἐπεί τοί γε μὴ τὴν πρᾶξιν μόνην, ἀλλὰ καὶ τὴν ἐμὴν διάνοιαν σκόπει.

Εἰ μὲν γὰρ ἐγένου πατὴρ υἱοῦ — εἰ δ' οὖν, ἀλλ' ἀνάμεινον καὶ γενήσῃ, καὶ γνώσῃ φύσεως νόμους ἀπαραβάτους καὶ βίαιον σύνδεσμον. Ἄλογα ζῶά σε πείσει καὶ ἀπηνῆ θηρία καὶ ἄγρια τῶν παίδων προκινδυνεύοντα· κἂν ἄρκτον εἴποις, κἂν λέαιναν, ἴδοις ἂν ἐκείνας ἀμφιβαινούσας τῶν τέκνων, ἑαυτὰς προβαλλομένας τοῖς κυνηγοῖς, κἂν δέῃ παθεῖν τὰ ἔσχατα, πάντ' ἐθελούσας πάσχειν ἢ[5] τὰ ἔγγονα προδιδόναι πρὸς ἄγραν τοῖς ἄγειν ἐθέλουσι. Τί τοίνυν μηδὲ τόσον δίδως κἀμοί, οὗ καὶ τοῖς ἀλόγοις θηρίοις

ctivi positio p. 14, ὑφέξω τὰς δίκας ἀξίας, et p. 150, δέδωκα τὰς δίκας ἀξίας, me turbavit, ut in primo loco rescripserim ἀξίως, cujus mutationis me serius pœnituit.

[1] Καὶ ταῦτα] vide p. 208, n. 1.

[2] Videtur homo ecclesiasticus meminisse Pauli Ad Rom. 13, 13: εὐσχημόνως περιπατήσωμεν μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις. Cf. p. 213, 9.

[3] Schol.: προβολή.

[4] Schol.: τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους διάνοια τοῦ πράξαντος.

[5] Ellipsis fit adverbii μᾶλλον.

μέτεστιν; οὐ πατὴρ κἀγὼ καὶ γεννήτωρ, καὶ πέδαις ἀφύκτοις τῆς φύσεως δέδεμαι; οὐκ ἐλευθέρως ἀνέθρεψα; οὐκ εὐχὰς ἐποίουν καθ' ὧν ὑπενόησα καὶ πολλάκις, ὡς ἂν τελεσφορηθείη τὸ βρέφος καὶ εἰς ἀληθινὸν ἀποβαίη ἄνδρα[1] *καὶ παραδραμεῖν τὸν γεννήτορα; Ὡς δὲ τὴν ἐναντίαν ὥδευε φθάσας Τελχῖνός τινος*[2] *φθόνῳ, ἐμοὶ καὶ τοῖς ἐμοῖς βασκήναντος, ἐνέλιπον ἐκ τῶν ἐμαυτοῦ καὶ λέγων καὶ πράττων, ὡς ἂν τῆς πονηρᾶς ἐκείνης ἕξεως ἀποσπάσαιμι; Ὅτε δὲ παραταττομένους ξένους ἑώρων εἰς πόλεμον σὺν ἐμοί, καὶ τὸν υἱὸν ἐσκόπουν καλινδούμενον τοῖς αἰσχίστοις, πῶς οἴεσθέ με διακεῖσθαι τότε, καὶ μεθ' οἵας καρδίας διαφέρειν τὸν πόλεμον;*

Ἀλλά τις συνὼν ἴσως, μὴ ἔχων τὸν ἐμὸν ὡς ὁρᾷν συλλογισμόν[3]*· « Τάλανα » διελάλει πρὸς τὸν πλησίον, « καὶ ἄθλιον »! καί· « Καλὸν ἦν αὐτῷ μᾶλλον » ἔλεγεν, « εἰ τῶν κατ' οἶκον ἐφρόντιζε, καὶ τὸν υἱὸν ἐσωφρόνιζε ». Καὶ ἀναλγησίαν μου κατεγίνωσκεν, εἰ κοινοῖς ἐπιβαλλοίμην, δυστυχῶν τοῖς κατ' οἶκον, καὶ ἄλλους εὐεργετεῖν προθυμοίμην, αὐτὸς ἐλέους δεόμενος.*

Ἐδυςνόουν λοιπὸν τῷ παιδί (τοῦτο γὰρ ὁ σὸς βούλεται λόγος), καί, φθονῶν τῆς ζωῆς, ἀπέκτεννον[4]*. Ὦ — τί ἂν εἰπὼν σέ τις ὀρθῶς ἐρεῖ; — λίαν περὶ τὴν φύσιν ἄστοργε! Ὁ γὰρ οἷς ἂν ἁλῷεν ἄλλοι καταγινώσκων ἀλλόκοτα, οὗτος ἐκεῖνα πρῶτον τῶν ἄλλων κατηγορεῖ ἑαυτοῦ. Ὡς γὰρ ἁπλοῦν τὸ εἰς κακίαν ἀνύποπτον, οὕτω πονηρὸν καὶ ποικίλον τὸ πρὸς ἄλλους καχύποπτον. Δυςνοεῖ τις, παρόντες, τῷ σφετέρῳ γεννήματι; οὐ θέλω σήμερον νόμους δικάζειν ἐμέ, ἀλλὰ φύσιν αὐτήν. Ἑτοίμως ἐπιβαλεῖ τις τὴν δεξιὰν τῷ παιδί; Οὔ, δῆλον. Ἀκούεις, κατήγορε*[5]*; Τοῦτο καὶ ἐπ' ἐμοὶ*

[1] Noster Hist. Mich. Palæol. 3, 21, p. 217 : *ἐκείνους παιδεύεσθαι συνέβαινεν ἐς τὸ ἀκριβές, καὶ εἰς ἀληθινοὺς ὑπηρέτας ἀποβαίνειν.*

[2] Noster Hist. M. Palæol. 4, 1, p. 253 : *οὐδὲν ἀλλ' ἢ ζητοῦντος, οἶμαι, κοινὸν ὄλεθρον, καὶ Τελχῖνος τρόπον ἐνδεικνυμένου.* Rursus Hist. Andron. 4, 10 : *οὐκ ἦν καὶ ἐςαῦθις τὸν τοῦ Τελχῖνος ἠρεμεῖν φθόνον.* Conf. initium Declamationis XIII. Ad illustrationem nominis *Τελχίν* vide ad Choricium, n. 4, p. 180.

[3] Sic codex.

[4] Sic codex, *ἀπέκτεννον* superaddito altero ny ; quod verbum non est dialecti oratoriæ, Atticæ, quam sibi imitandam proposuit sophista. Fortasse scripsit *ἀπέκτεινον, ἀπέκτανον.*

[5] Verba *οὔ, δῆλον* scripta sunt in margine, ab eadem manu. Imitatur iterum nobilem Demosthenis locum. Vide p. 99, n. 2.

λογίσασθε, ἀξιῶ. Πικρὸν ἐδόκει μοι τὸ ἐγχείρημα, πικρόν· ἡ ἔφορος οἶδε Δίκη καὶ ὁ τῶν ἡμετέρων πραγμάτων πρύτανις. Ἀλλ' ἀναγκαίως εἶχον ἐκποδὼν ποιεῖσθαι τὸ αἶσχος.

Καὶ[1] εἰ μὲν βούλεταί τις λέγειν· «Ἔστω τοῦτο τὸ ἔργον δίκη κατὰ τοῦ παιδὸς καὶ λίαν προςήκουσα· οἷς γὰρ ἡμάρτανεν, ἔπασχεν»· εἰ δὲ βούλεται, ἔστω καὶ ὑπὲρ ἐκείνου καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ παντὸς τοῦ γένους μου. Ὑπὲρ ἐκείνου[2] μέν, οἷς ὅτι[3] πέπαυται βιοτεύων αἰσχρῶς· ὑπὲρ ἐμαυτοῦ δέ, ὅτι μεγάλην ἀπ' ἐμαυτοῦ λύπην καὶ ἀτιμίαν καὶ φροντίδα καὶ ὄχλον καὶ πάντα ταῦτα πεποίηκα· τῷ δ' αὖ γένει μου ἀκραιφνῶς ἐτήρησα τὴν τιμήν, καί, ὥςπερ ὁ ἐνοχλοῦσαν ὀφθαλμὸν τρίχα ὑπεξελών, γαληνιᾶν τὸ ὀπτικὸν ἐποίησεν εἰς τὸ βλέπειν, οὕτω κἀγώ, τὸ ἐνοχλοῦν εἰς ἀτιμίαν αὐτοῖς ἐκποδὼν ποιησάμενος, ἀθόρυβον κατέστησα τὸ βιώσιμον. Τί τοίνυν ἠδίκησα, εἰ ταῖς ἐμαυτοῦ συμφοραῖς ἐξεδίκησα μὲν τὸ κακόν, τιμὴν δὲ τὴν γιγνομένην[4] περιεποίησα καὶ ἐμαυτῷ καὶ τοῖς ἐμοῖς, οὐχ ἧττον δὲ καὶ αὐτῷ τῷ παθόντι, ἀλλὰ καὶ μάλιστα; Τέθνηκεν ὁ παῖς; κἀμὲ τὸ πατέρα πόρνου λέγεσθαι τέθνηκε. Πέπτωκεν ὁ υἱός; ἀλλὰ τὸ γένος ἀνώρθωται. Διακεχώρισται ὁ ἐκ τῶν ἐμῶν φὺς σπερμάτων; ἀλλ' ἐμοὶ κρείττων ἐφάνη τῆς συμφορᾶς ἡ τοῦ πλημμελήματος ἔκτισις. Κἂν θέλῃς λυπεῖν ἐντεῦθεν, ἡ τῆς λύπης ὑπερβολὴ χώραν οὐχ ἕξει κατὰ τῆς ἐμῆς συμφορᾶς. Ἐστέρημαι καὶ παιδὸς γνησίου· ἀλλὰ καὶ παρ' ἐμαυτοῦ τοῦτο πέπονθα. Τί τῆς συμφορᾶς ταύτης γένοιτ' ἂν ἀλγεινότερον; ἠνάγκασμαι καὶ πρὸς ἀλλόκοτον φόνον, ὁμολογῶ, καὶ οὕτως ἔπνευσε κατ' ἐμοῦ τὸ δαιμόνιον, ὥςθ' ὑποστῆναι πρᾶξαι ὅπερ οὐδὲ θὴρ ἄγριος πώποτε. Ἄφες τὴν τύχην πεττεύειν τἀμά. Ἄφες ἐπ' ἀδείας θρηνεῖν με τὴν συμφοράν. Ἀναλόγισαι μὲν ἐθέλεις καὶ τὴν ἀνάγκην τῆς φύσεως· ἀναλόγισαι δὲ καὶ τὴν ἀνάγκην τοῦ στῆναι τὰ αἴσχιστα, καὶ ὅτι οὐκ ἦν ἄλλως στῆναι ἢ διαπραχθέντος τοῦ πράττοντος. Ὥςπερ γάρ, εἰ τὰ καλὰ πράττειν ἦν, ἔμελλεν ἐπαινεῖσθαι καὶ παρ' ἐμοῦ καὶ παρὰ τῶν ἔξωθεν, οὕτω

[1] Schol.: ἀντίθεσις ἀντεγκληματική.
[2] Schol.: ἀντίστασις.
[3] Οἷς ὅτι] vide p. 197, n. 1.
[4] Γιγνομένην] vide pp. 35, 54.

τά χείριστα ἐργαζόμενος καὶ ἀνιάτως νοσῶν, ὑποσχεῖν τιμωρίαν ἄξιος ἦν· εἰ δὲ μὴ παρὰ τοῦ πατρὸς ἴσως (τοῦτο γὰρ ἀνθυπενέγκης, οἶδα), ἀλλ' οὖν παρὰ παιδευτοῦ, καὶ ᾧπερ ἐπιμελὲς ἦν ὑπὲρ ἑτέρους τἀκείνου διεξετάζεσθαι.

« Ἀλλ'[1] ἄλλως » φησίν, « ἔδει τὸν πλημμελοῦντα μετέρχεσθαι· στερίσκειν τροφῆς, ἐνδυμάτων· ἀτιμοῦν, ἀποστρέφεσθαι, ἐξελᾷν τῆς οἰκίας, ἢ καὶ προςαγγέλλειν πρὸς τοὺς κριτάς ».

Ἄλλως ἔδει, λέγεις, καὶ τοὺς τρόπους καταριθμεῖς. Τί δέ; Οἶδας ὅτι καὶ τούτους μετῆλθον τοὺς τρόπους πάντας; εἰ δ' οὐκ οἶδας, ἐρωτῶν τοὺς γείτονας μάνθανε. Ἐπεστράφην πολλάκις ἐκεῖνον νουθετῶν πρότερον. Ὁ δὲ οὔτε νουθετούμενος, νοῦν ἤνεγκε μέτριον, οὔτ' ἀποστρεφόμενος, ἐπεστρέφετο· ἀλλ' ἀπηναισχύντει πρὸς πάντα ἐπαγόμενα. Ἐστέρησα τροφῆς· ἀλλ' εἰςπηδῶν εἰς τὴν οἰκίαν μείζονα τὴν δαπάνην καὶ ὑπὲρ τὴν χρείαν ἐτίθει, καὶ τὸ δοκεῖν[2] ἁρπάζειν δεικνύντος ἦν ὡς καταφρονεῖ, καὶ δῆλος ἦν δρασείων τὰ αἴσχιστα τὸν κωλύσοντα. Ἔστι δ' ὅτε καὶ παρεῤῥίπτει λόγους ὑβριστικοὺς καὶ ταῖς ἀπειλαῖς κατέμιγε τούτους, ὡς καὶ τοὺς ἐν τῇ οἰκίᾳ δεδίττεσθαι, μονονοὺκ ἐπιφέρων αὐτοῖς καὶ τὸ ξίφος. Γυμνὸν ἀφῆκα; ἀλλ' ἐνεδέδυτο παρευθὺς ἁρπάζων τἀμά. Ἠτίμουν; ἀλλ' ὡς στέφανον[3] τὴν ὕβριν εἶχε, καὶ τὰ μεγάλα ἀπεσεμνύνετο. Ἐξήλων τῆς οἰκίας; ἀλλ' οὐκ ἐφρόντιζε. Προςαγγέλλειν ἠπείλουν; ἀλλ' οὐ βούλομαι λέγειν οὐδὲν ὧν ἐκεῖνος τότε τοὺς ἐπὶ τῆς κρίσεως ἔλεγε. Πόσοις τρόποις ἐπεβαλλόμην σωφρονισμοῦ, καὶ πάντες τῆς ἐκείνου ἀναιδείας ἠλέγχοντο δεύτεροι. Μὴ γὰρ οἴου εὐθὺς ἐπενεγκόντα τὸ ξίφος, καί, μηδ' ὁτιοῦν πραγματευσάμενον πρότερον, τὴν σφαγὴν αὐτουργῆσαι. Ἀλλὰ χρόνος μακρὸς παρεμέτρει τῷ μὲν παιδὶ τὴν κακίαν, τὴν δ' ὀδύνην ἐμοί, καὶ οὐκ ἦν μηχανὴ δι' ἧς ἂν ἀπαλλαγείη ἐκεῖνος τῶν αἰσχίστων πράξεων.

Εἶτα[4] συγκρίνεις τὰ πάθη καὶ χεῖρον τοῦ πορνεύειν τίθης τὸ τῆς ζωῆς ἀπαλλάξαι, οὐκ εἰδὼς ὡς τοῦτο μὲν καὶ φύσις ἂν μόνη

[1] Schol.: μετάληψις.

[2] Codex, τῷ δοκεῖν.

[3] Vide p. 215, n. 2.

[4] Schol.: πρός τι.

χωρὶς τοῦ συνεργήσοντος ἐξ ἀνάγκης ἐργάσαιτο, καὶ πάντες τεθνήξονται, καὶ οὐκ ἔστιν ὅςτις οὔ· τὸ δὲ πορνεύειν γνώμης παρέσχε ῥοπή, καὶ πολλοί, μᾶλλον δ' οἱ πλείους τὸ πάθος οὐκ οἴδασι. Κἀκείνῳ μὲν ἔλεος ἕπεται, καὶ οὐκ ἔστιν ὅτῳ καὶ κωλυθείη· τούτῳ δὲ παρὰ πάντων μῖσος καὶ ὄνειδος. Καὶ ὁ μὴ λόγοις καὶ νουθεσίαις ἀφιστάμενος τῶν κακῶν, ὡς οἷόν τ' ὂν ἀποστῆναι καὶ σωφρονεῖν, οὐκ ἔχει καθ' ὃν τρόπον τὸ μισεῖσθαι φύγειν. Κἀκεῖνο μὲν πάθος σώματος ἐξ ἀνάγκης, τοῦτο δὲ πάθος ἐκ γνώμης ψυχῆς. Ὅσῳ τοίνυν κρείττων ψυχὴ σώματος, τοσούτῳ τοῦ τεθνάναι τὸ ἀσωτεύειν χεῖρον. Εἰ δὲ καὶ ἀριστέως παῖς ἦν ὁ πορνεύων, ᾧ[1] πολλάκις ἡ πεῖρα παρέστησεν ὃν ἔδει μιμεῖσθαι καὶ τοῖς τρόποις ἀκολουθεῖν, ἄξιον κρίνεις ἐκεῖνον ζῆν εἰς αἶσχος τοῦ ἀριστέως καὶ ὄνειδος; Ἵνατι τοίνυν οὗτος καὶ ζήσεται; ἵνα τὰ πατρὸς ἔργα περιὼν ἐκεῖνος μιμήσηται; ἀλλ' οὐ προςεῖχεν οὐδ' ὅλως. Ἀλλ' ἵνα χρήσιμος ἐκεῖνος φανείη; ἀλλ' εἰς τοῦτο σκοποῦντες ἐνουθετοῦμεν κἂν οὐκ ἐπείθομεν. Ἀλλ' ἵνα ζῶν κατευπαθῇ καὶ ταῖς ἐπιθυμίαις συζῇ[2]; δικαίως ἄν, εἴποι τις, ἔζη καὶ ἀξίως τῆς θρεψαμένης πόλεως. Ἢ οὐκ οἴδατε ὅτι[3] ὅπερ λοιμὸς σώματι (μεταδοτικὸν γὰρ τὸ πάθος τοῖς πλησιάζουσι), τουτ' ἀνάγωγος γνώμη πρὸς τὴν τῆς πολιτείας νεότητα; ποῖος ἂν ἄλλος

[1] Codex ὡς. Rescripsi ᾧ. Quæ syllabæ sæpe permutatæ sunt, ob adscriptum ι et ς quæ sunt simillima. Isaacius Porphyrog. Paralip. Homericis, p. 302 : ὑφέρπειν ὀλεθρίῳ θυμῷ νέρθεν καρδίας παφλάζοντι πρὸς τούτων τὸν ὄλεθρον. Codex 817 : ὀλεθρίως, quod non displicet. Lucianus Tox. c. 11 : ὡρίσθωσαν ὁπόσαι ἱκαναί· πέντε ἔμοιγε δοκοῦσιν ἑκατέρῳ. Codex 2956, et alii aliunde noti, ἑκατέρως. Neque hoc male : « mihi quidem quinque videntur utrinque satis fore ». Poematioli alphabetici, quod ineditum esse puto, ultimos versus tredecim habeo, octavodecimo sic scripto : Σοφῷ σχόλαζε ἐν γραφαῖς ταῖς ἐνθέοις. Legendum σοφῶς. In simili Nazianzeni Alphabeto, t. II, p. 186, ejusdem numeri versus sic fuit editus : Σοφῶν θύρας ἔκτριβε, πλουσίων δὲ μή. Qui sic est scriptus in cod. 3058 : Σ. θ. ἔ. καὶ μὴ πλουσίων.

[2] Ἐπιθυμίαις συζῇ] Basilius M. Homil. ad Juvenes, de Phæacibus, c. 5 : ἀφέντας τὴν τρυφὴν ᾗ συνεζῶν. Epiphanius Physiol. de ardea, ed. Mustox. p. 21 : τοῦτο τὸ ὄρνεον τοσαύτῃ σωφροσύνῃ συζῇ, ὥςτε.... Asterius, p. 40 : οὐδὲ γεωργῶν, δι' αὐτὸ τὸ γεωργεῖν τοῖς πόνοις συζεῖ (imo συζῇ). Aphthonius Prog. p. 70, t. I, Rhett. Walz.: οἱ πενίᾳ συζῶντες τὴν ἀπορίαν τῆς παῤῥησίας ἐμποδὼν ἀπειλήφασι. Pro ἐμποδών non displiceret ἐμπόδιον· quæ vocabula permutari notum est. Adde n. ad Anecd. Nova, p. 171.

[3] Codex ὅτι, superscripto ὡς.

τῶν νέων ἐκεῖνον ὁρῶν οὐκ ἐζήλωσεν; τίς οὐκ ἐμιμήσατο, καί, βλέπων μὴ κολαζόμενον τὸ κακόν[1], *οὐκ εὐθὺς ἂν κἀκεῖνος ἐξώλης ἐγένετο; Ὁ γοῦν ἐκεῖνον ἐκποδὼν ποιησάμενος, οὐ μᾶλλον ἐκεῖνον ἐκόλασεν, ἢ πᾶσαν νεότητα ἐσωφρόνισεν.*

Καὶ[2] *τὸ πρᾶγμα μὴ λέγε φόνον καὶ θάνατον, ἀλλ' εὐεργεσίαν, ἀλλὰ ζωήν. Λέγε τὴν ἀσωτίαν φόνον ἐτύμως*[3], *λέγε τὴν πορνείαν θάνατον· οὐδενὶ γὰρ ἄλλῳ ψυχὴ φθείρεται, ἢ πράξεσιν οὐ καλαῖς*[4]. *Ὅθεν οὐ σῶμα μόνον ἔχει τὸν ἰατρεύσοντα, ἀλλὰ πολλῷ πλέον ψυχή. Καὶ ὥςπερ ἐπὶ τῶν σωματικῶν παθῶν καὶ τῶν ὑποκειμένων τούτοις μελῶν, ὃ μὲν νοσοῦν θεραπείαν προςίεται, ἐπιμελητέον τούτου τῷ ἰατρῷ, ὃ δὲ ἀνίατον μένει καὶ ἀθεράπευτον, καυστῆρσι καὶ τομαῖς*[5] *χρηστέον πρὸς ἀποκοπὴν τοῦ ἀνιάτως ἔχοντος, μή πως παρὸν καὶ τοῖς σύνεγγυς τῶν μελῶν μεταδιδοίη τῆς λύμης*[6]· *οὕτως ἔχει καὶ ἐπὶ τῶν ψυχικῶν παθῶν. Ψυχῆς γὰρ νοσούσης, ὡς λέγει τις τῶν σοφῶν*[7], *εἰσὶν ἰατροὶ λόγοι. Εἰ μὲν τοίνυν πολλάκις εἰπὼν καὶ νουθετήσας ἔπεισας, δέχεται τὸ πάθος*

[1] Fortasse, *τὸν κακόν*. Sed cf. p. 217, 3; 219, 15.

[2] Schol.: *ὅρος βίαιος*.

[3] Codex, *ἑτοίμως*. Permutatio solita vocalium *υ οι* veram scripturam *ἐτύμως* monstrabat. Gregorius Naz. t. II, p. 148: *φασὶ ταὼ μεγάλαυχον, ἐπὴν περίκυκλον ἐγείρῃ Αὐχένα κυρτώσας χρύσεον ἀστερόεις, Κλάζειν θηλυτέραις, φιλοτήσιος*. Ad quæ Cosmas: *πρὸς τὰς καλλωπιζομένας γυναῖκας, ἤτοι ψιμυθιζομένας καὶ φοικαριζομένας τὸ τῶν ταῶν παράδειγμα παρειςάγει Γρηγόριος.... Τοῦ γὰρ φυσικοῦ κάλλους ἀμοιροῦσαι ψιμυθίοις καὶ φοικαρίοις καὶ τρίμμασι ζωγραφοῦνται χρωννύμεναι*. Syllaba *φοι* scribenda fuit *φυ*. Herodianus Epim. p. 146: *φῦκος, τὸ φυκάριον· φυκίζεσθαι, τὸ φυκαρίζεσθαι*. Et in primo Gregorii versu *περὶ κ.* malim divisim legere cum G. Dindorfio v. d., ac *χρύσεον* fiet nominis *κύκλον* epithetum; tum ex spicilegio Maiano, t. II, p. 356 recipiendum *φιλοτήσιον*, quod agnoscit et Cosmas ibidem: *φιλικὸν κλάζει, τὸ θῆλυ πρὸς ἔρωτα προτρεπόμενος*.

[4] Oratio christiana magis quam ab Attico personato exspectanda fuit. Testamentum Ruben, § 4, Grabianæ p. 149: *ὄλεθρος γὰρ ψυχῆς ἐστιν ἡ πορνεία*. Basilius M. in Georgidæ Gnomologio, p. 2: *ἀρετὴ λόγον ὑγείας ἐπέχει· κακία δὲ ψυχῆς ἀῤῥωστία*. Codex, *ὑγιείας*. Ibi apposui similia, p. 57.

[5] *Καυστῆρσι καὶ τομαῖς*] vide p. 156, n. 7.

[6] Conf. Ciceronis locus p. 65, n. 4, de secando membro, quod reliquo noceat corpori.

[7] Æschylus Prom. 386, *ψυχῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι·* cum varietate *ὀργῆς* a multis electa. Sententiæ Singulares, 300: *ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος*. Vide Wyttenb. ad Plut. Cons. ad Apoll. p. 102 B; Barth. ad Æn. Gaz. p. 220.

τὴν θεραπείαν, καὶ προσηκόντως θεραπευθήσεται. Εἰ δὲ λέγων οὐ πείθεις, ἀλλὰ παρὰ κωφῷ λέγων δοκεῖς[1], τί λοιπόν ἐστιν ἢ ὡς ἀνιάτως ἔχοντος τοῦ νοσοῦντος ἐπιμελεῖσθαι, καὶ ἀποκόπτειν τέλεον; ὡς ἂν μήπως διαδοθὲν τὸ κακὸν πολλοὺς ἕξει τοὺς μιμητάς. Εἶπον κἀγὼ πολλάκις, παρῄνεσα, ἐνουθέτησα, ἠπείλησα, ὕβρισα, ἀπεστράφην, εἶτα καὶ πάλιν εἶπον ἐπιστραφείς, καὶ πάλιν ὠνείδισα, νῦν μὲν ἠπίως, νῦν δὲ καὶ σκληρῶς μετιὼν τὰ τῆς θεραπείας. Ἀλλ' ἐκεῖνος οὔτε τοῖς στύφουσιν ὑπεκλίνετο, οὔτε τοῖς ἱλαροῖς μετεβάλλετο· ἀλλ' ἔμενεν ἐπὶ ταυτοῦ, ὥσπερ εἰκὼν ἄψυχος[2], σχήματος, πρὸς μὲν τὴν κακίαν ζῶν καὶ κινούμενος, πρὸς δὲ τὴν ἀρετὴν νεκρὸς καὶ ἀκίνητος. Τί τοίνυν ἔδει με ποιεῖν; εἰπέ, πρὸς αὐτῆς τῆς ἀληθείας εἰπέ, κατήγορε. Οὐ ζηλῶσαι[3] τοὐντεῦθεν, καὶ κολάσαι, ὡς οἷόν τ' ἦν, τὸν ἀκόλαστον; οὐκ ἐπενεγκεῖν τὴν τομήν, καὶ πάθος νομὴν εὑρὸν ἀδιάκοπον στῆσαι; Δεῖ γάρ[4], οἶμαι, τὸν ὡς ἀληθῶς ὄντα πατέρα, καὶ μὴ σωμάτων μόνον γεννήτορα, μὴ μόνον ζῆν τὸν υἱὸν θέλειν, ἀλλὰ καὶ καλῶς ζῆν, ὡς τὸ μὲν ἀναγκαῖον καὶ κοινόν, τὸ δ' ἐκ περιουσίας καὶ ἴδιον. Καὶ καλὸν μὲν εἰ ἄμφω τις ἔχοι νομίζειν· εἰ δ' οὖν ἀλλὰ νικῶσι τὰ χείρονα[5], καλὸν μᾶλλον μηδὲ ζῆν ἐκεῖνον ἢ κακῶς ζῆν οἴεσθαι.

Ταῦτ' ἄρα κἀγὼ πατὴρ ὤν, ὦ Ζεῦ, καὶ τοιοῦτος οἷον ἄρα καὶ ἐπὶ τῶν ἔργων ἐγνώκατε, οὐκ ἀνεκτὸν ἡγούμην οὐδ' ὁπωσοῦν οὕτως ἔχειν τὸν υἱὸν τῆς γνώμης, καὶ οὕτω καλινδεῖσθαι τοῖς πάθεσι.

Καὶ τί περὶ ἐμαυτοῦ λέγω, ὅπου γε καὶ παντὶ πατρὶ τοῦτ' ἐστὶν ἐξ ἀνάγκης, καὶ δεῖ πάντως ἕκαστον νουθετεῖν τὸν υἱόν, ἀνάγειν, παιδεύειν, ὡς ἄν που χρήσιμος τοῖς κοινοῖς γένοιτο, καὶ μηδὲν

[1] Est proverbium κωφῷ ὁμιλεῖς, inter ea quæ ἐπὶ τῶν ἀδυνάτων dici possunt, in Anecd. meis Gr. t. I, p. 398. Ibi n. p. 167, collato Fixio v. d. v. Ἄδειν Thes. Did. p. 718.

[2] Εἰκὼν ἄψυχος] cf. p. 185, n. 1.

[3] Videtur esse ζηλῶσαι in sensu imitandi, omisso nomine, videlicet τοὺς ἰατρούς. Sic p. 65 · μιμοῦμαι τοὺς ἰατρούς· p. 156: μιμῇ τῶν ἰατρῶν τοὺς χρηστούς. Ni dixerit ζηλῶσαι absolute, commotum esse ζήλῳ. Quod quidem esset biblicum nimis; sed mox nomine ζῆλος abutetur. Fortasse scribendum, ζημιῶσαι.

[4] Schol.: θέσις.

[5] Homerus Il. 1, 576: ἐπεὶ τὰ χερείονα νικᾷ. Vide n. ad Choric. p. 68.

ἐλλείπειν σπουδῆς, συνετίζειν[1] τὸν νέον· εἰ δὲ μὴ πείθοι πάντα καὶ πράττων καὶ λέγων, ἐπὶ τὸ ξίφος ὁρᾷν, καὶ τούτῳ χρᾶσθαι πρὸς τὴν τῶν κακῶν ἐκκοπήν, ὡς κρεῖττον ὂν κεῖσθαι τὸν ἀνάγωγον ἐκεῖνον καὶ παντελῶς ἐξώλη ἢ ζῆν κακῶς, καὶ ἀναξίως μὲν ἑαυτοῦ, ἀναξίως δὲ τοῦ πατρὸς καὶ τοῦ γένους παντός.

Ἀλλὰ[2] δεῖ, φαίη ἄν τις, καὶ ἀναγκαίως ἔχει τὸν κακὸν ἀναιρεῖν, μὴ αὐτοῦργον δὲ τὸν πατέρα γίνεσθαι τῆς σφαγῆς[3], ἀλλὰ προςαγγέλλειν, καὶ παρὰ τῶν κρινόντων ζητεῖν ἢ τὴν τῆς κακίας μετάθεσιν, ἢ μὴν τὴν ἀναίρεσιν, εἰ μὴ σωφρονίζοιτο, καὶ κακίας ἐκδίκησιν, μὴ θυμοῦ θεραπείαν τὸ πρᾶγμα φαίνεσθαι.

Ἔδει, λέγω κἀγώ, οὕτως οἰκονομηθῆναι τὴν τῆς κακίας ἀναίρεσιν, ἐπεί τοί γε καὶ τὸ σὸν στόμα καὶ ἄλλων τῶν ὁμοίων σοὶ κατηγόρων οὕτως ἂν καὶ μόνως ἀπέφυγον. Ἀλλ' ὁ ζῆλος[4], οἶμαι, συνήρπασε, καὶ τὸ τῆς ψυχῆς πάθος παρώτρυνεν αὐτουργῆσαι καὶ τὴν σφαγήν. Τὸ μὲν οὖν μετατεθῆναι τῆς κακίας ἐκεῖνον, κἂν δῆμος ἅπας, κἂν ἡ πόλις παρῄνει σύμπασα, κἂν τὰ φρικωδέστατα ἐπηπείλει, κἂν ὁτιοῦν ἢ τῶν κακῶν ἢ τῶν ἀγαθῶν ἔπραττεν εἰς ἐκεῖνον, πάντως ἀνέλπιστον ἦν, καὶ οὐδὲ χώραν εἶχεν ὁ λογισμὸς τοιοῦτόν τι λογίζεσθαι. Τὸ δ' ἐκποδὼν γενέσθαι, ὡς γενησόμενον ἀναγκαίως, καλὸν μὲν ἦν, εἰ παρὰ τοῦ δήμου πέπρακτο· ἀλλ', ἐπειδὴ τὸ οἰκεῖον πιέζει πᾶν, ὥς τις ἔφη τῶν ποιητῶν[5], ἐλύπει κἀμὲ τὸ πάθος πλέον τῶν ἄλλων, καὶ ταυτὸν ἔπασχον τοῖς σφαῖραν ὁρῶσιν. Ἐκεῖνοί τε γὰρ ὅσον ἔγγιον[6] ὁρῶ-

[1] Sic cod. Fortasse, ἐν τῷ συν., vel τοῦ συν., vel συνετίζοντα.

[2] Schol.: ἑτέρα μετάληψις.

[3] Eamdem objectionem Declamatione Τυραννοκτόνου tractat Choricius, p. 230.

[4] Nomen ζῆλος decere magis videtur hominem ecclesiasticum, quam oratorem, qui fingitur, Atticum. Sic et mox.

[5] Pindarus N. 1, 82: τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς. Scripturam πᾶν, quæ viris criticis, ut videtur, ignota fuit, noverat et Gregorius Nazianzenus Epist. 194, p. 892: τὸ γὰρ οἰκεῖον ἅπαν οὐ πιέζει μόνον, ὡς τῇ λύρᾳ δοκεῖ, ἀλλὰ καὶ εὐφραίνειν μάλιστα πέφυκεν. Rursus Orat. 3, p. 96: εἰ τὸ οἰκεῖον πιέζει πᾶν, κατὰ Πίνδαρον, ἀναγκαῖος ὁ περὶ τούτων ἔμοιγε λόγος. Gregorius Presbyter Vita Nazianzeni, p. 2: εἰ γὰρ τὸ οἰκεῖον πιέζει πᾶν, κατὰ Πίνδαρον, οἷς ἕκαστος ἥδεται, τούτοις δήπου καὶ τιμώμενος γάννυται. Scholiastes secundi loci, Montacutianæ p. 61, legebat πάνθ' in suo lyrici codice: ἐν τῇ μιᾷ τοίνυν τῶν νικῶν ἐκεῖνό φησιν (ὁ Π.), ὅτι τὸ οἰκεῖον ἕκαστον πιέζει κακόν, ὅ ἐστι πάντα ἄνθρωπον τὸ ἴδιον ἀνιᾷ κακόν.

[6] Codex, ἔγγυον. Sed ab ἔγγυς fit ἐγ-

σιν, ἔλαττον τῶν[1] τοῦ ὁρωμένου βλέποντες, διὰ τὴν τοῦ ὄμματος ἔπαρσιν καὶ τὴν ἐντεῦθεν γωνίαν μεῖζον βλέπειν οἴονται· κἀγώ, ἐγγύτερος ὢν τῶν λοιπῶν, ἔλαττον μὲν ἴσως ἔβλεπον, τῆς οἰκειότητος κλεπτούσης τὴν αἴσθησιν, ἀλλὰ μεῖζον ἐδόκουν βλέπειν, ἁπτομένου τοῦ πάθους καὶ τήκοντος ὁσημέραι, καὶ ἀναπνεῖν οὐκ ἐῶντος, κἂν ἀριστείαν εἶχον, κἂν ἐτιμώμην ἐντεῦθεν, κἂν τὰ ἥδιστα ἔπασχον. Ἐλογιζόμην τοίνυν μή πως ἀλλοτριώτερον ἔχοντες πρὸς τὸ συμβὰν οἱ πολλοί, σχοῖεν καὶ ῥαθυμότερον πρὸς ἐκδίκησιν.

Διὰ τοῦτο φθάνω τελέσας ἐγὼ ἃ πᾶς καὶ ἄλλος δικαίως κρίνων εἰργάσατο. Πατρὶ[2] γὰρ ὄντι ἐξῆν ὑπὲρ ἄλλους ταῦτα ποιεῖν, καὶ κολάζειν τὸν υἱὸν ἁμαρτάνοντα. Ὁ γὰρ οὐκ ἂν ἄλλως δικαίως, εἰ μὴ διὰ τὰ κατορθώματα, τὸν υἱὸν εὐεργετήσων, οὗτος οὐκ ἂν ἄλλως, εἰ μὴ διὰ τὰ πλημμελήματα, ἀξίως κολάσειε. Τῷ γοῦν παιδευτὴς αὐτὸς εἶναι φύσει καὶ γνήσιος, μετέρχομαι τὸ πλημμέλημα, τῷ δὲ πατὴρ αὖθις πᾶσαν[3] ἔχθρας ὑπόνοιαν πέφευγα. Καὶ γίνεταί μοι δικαστὴς ἡ φύσις τῆς προαιρέσεως, δικαίως ἀλλοτριούσης ἐκεῖνον, ὃν αὐτὴ οἰκειώσασα στεῤῥαῖς ἀνάγκαις κατεμπεδοῖ. Ἐξῆν τῷ πατρὶ καὶ ὑπὲρ τοὺς λοιποὺς νουθετεῖν, εἴ πως τὴν κακίαν ἀπόθοιτο, καὶ ὑπὲρ τοὺς ἄλλους κολάζειν αὖθις μεταβεβλημένον μηδέν.

Τί[4] γάρ; εἰ παρίστων ὑμῖν ἐκεῖνον καὶ ἐξετραγῴδουν τὴν συμφοράν, καὶ ὑμεῖς ἠλεεῖτε, καί « Παίδευε τοῦτον », ἐλέγετε· « νουθέτει τοῦτον, μηδὲν ἀνιείς »· ἐγὼ δὲ « Πολλάκις ἐνουθέτησα », ἔλεγον, « πολλάκις παρῄνεσα »· καὶ ἄλλος μὲν ὑμῶν « Νουθέτει

γιον. Passim obtinet vocalium ι υ permutatio. In Pselli opusculis p. 32, pro γερόντιον, codices duo exhibent γεράνδριον optime, modo γεράνδρυον corrigatur. Pseudo-Callisthenes, 1, 28 : πλήξας τῷ δόρατι, δορύκτητον ἔφη τὴν Ἀσίαν ἔχειν. Melior erit scriptura δορίκτητον. Idem, 1, 6 : ἐὰν.... ἴδῃς δράκοντα ἑρπίζοντα ἐπὶ σέ. Imo ἑρπύζοντα. Pachymeri Prolegomenis de Musica, p. 370, allegatus fuit ὁ Πυθαγορικὸς Ἀνδροκίδης. Rectam nominis scripturam Ἀνδροκύδης exhibet, eodem usus loco, Nicomachus Isagoge arithmetica, p. 70. De Androcyde monui ad Anecd. Gr. t. I, p. 112.

[1] Sic codex τῶν. Fort. ἔλαττόν πως.

[2] Schol. : ἀντίληψις.

[3] Est lacunula, cui potest inseri, γενέσθαι, vel εἶναι καὶ καλεῖσθαι, quarum syllabarum capax esse videtur, scriptarum compendiose.

[4] Schol. : πλαστόν.

πάλιν», ἔλεγε, καὶ ἄλλος· «Ἀλλὰ καὶ κόλαζε, σύνθλιβε, σπόδει, πλῆττε, ποινὰς ἔπαγε, καὶ τέλος κτεῖνε»· εἰ ταῦτ' ἐλέγετε, κἀγὼ τοῦ βήματος ἐξερχόμην, τί λοιπὸν ἦν ἢ τὸ κτείνειν πάλιν[1] καὶ ἐκποδὼν ποιεῖν ἀνιάτως ἐξ ἅπαντος ἔχοντα; Εἶτα ὅπερ ἂν δικαίως κρίνοντες ἐνεδίδοτε, τοῦτο γεγονὸς παραπείσει τίς ὑμᾶς, ὡς μὴ γεγονὸς δικαίως, μὴ δέχεσθαι; καὶ ποῦ δίκαιον δικαίαν μὲν τὴν ἀπόφασιν εἶναι, τὴν δὲ τῆς ἀποφάσεως πρᾶξιν ὑπεύθυνον;

Σκέψασθε[2], παρακαλῶ, καὶ πατρὸς ἐγχώρησιν τὴν ἀπὸ νόμων ἐπὶ υἱῷ, καὶ πάθος ψυχῆς δίκαιον, καὶ ζῆλον εὔλογον, καὶ πάντα ταῦτα τοῦ πατρὸς τίθετε δικαιώματα. Ὄφελον νουθετούμενος ἐπεστράφη! Καὶ τίς ἄν μου μᾶλλον εὐφράνθη καὶ ἡμέραν ἐκείνην οὐ χρυσῆν ἐτίθει, καὶ ὑπὲρ ἐκείνας[3] εἶχε τὰς ὑμνουμένας ἔννας χρυσᾶς[4], ἐν αἷς χρυσοῖ τινὲς ἦσαν ἄνθρωποι. Εἰ γοῦν ἐμοὶ τῶν ἄλλων μᾶλλον ἡ εὐφροσύνη, ἐπιστραφέντος, ἐγίνετο, πάντως, μὴ ἐπιστρέφοντος, ἡ λύπη πλείων ἐμοί. Καὶ ἄλλος μὲν τὸν φόνον λογίζεται, ἐγὼ δὲ τὴν ὀδύνην τὴν καθ' ἡμέραν καὶ τὸ ἄλγος τὸ ἀπαράκλητον, ὅτι παῖς οὕτω καλὸς ἅπαξ ἐγένετο τῶν κακῶν ἀνεπίστροφος.

[1] Πάλιν repetitum ex superiore loco.

[2] Schol. : ἐπίλογος.

[3] Sic codex. Fortasse οὐ χρ. ἐτ., ἀλλὰ καὶ ὑπὲρ ἐκείνας· id est, οὐ μόνον χρυσῆν. Notissima adverbii μόνον ellipsis in illa formula. Monui ad Eunapium, p. 355. Dionysius Hal. de Isocrate, § 9 : ταῦτα γὰρ οὐ Λακεδαιμονίοις συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι. Supplementis propositis οὐ μόνον, οὐ μόνοις, quæ non displicent viro d., facile carebitur.

[4] Sic codex. Poetæ cujusdam verba videtur sua fecisse. Sunt ἔνναι χρυσαῖ aurei anni, ætas illa aurea decantata. In tractatu de Harmonica, c. 29, p. 526, agnoscere sibi visus est v. doct. distichi reliquias, ubi hæc sunt Pachymeris verba : τὸ γὰρ μεῖζον καὶ ἔλαττον ὅρον οὐκ εἶδεν ἐπὶ τοῖς συνεχέσι ποσοῖς. Posceret elegiaci distichi versus minor : Οὐχ ὅρον εἶδεν ἐπὶ τοῖς συνεχέσσι ποσοῖς. Sed puto prosam esse omnino orationem, neque tangendam, modo rescribatur οἶδεν, de qua permutatione dictum p. 166. Isocrates Epist. 2, p. 413 : τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσών, ἡλίκας οὐδεὶς ἄλλας οἶδε γενομένας. Codex 1354, εἶδε, quod nec malum. Leonidas Tar. de Leone, Anth. 6, 263 : Μοσχείου δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα Βληθείς, ἀχθεινὰν δ' εἶδε βοοκτασίαν. Ibi est varietas οἶδε, a Jacobsio rejecta, quem vide. Callimachus Epigr. 24 : Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν· id est παθών. Ibi Anna Fabri. Æschylus Agam. 458 : Μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι. Et olim de ἰδών illo sensu monui ad ejus Supplices, 217. Terentius Ad. 5, 4, 13 : « quam ibi miseriam vidi » ! cum nota Westerhovii. Adde Lachmanni v. d. notam ad Propertiana 1, 1, 12 : « Ibat et hirsutas ille videre feras ».

Διὰ τοῦτο ἐλεεῖτε τὸν πατέρα δύστηνον, οὐχ ἧττον διὰ τὰ ὕστερα ταῦτα ἢ τὰ πρότερα. Καὶ εἰ μὲν βούλεταί τις, μιμείσθω τὸν ζῆλον· εἰ δ' οὖν, ἕκαστος τὰ ἑαυτοῦ στεργέτω, κἀγὼ τάδε. Κἂν υἱός τῳ εὐδοκιμῇ, ἀποδεχέσθω, καὶ κρείττω τῆς ἰδίας ζωῆς τὴν τοῦ παιδὸς ἡγείσθω, καὶ πλέον ἐχέτω τὸ αὔχημα ἐπ' ἐκείνῳ, εἰ χρησιμεύοι, πολλάκις χρήσιμος γεγονώς[1]· κἂν ἀκόλαστος ᾖ καὶ ἀνάγωγος, νουθετείτω, σωφρονιζέτω[2], ποικίλως τὴν θεραπείαν μεταχειριζέσθω, εἴ πως παιδαγωγήσοι καὶ ἀνακτήσαιτο· εἰ δ' οὖν, ἀλλὰ καὶ κτεινέτω. Κρεῖττον ἄπαιδα εἶναι ὁντιναοῦν ἢ κακόπαιδα. Ἐκεῖνο γὰρ ἀνεκτόν, καὶ τὸ πάθος οἶδεν ἡ φύσις· τοῦτο δὲ καὶ φύσιν ἀλλοτριοῖ καὶ τῶν ἀνυποίστων ἐστίν.

Οἶδα πολλάκις θαυμάσαντάς μου τὴν ἀριστείαν ὑμᾶς· οἶδα λαβὼν παρ' ὑμῶν ἐπαίνους καὶ κρότους καὶ δωρεάς· οἶδα συνερχομένους ἅμα παισί, καὶ τὰ ἐπινίκια θύοντας. Καὶ ὁ ἀριστεὺς τότε τῆς μὲν ἀριστείας εὐδαιμονίζετο, τῆς δὲ κακοτεκνίας ἐταλανίζετο. Πῶς οἴεσθε φέρειν με τὴν ἡμέραν ἐκείνην, καὶ τίνα νοῦν ἔχειν ἐπὶ τοῖς τελουμένοις; Ἀνελογιζόμην ἂν τὴν εὐφημίαν ἢ τὴν ἐμὴν συμφοράν, τοὺς τῆς νίκης κρότους ἢ τὸ τῆς ψυχῆς πάθος; πολλάκις ἀπελεγόμην[3], πιστεύσατε, καὶ πρὸς αὐτὴν τὴν ζωήν, καὶ ἤθελον κεῖσθαι παρὰ τὸν πόλεμον νεκρός, ἀναίσθητος, ἢ ζῆν οὕτως ἀθλίως, κἂν ἐπηνούμην νικῶν. Τέως ἐμοὶ μὲν οὕτως ἔδοξε μόνως μικρὸν ἀνεῖναι τῆς λύπης, εἰ μὴ ζῶν ὁ παῖς τοιοῦτος ὁρῷτο· ὑμεῖς δὲ ἀλλ' ὅπως ἂν ἐθέλοιτε δέχεσθαι τὸ πραχθέν, κἂν κολάζειν δέοι, κἂν ἀφιέναι, οὐ διαφέρομαι. Ἀγαπητὸν ὅτι οὐκ εἰςπράττομαι δίκας ῥιψάσπιδος, οὐ φυγοπολέμου τρόπου κολάζομαι, οὐκ ἄλλο τι τῶν δεινῶν ἐγκαλούμενον ὁ κατ' ἐμοῦ λέγων ταῖς ὑμετέραις ψήφοις αἱρεῖ. Ἀριστεὺς ἀποθνήσκω, καὶ τόσον φρονῶν τὰ τῆς πόλεως, ὥςτε μηδ' ἀνέχεσθαι ὅλως, εἰ μὴ ὅλον γένος ἐμὸν ταῖς ἀριστείαις συνεξετάζοιτο. Εἰσὶν ἀριστεῖς καὶ ἐν ᾅδου, εὐκλεῶς πεσόντες ὅπου τοῖς νέοις πίπτειν καλόν. Ἐκεῖνοι μαθόντες θαυμάσονται, ἐκεῖνοί με τῆς γνώμης, ὡς εἰκός, ἀποδέξονται[4].

[1] Fortasse : ἢ εἰ χρησιμεύοι αὐτὸς πολλ.

[2] Cod., σωφρονιζέσθω.

[3] Ἀπελεγόμην] idem verbum p. 65, 3.

[4] Cod., ἀποδέξωνται, permutatis de more ω et ο. Heliodorus, 1, 24 : ἣν τῷ

Ἕνα τῶν ἐμῶν πολεμικῶν ἀγώνων καὶ μάλα βίαιον ἐκεῖνον ἐλογιζόμην πρότερον, καθ' ὃν ἔνθεν μὲν ἡ φύσις ἀνθίστατο, ἐκεῖθεν δ' ἡ γνώμη ἀντεπολέμει· ἡ μέν, ὅτι παῖς καὶ τῶν ἐμῶν σπερμάτων ὁ πλημμελῶν· ἡ δέ, ὅτι ἀλλ' ἀριστέως ὄντα παῖδα οὐ χρὴ τοιοῦτον εἶναι, οὐδὲ ζῆν τοιαῦτα διαπραττόμενον. Νενίκηκα τοιγαροῦν κἀκεῖνον τὸν πόλεμον σὺν θεοῖς, καὶ φύσις ἡττήθη τὸ βιαιότατον ἀπ' εὐσταθοῦς γνώμης καὶ φιλοπόλιδος.

Νῦν δ' ἄλλον ἀγῶνα καὶ πόλεμον ἡ τύχη παρασκευάζει ἐπὶ τοῦ ὑμετέρου[1] τούτου δικαστηρίου, καὶ ἔστιν ἀντίπαλος ὁ κατήγορος. Νικήσω, θαῤῥῶ, καὶ τοῦτον. Καὶ τίνα τρόπον; Οὐκ ἀφεθήσομαι, λέγω· τοῦτο γὰρ ἐφ' ὑμῖν κεῖται καὶ μόνοις· καὶ ὅπως συμπέσοιμι οὐ διοίσομαι. Ἀλλ' εἰ καὶ φονεύειν προαιρεῖσθε, ἀσμένως δέξομαι τὴν σφαγήν, καὶ δείξω τότε μὴ μόνον ἐπὶ γνησίῳ παιδὶ τὴν φύσιν νικήσας, ἀλλὰ καὶ ἐπ' ἐμαυτῷ καὶ τῇ ἰδίᾳ ζωῇ. Καὶ ἄλλον δέχομαι κίνδυνον τοῦτον ὑπὲρ τῆς πόλεως, κἂν μὴ πολέμιος κτείνῃ, ἀλλ' ὑμεῖς, ὑπὲρ ὧν τὰ πολλὰ πεπραγμάτευμαι.

Μόνον τοῦτο παρακαλῶ, προθύμους εἶναι πάντας ὑπὲρ τῆς πόλεως, καὶ πάντα τρόπον ἐνάγειν πρὸς τοῦτο καὶ τοὺς υἱούς·

Θεαγένει βοτάνην ὑπέσχετο τῇ προτεραίᾳ, μαστεύων ὀλίγον τῆς λίμνης ἄποθεν ἐπορεύετο. Codex Venetus μαστεῦσον. Scripto μαστεύσων, lectio fit probabilis. Scholiastes Aristidis, t. III, p. 22 : τὸ παραπλεῖν ἐπὶ παραθαλασσίων λέγεται· τὸ δὲ περιπλεῖν ἐπίνησον. Imo ἐπὶ νήσων. Et sic inferius. Himerius Orat. 3, 8 : ὦ θεοῖς μὲν φίλε, θεοῖς δὲ πρέπον εἰκάζεσθαι. Scribere secure potuit Wernsdorfius πρέπων, quod repertum in codicibus reliquit in nota. Et ipse reperi πρέπων. Gregorius Naz. Epistola ad Libanium : μήτηρ πατρὶ πέπομφα παῖδα, ἡ κατὰ φύσιν τὸ κατὰ λόγους. Codex mihi obtulit τῷ optime, scilicet τῷ πατρί. Fuit enim Libanius Gregorii magister, et magistri sæpius patres vocantur a discipulis. Mich. Choniates, Encomio Isaaci Angeli, quod primus edidit nuper Tafel. vir d., § 7 : πάρειμι δεῦρο θεατὴς ἅμα καὶ τολμηρῶς ἐπαινέτης βασιλικῆς καὶ θείας μεγαλειότητος. Fortasse τολμηρός legendum. Lydus de Magistr. p. 38 : ὅτι δὲ Τίτος Τάτιος τὴν προσηγορίαν ἐκεῖνος εἶχεν. Legendum videtur ἐκείνως. Euripides Inone Fr. 4 : Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν, Ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται. Olim conjeci προσπόλων, quod Matthias non intelligere se dixit; ego quidem sic intelligere mihi videbar : χρὴ γυναικὶ ἐκ τῶν προσπόλων τοιάνδε ἐᾶν, ἥτις.... Sequitur versus, Τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθάλμους ἔχει, in quo, sono non mutato, vocales mutarem : μισοῖ, ἔχοι. Himerius Orat. 23, § 6 : φθόνου δὲ ἴσως οὐχ ἅλις, ἕως ἂν οἱ λόγοι χρυσαῖς κουφίζονται πτέρυξι· πάλιν φθεγγώμεθα, πάλιν χορηγῶμεν ἐν τῷ φθόνῳ. Bene codex ζων, et caret præpositione ἐν.

[1] Codex, ἡμετέρου.

κἂν μὴ θέλοι τις μιμεῖσθαι καὶ τὴν ἐμὴν πρὸς τὸν υἱὸν παίδευσιν, φόβῳ τυχὸν δίκης ἧς ὑπέστην ἐγώ, ἀλλ' οὖν μιμεῖσθαι τοὺς ἀγῶνας καὶ τὴν σπουδήν, καὶ ἀριστεύειν θέλειν, καθὼς ἐμὲ καθ' ἑκάστην ἐβλέπετε.

ΜΕΛΕΤΗ ΙΒ'.

Τριακόσιοι νύκτωρ τῶν πολεμίων ἀποδράντες καὶ πρὸς ταῖς πύλαις τῆς πόλεως γενόμενοι, ἱκέτευον τὸν στρατηγὸν ἀνοῖξαι[1] τὰς πύλας τῆς πόλεως εἰς τὸ εἰςελθεῖν καὶ σωθῆναι. Νόμου ὄντος μὴ νύκτωρ τὰς πύλας ἀνοίγεσθαι, οὐκ ἤνοιξεν ὁ στρατηγός. Φθάσαντες οἱ καταδιώκοντες ἀνεῖλον αὐτούς. Καὶ κρίνεται ὁ στρατηγὸς δημοσίων ἀδικημάτων[2]. Μελετῶμεν τὸν κατήγορον[3].

Μηδείς[4], ὦ παρόντες, νομίσῃ βασκαίνοντά με τῆς δόξης τῷ στρατηγῷ τὴν γραφὴν ταύτην ἐνστήσασθαι κατ' αὐτοῦ. Ἐγὼ γὰρ τὴν αὐτοῦ δόξαν δόξαν ἡγοῦμαι τῆς πόλεως. Τὸ γὰρ αὐτὸν νικῶντα δοξάζεσθαι παρ' ὑμῶν αὐτῷ μὲν ἁπλῆν φέρει τὴν εὔκλειαν, ὑμῖν δέ, ἄν τις ὀρθῶς λογίζοιτο, πολλαπλῆν, ὅτι τε τοιούτους ἡ πόλις τρέφει καὶ ὅτι νικῴη, καὶ ὅτι τοὺς νικητὰς φιλοτίμῳ τρόπῳ ἐκ τῶν ἐνόντων[5] ἀμείβοιτο. Τὸ γοῦν βασκαίνειν πόλει τοιαύτῃ πολίτην καὶ

[1] Codex, ἀνοίξαι.

[2] Vide p. 41, n. 2. Hermogenes de Invent. c. 1, p. 115, exemplum exhibens accusationis δημοσίων ἀδικημάτων, isto usus est argumento. Et in codice 2992, inter problemata rhetorica εἰς τὰς στάσεις hocce reperi : Νόμος ἦν ὁ κωλύων στρατηγὸν μὴ ἀνοίγειν νύκτωρ τὰς πύλας. Αἰχμάλωτοι, ῥήξαντες τὰ δεσμά, νυκτὸς ἦλθον ἐπὶ τὴν πόλιν, ἀξιοῦντες εἰςελθεῖν. Ὁ δὲ στρατηγὸς εἴασεν αὐτοὺς ἔξω, μὴ ἀνοίξας. Προςπεσόντες τε οἱ πολέμιοι κατέκοψαν αὐτούς. Καὶ κρίνεται ὁ στρατηγὸς δημοσίων ἀδικημάτων.

[3] Schol. : ἡ στάσις, μετάστασις. Cf. schol. p. 207, n. 3. De μελετῶμεν sæpius monitum. Vide p. 186, n. 2.

[4] Schol. : τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ κατηγόρου. Τὸν φθόνον γὰρ ἐκκρούει.

[5] Formulam ἐκ τῶν ἐνόντων illustrat Schæfer. ad Schol. Apoll. Rh. p. 65; cf. Heind. ad Phædr. § 24; Brem. ad Dem. Cor. § 190. Bessario Laudatione inedita Cleopæ Palæologinæ : οὐδ' ἦν ὅςτις αὐτῶν οὐ διὰ λόγου καὶ πολλῆς ὑπῆρχε φροντίδος αὐτῇ· πάντων δὲ διετέλει κηδομένη τὸ καθ' αὐτὴν καὶ μάλα πολλὴν ἐκ τῶν ἐνόντων πρόνοιαν ποιου-

ταῦτα[1], ὅμοιον ὡς ἄν τις αὐτῷ τῶν μελῶν τῶν ἰδίων ὑγιαινόντων βασκαίνοι. Ἀλλ' ἐπειδὴ πολίτης κἀγὼ ὁποιοσοῦν καὶ ἡλίκος, ἀλλ' οὖν πολίτης τῆς ὑμετέρας[2], ἔπαθον δεινῶς τὴν ψυχὴν τῶν συμβάντων ἕνεκα, καί, ὥςπερ ἂν εἰ καλόν τι ξυνέπεσε, συνῆλθον ἂν κἀγὼ τοῖς πολλοῖς συναγάλλειν μὲν καὶ τὸν αἴτιον, συμμετέχειν δὲ καὶ τῆς εὐφροσύνης ὑμῖν, οὕτω καὶ τὰ νῦν ἥκω ἅμα μὲν συμπενθήσων ὑμῖν τῆς ἀποβολῆς τῶν ἀνδρῶν, ἅμα δὲ καὶ τὸν αἴτιον ὑπομνήσων, ὡς ἂν μὴ λάθοι κακὸς[3] ὤν, τὴν δίκην διαφυγών. Διὸ δέομαι καὶ ἀντιβολῶ μικρὸν ὑπανεῖναι τῆς λύπης καὶ τοῖς λόγοις προσχεῖν, ἵν', οἷς ἐδοξάζετε τὸν νικῶντα ψηφίσμασι, τούτοις τὸν ἁμαρτόντα κολάζοντες, δικαίως ποιεῖν καὶ κατ' ἀμφότερα δόξαιτε.

Ἐγὼ[4] μὲν ὀλίγα ὑμῖν ἐπιμίσγω[5], καὶ οὐ τὰ πολλὰ χραίνω τὸν τοῦ βουλευτηρίου κύκλον· ὅμως πολλάκις ὑμᾶς οἶδα οὔπω καλῶς συναχθέντας εἰς βουλευτήριον κἀκεῖθεν μετακεχωρηκότας εὐθύς, καὶ ἀπαντῶντας εἰς δικαστήριον, καὶ ὃν συνήχθητε τέως συμβουλεύειν ὅπως δεῖ στεφανοῦν εὖ πράττειν δόξαντα, τοῦτον κρίνειν ὁρμήσαντας, τινὸς ἀντειπόντος καὶ τὰ κάκιστα προςαγγείλαντος. Καὶ οὐ μῶμος τοῦτο, ἀλλ' ἔπαινος. Καὶ γὰρ οὕτως ἔχει, καὶ χρὴ ὑμᾶς μὲν ἑτοίμους εἶναι, πρὸς ὅ τι δὴ καὶ ἀκούσαντες εὕροιτε, ἢ κολάζειν ἢ στεφανοῦν, ὡς μήτε τὸ κακὸν ἀμελεῖσθαι, μήθ' ὑπερφρονεῖσθαι τὸ ἀγαθόν, τοὺς δ' ἄλλους ὑμᾶς καθάπερ

μένη. Similis est formula ἐκ τῶν παρόντων apud Lysiam in Erat. Tyr. p. 246: ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. Isocrates Ep. 1: ὡς οἷόν τέ ἐστιν ἐκ τῶν παρόντων. Procopius B. P. 1, 9, p. 46: ἐκ δὲ τῶν παρόντων.... τοὺς ἐπιόντας ἠμύνοντο. Plutarchus Pyrrho, 15: βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως· et mutato numero Coriol. 27: ἐκ τοῦ παρόντος ἐβοήθουν. Adde Fritzsch. Lectt. Luc. p. 180. Locutionem significationis parilis, ἐκ τῶν δυνατῶν, sæpius usurpavit Noster: vide p. 112.

[1] Πολίτην καὶ ταῦτα] vide p. 217, n. 1.

[2] Ὑμετέρας] scilicet πόλεως. Cf. p. 189, n. 5.

[3] Cod., καλός, si bene legi. Visum est corrigere κακός. Quæ vocabula sæpius fuerunt permutata. Vide quæ annotavi ad Trachinias, 57, ubi pro edito καλῶς proposui legendum κακῶς, quam conjecturam ante me fecisse Hermannum serius cognovi. Ejus quidem illum pœnituit, me nondum. Saltem fatendum est cum edito adverbio καλῶς sententiam esse valde contortam.

[4] Schol.: δεύτερον προοίμιον ἐξ ὑπολήψεως τοῦ ἔχοντος τὸ ἔγκλημα.

[5] Codex, ἐπιμίγω.

κύνας θηρατικοὺς ἰχνηλατεῖν[1], καὶ σκοπεῖν ὅπως αἱ ψῆφοι περὶ ὧν ἂν καὶ σκοποῖσθε γίνωνται δίκαιαι.

Ὁ δὴ παρὼν στρατηγὸς οὗτος ἐπὶ καιροῦ φανεὶς ἀγαθὸς δοκεῖ τισὶ καὶ τὴν σήμερον αἴτιος γεγονέναι νίκης τινός, κἂν πολλοὶ παραπώλοντο. Ἐγὼ δὲ τῶν ὕστερον συμβάντων κακῶν καὶ μόνον αὐτὸν αἰτιώμενος, ἱκανὸς σὺν θεοῖς εἰμὶ δεῖξαι προςὸν αὐτῷ τὸ μέγα τοῦτο πλημμέλημα. Καὶ ὑμῖν τοὐντεῦθεν μελήσει ὅπως αὐτὸν μετελεύσεσθε. Οὐδὲ γὰρ ἁπλῶς ἐζημιώσθε, ἀλλὰ πέπτωκε τὸ τῆς πόλεως ἄνθος διὰ τουτονὶ τὸν χρηστόν[2]· κἂν πού τι καὶ ἔπαθον οἱ ἐχθροί, ἀξίαν λαβόντες τὴν θεραπείαν, ἀνέπνευσαν, καὶ τὰ ἐκείνων περιέστη τῇ πόλει, καὶ χαλεπὸς θροῦς πανταχοῦ ταύτης, καὶ οἰμωγαὶ καὶ θρῆνοι καὶ δάκρυα, ἑκάστης ζητούσης τὸν υἱόν.

Μᾶλλον δέ, ὡς ἂν καθ᾽ ὁδὸν ὁ λόγος προΐοι, ἀναλαβὼν διηγήσομαι.

Ἔδει[3] γὰρ μηδὲ τὴν ἀρχὴν στρατηγὸν αἱρεῖσθαι τοῦτον ἐν τοιούτοις μεγίστοις ἀγῶσιν, ὃν οὐκ ἐπὶ μετρίοις ἄλλοις ἐδοκιμάσαμεν πρότερον. Οὐδὲ γὰρ ἂν καὶ τὰ κατὰ τὸν πόλεμον τοῦτον οὕτως ἐσφάλη, ὡς ὀνόματι νίκης ἀποβαλεῖν τοὺς κρείττονας καὶ θάῤῥος οὕτω νέων ἀρεϊκῶν[4], ἔστιν ὅτε καὶ παραλόγως ὁρμώντων τῇ κατὰ πόλεμον ἕξει, μηδ᾽ ὁπωσοῦν ἔχειν τὸν μετ᾽ ἐπιστήμης ἀκριβοῦς διοικούμενον. Παρ᾽ ἣν αἰτίαν καὶ νίκη, τὸ τοῦ λόγου, Καδμεία[5] γέγονε· γέγονε δ᾽ ὅμως. Καὶ ὅσον μὲν τὸ μέρος τοῦ

[1] Aristænetus, 1, 18, post Platonem ὥςπερ οὖν αἱ Λάκαιναι σκύλακες εὖ μεταθεῖς τε καὶ ἰχνεύεις. Ibi Wyttenb. p. 478. Metaphora canum Laconicorum non inepte utitur personatus Themistocles Epist. 9, 12 : διαφευξόμεθα τούς τε οἴκοθεν ἐπὶ τὴν θήραν ἡμῶν ὡρμημένους κυνηγέτας, καὶ τοὺς Λακωνικοὺς κύνας. Significat Spartanos.

[2] Χρηστός sæpe cum ironia, apud hunc sophistam. Vide pp. 109, 112, 114, 160, n. 3.

[3] Schol. : προκατάστασις.

[4] Cod., ἀρρεϊκῶν. Et sic infra male duobus locis. Nec aliter in Progymn. c. 4 scriptum, ἄνδρας ἀρρεϊκούς, Walzio ἀρεϊκούς corrigente. Recte supra ἀρεικός p. 127, et Progymn. c. 11, μετά τινος ἀρεϊκοῦ φρονήματος. Noster et de Rogerio Hist. Andron. 5, 16, p. 395 : ἦν γὰρ ταῖς ἀληθείαις, ὡς ἔδοξε, καὶ λῆμα ἔχων γενναῖον καὶ πλέως ἀρεϊκοῦ φρονήματος, πολλῷ δὲ μᾶλλον καὶ τῷ τῆς γνώμης σπουδαίῳ καὶ βαθυσκόπῳ λαὸν δουλαγωγῶν. Codex πλέον, male. Καί ante βαθ. debetur conjecturæ Bekkeri, quam codex confirmat.

[5] De νίκῃ Καδμείᾳ plurima in Barthii nota et mea ad Zachariam, pp. 336, 433. Adde scholia ad Aristidem, t. III,

στρατηγοῦ καὶ κίνδυνος ἂν τῶν ἐσχάτων τῇ πόλει ἐπισυνέβη, τῷ δὲ περιόντι τῆς τῶν πολιτῶν δυνάμεως οὕτω συνέβη τὰ κατὰ τὸν πόλεμον. Ἔδει τοίνυν ζητεῖν ὑμᾶς τὴν ἀρχὴν οἵῳ τὰ τῆς πόλεως πράγματα παραδώσετε, καὶ μὴ παρακρουσθέντας ταῖς πιθανότησι τῶν πολλῶν, ὑπερβάντας τὸν ἄξιον, χειροτονεῖν τοῦτον ἐπὶ τῷ σφέτερῳ κακῷ, ὡς αὐτό, φασίν, ἔδειξεν[1].

Ἀλλ' ἐπειδὴ[2] *τὸ ἐξαίφνης καὶ πλείστῳ τῷ παραλόγῳ συμβὰν δουλοῖ τὰ φρονήματα καὶ οὐκ ἐᾷ βουλεύεσθαι τὸ συνοῖσον ἐπὶ σχολῆς, ἀγγέλλεται κἀκείνη τῶν πολεμίων ἔφοδος μηδὲν ἡμῖν προςδοκήσασι. Καὶ ταράττονται παρευθὺς πάντες, καὶ στρατὸς μὲν συνήθως ἦν ἀξιόμαχος, ζητεῖται δὲ καὶ ὁ καθηγήσων*[3] *τούτων, καὶ ὥςπερ ἐπὶ τῶν ἐξαίφνης ἀπὸ νηὸς κατὰ θαλάσσης πεσόντων γίνεται, τοῦτο καὶ ὑμῖν τότε συμβαίνει. Ἐκεῖνοι γάρ, τῶν κυμάτων ὑπερσχόντων, καὶ ὅσον οὐκ ἤδη πρὸς ὕδωρ χανεῖν*[4] *καὶ θανεῖν κινδυνεύοντες, θέλοντες τὸν κίνδυνον ἐκφυγεῖν καὶ τοῦ παρατυχόντος ἅπτονται ὥς τινος ἐρύματος ἰσχυροῦ, κἂν φύκιον ᾖ, κἂν ἄλλο τι τῶν φαύλων καὶ εὐτελῶν· καὶ ὑμεῖς τοῖς φοβεροῖς περιστοιχιζόμενοι ἅμα συνήχθητε πρὸς βουλήν, καί, τινος ἀναμνήσαντος, εὐθὺς τὸν λόγον ἐδέξασθε, καὶ τοῦτον ἐς μέσους ἐνεγκόντες, στρατηγόν, ὦ Ζεῦ καὶ πολιοῦχοι θεοί, στρατηγὸν ἐχειροτονήσατε, οὐχ ὡς, μὰ τὴν ἀλήθειαν, εὐθὺς τῶν πραγμάτων ἀμελῶς ἀψό-*

p. 497; Frommelianæ, p. 88. Eusebius Stobæi Tit. 4, 102 : *τῷ χείρονι λόγῳ νικᾶν, νικῶντες ἀξίην κεκλῆσθαι νίκην Καδμηΐην*. Variata locutione Meleager, *Κάδμειον κράτος οἴσομεν*, Ep. 52, ubi Jacobs.

[1] Proverbium *αὐτὸ δείξει*, scilicet *τὸ ἔργον, τὸ πρᾶγμα*, adhibuit Aristænetus, 1, 4, ubi notæ p. 302. Plato Theæt. § 137 : *ἔφη ἄρα δείξειν αὐτό*. Ibi Heindorf., quem vide et ad Hipp. Maj. § 18. Æschines Tim. p. 35 : *πωλεῖν ἑαυτὸν προῃρημένος, ὡς αὐτὸ ἔδειξεν*. Philostratus variata formula V. A. 5, 30 : *αὐτά, εἶπεν, αὐτὰ δηλώσει*. Vult Olearius esse posterius *αὐτά* pro *ἑαυτά*· malim repetitum esse *αὐτά* cum emphasi. Et sic intellexit Tupius Emend. t. IV, p. 214, 377. Etiam locutionem efferebant sine ellipsi. Sophocles Aj. 355 : *Δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει*. Demosthenes in Lacr. p. 25 : *ὡς αὐτὸ τὸ ἔργον ἐδήλωσεν*. Idem in Eubul. p. 107 : *ὡς τό τε ἔργον ἐδήλωσεν καὶ ὑμῖν μεμαρτύρηται*. Julianus Ep. 59 : *τὰ πρᾶγμα αὐτό, φασί, δείξει*. Ibi Heyler, p. 437.

[2] Schol. : *κατάστασις*.

[3] Sic codex. Non potuit, puto, Pachymeres scribere *καθηγήσων*. Fortasse reponendum *καθηγεμών*, vel *καθηγησόμενος*. *Καθηγῶ* esset hic loci nimis χυδαϊκόν. Meminit Corayus hodierni verbi *ἐξηγῶ*.

[4] *Πρὸς ὕδωρ χανεῖν*] ex Homero. Vide p. 141, n. 1.

μενον καὶ τοῦ πολεμικοῦ καθήκοντος ῥαθυμήσοντα[1], οὐδ' ὡς καταπροησόμενον[2] τοῖς ἐχθροῖς τοὺς ἡμετέρους συμμάχους, εἰ καὶ παρὰ λόγον πολλάκις ἄττοιεν· ἀλλ' ὡς μελέταις πολεμικαῖς καὶ σπουδαῖς παντοίαις φυλάξοντα μὲν καὶ τὰ καθ' αὐτόν, φυλάξοντα δὲ καὶ τοὺς ἄλλους τοὺς σὺν αὐτῷ. Ὃ γὰρ κεφαλὴ σώματι, τοῦτ' αὐτὸς ἐκείνοις ἦν, καὶ ἔδει καλῶς προνοεῖσθαι ὥστε καὶ νικᾷν καὶ μηδὲν ἐλλείπεσθαι, ὡς κρεῖττον μακρῷ ὂν περισώζεσθαι τοὺς ἡμετέρους μετ' ἀσφαλείας, ἢ νικᾷν ἐπισφαλῶς τοὺς ἐχθρούς.

Ἀλλ' οὗτος, οὐκ οἶδ' ὁπόθεν μαθὼν τὰ πολεμικά, εἵλετο νικᾷν μόνον, κἂν ξυμβαίη πάντας πεσεῖν.

Νικᾷν, ὦ οὗτος, χρή, ἀλλὰ καὶ μετ' εὐβουλίας καὶ ἀσφαλείας ἁπάσης· κἂν ἀπῇ τὸ ἀσφαλές, μάταιος ἡ νίκη.

Ἀλλ', ὅπερ ἔλεγον, συστάντος τοῦ πολέμου καὶ καταῤῥαγείσης τῆς μάχης, καὶ τῶν ἐχθρῶν ἤδη δίκην συῶν[3] ἐπειςπιπτόντων, ἔδει μὲν τότε πολεμικῆς ἐμπειρίας καὶ εὐβουλίας τῷ στρατηγῷ, ὥςτε συστάδην τάττειν τοὺς στρατιώτας, καὶ συγκροτεῖν κατά τινα συνασπισμὸν ἀῤῥαγῆ, ὃν Ὅμηρος λέγει, καὶ τοίχῳ καλῶς ἡρμοσμένῳ παρεικάζει[4] τὸ στράτευμα. Ὡς γὰρ βίας ἀλεείνει πνευμάτων τὸ οἰκοδόμημα καλῶς ἀραρός[5], οὕτως ἐμβολὰς πολεμίων ὑφίσταται καὶ τὸ στράτευμα καλῶς συνταττόμενον.

Ἀλλ' οὗτος τὰ τῆς εὐβουλίας παρ' οὐδὲν ἡγησάμενος, μαργῶν τοὺς εἰς πόλεμον νέους ἀνίησι, καὶ τὸ ἀσύντακτον σφάλλει τούτους. Καὶ πίπτουσι μὲν οὐκ ὀλίγοι, ἁλίσκονται δὲ καὶ συχνοί, καὶ τέλος, εἰ μὴ τύχη τις εὐμενὴς ὑπερεῖχε τὴν χεῖρα τῆς πόλεως, ἄρδην ἂν ἀπώλοντο τὰ ἡμέτερα. Ἀλλ' ἅμα τῇ τύχῃ καὶ ἡ τῶν ἀνδρῶν ἀρετὴ νικᾷ καὶ τὴν τοῦ ἡγεμόνος κακότητα, καὶ καθ' αὐτὴν γεγονυῖα, ὥςπερ ἂν οὐ στρατηγὸν εἶχον, καὶ μόνη τὸν πόλεμον διοικοῦσα, πολλὰ παθοῦσα καὶ μόγις περιγίνεται τῶν ἐχθρῶν. Καὶ ἡ δευτέρα φροντίς, ἡ χωρὶς στρατηγοῦ, σοφωτέρα τῆς πρώ-

[1] **Καθήκοντος ῥαθυμοῦντα**] Eadem syntaxis p. 117, n. 1.

[2] Cod., καταπροσόμενον. Scripsi καταπροησόμενον.

[3] Hac comparatione συῶν jam est usus. Vide p. 126, n. 1.

[4] Homerus Il. 16, 212: Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισιν Δώματος ὑψηλοῖο βίας ἀνέμων ἀλεείνων· Ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.

[5] Conf. Hom. et Il. 23, 712.

της[1] γίνεται, ἐκείνης δηλαδὴ τῆς μετὰ τοῦ στρατηγοῦ. Οὐ γὰρ ἀνῆκαν κτείνοντες μέχρις οὗ καὶ πολλῷ τῷ περιόντι[2] καθυπερτέρησαν.

Καὶ ταῦτα μὲν οἱ ἡμέτεροι· οἱ δ' ἐχθροὶ τὴν μετ' αἰσχύνης ἧτταν μὴ φέροντες, ὅμως ἐπὶ τοῖς ἑαλωκόσιν ἠγαλλίων, καὶ πολλὴν εἶχον τὴν ἐπὶ τοῖς δεινοῖς παραμυθίαν, ὥςπερ αὖθις ἡμεῖς, ἐπὶ τῇ τῶν ἐχθρῶν μετ' αἰσχύνης καὶ ζημίας ἀναχωρήσει καὶ φυγῇ χαίροντες, ἐπὶ τῇ τῶν ἀνδρῶν ἀποβολῇ καὶ λίαν ὀδυνηρῶς εἴχομεν.

Ἀλλ', ἐπειδὴ θεός τις ἐπὶ νοῦν δίδωσι τοῖς πολίταις, καὶ ῥηγνῦσι μὲν τὰ δεσμά, λανθάνουσι δὲ τοὺς φυλάσσοντας, καὶ πρὸς τὴν ἡμετέραν[3], εἴτουν[4] αὐτῶν ἀνατρέχουσι νύκτωρ, πνευστιῶντες, οἷον καὶ τὸ ζῆν ἐν ῥισὶν ἔχοντες, ἐπιπίπτουσι μὲν ἐκεῖνοι ταῖς πύλαις, ὡς εἰκός, κεκλεισμέναις· ἀγγελθὲν[5] δὲ τῷ στρατηγῷ

[1] Respectu ad versum Euripidis nobilem Hippolyto : Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. Quæ sententia in proverbium abiit apud veteres. Vide Erasmi Adagia, 1, 3, 38. Potest conferri simile adagium δεύτερα ἀμείνονα, de quo egi ad Anecd. Nova, pp. 58, 227. Angli proverbialiter Euripidea sententia sæpe utuntur. Fenton, cujus hæc est eritque semper laus maxima, quod Odysseæ quatuor libros ab ipso Popianæ conversioni contributos non queant critici vel peritissimi ab illis distinguere quos magnus Anglicorum carminum artifex scripserit; Fenton igitur : « Hold, sir, for second thoughts are best, The husband cry'd ». Bagius : « Second thoughts are best, say the people of grey hairs ». Shenston : « Second thoughts oftentimes are the very worst of all thoughts ». Præferebat τὰς τρίτας φροντίδας vir ille ingeniosus, quem legat, si cui talia placent, t. II, pp. 193, 226.

[2] Τῷ περιόντι] cf. p. 124; An. Nov. 226.

[3] Eadem ellipsis nominis πόλις p. 230.

[4] Cod., εἴτ' οὖν. Vide p. 196, n. 1.

[5] Ἀγγελθέν pro genitivo absoluto ἀγγελθέντος, idiotismo frequentissimo. Eunapius, οὕτως ἐπιταχθέν, ubi mea nota p. 341. Tiberius Rhetor, § 11, p. 26 : τοῦτο γὰρ τὸ νόημα ἐνὸν.... εἰπεῖν· ubi et nonnihil annotationis adposui. Æschylus Ag. 1592, σωφρονεῖν εἰρημένον· ubi illam scripturam frustra tentatam vindicare conabar. Thucydides, 1, 140 : εἰρημένον γὰρ δίκας.... διδόναι· ubi schol. : ὑπεσχημένου ὄντος τοῦ πράγματος. Heliodorus, 1, 12 : οὕτω συγκείμενον αὐτῷ πρὸς τὴν Δημαινέτην· nec aliter 2, 9. Demosthenes in Polycl. 12 : προςταχθέν μοι ὑπὸ τοῦ δήμου. Quo eodem participio sic usi Aristid. Or. 45, p. 99; Plut. Sert. 4; Heliod. 1, 8. Sophocles Antig. 664 : Καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ Καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν, Δορός τ' ἂν ἐν χειμῶνι προςτεταγμένον Μένειν δίκαιον κἀγαθὸν παραστάτην. Interpretes jungunt τὸν ἄνδρα προςτεταγμένον, bene quidem. Venor melius aliquid, προςτεταγμένον absolute intellecto ac commatibus distincto, scilicet « jusso dato », et erit προςτεταγμένον

παρὰ τῶν φυλάκων ὡς οἱ στρατιῶται τῆς πόλεως, φυγόντες ἤδη τοὺς ἐχθρούς, ἵστανται πρὸ πυλῶν, ἀνοιχθῆναι τούτοις παρακαλοῦντες τὴν εἴςοδον, οἱ δ' ἐχθροὶ κατὰ νώτου τούτοις, ὡς συλληψόμενοι, σπεύδουσι, καὶ ἔστιν ἀνάγκη τὰς κλεῖς διδόναι καὶ παραχωρεῖν ἀνοίγειν, μή πως φθάσαντες οἱ καταδιώκοντες κακῶς τοὺς ἡμετέρους ἐργάσωνται· ὡς οὖν ταῦτ' ἔλεγον οἱ φυλάσσοντες, ἐνταῦθ', οἶμαι, σκοπήσας ὁ στρατηγός — καὶ προςέχετε, παρακαλῶ, εἰ καλῶς στοχάζομαι τῶν πραγμάτων — σκοπήσας τοίνυν, καὶ συνιδὼν ὡς, εἰ μὲν τὰς πύλας ἀνοίξειε, σωθήσονται μὲν οἱ πολῖται, ἀπαντήσει δὲ καὶ τοῖς ἡμετέροις ἱκανὴ θεραπεία τῶν ἀπολωλότων κατὰ πόλεμον, καὶ οὐδὲν ἔσται τὸ κέρδος τῆς κακονοίας αὐτῷ· εἰ δ' οὐκ ἀνοίξειε, καταλήψονται[1] μὲν τοὺς φεύγοντας καὶ κτενοῦσι πρὸ τῶν πυλῶν οἱ πολέμιοι, ἡμῖν δὲ ἅμα μὲν αἰσχύνη καὶ ὄνειδος ἔσται, ὡς οὐδ' ἐντὸς τῶν κόλπων ἡμῶν ἄντικρυς καταφυγοῦσιν οἵοις τε βοηθεῖν φανεῖσιν, ἅμα δὲ καὶ λύπη καὶ ἀθυμία δεινή, ὅτι καὶ οὓς ἠλπίζομεν ἔχειν, εἰ μόνον ζῶεν ἐπὶ καιρῶν, τούτους ἀποβεβλήκαμεν τέλεον· ταῦθ' ὁ τῶν ἡμετέρων κηδόμενος στρατηγὸς οὗτος, καὶ τῆς τιμῆς ἀξίως ἡμᾶς ἀμειβόμενος, εἰς νοῦν βαλών τε καὶ λογισάμενος, κραταιῶς

idem participio citato, προςταχθέν. Judicent viri critici.

[1] Cod., καταλείψονται, permutatis de more η et ει. Gregorius Naz. Anth. 8, Epigrammate, 165, cujus est lemma in codice antiquissimo, εἰς Γρηγόριον μητριάδελφον : αἱ δὲ πάροιθεν Τῆς γηροτροφίης ἐλπίδες οὐδὲ κόνις. Est varietas, εἰσὶ κόνις, εἴδε κόνις. Non male conjecit Muratorius ἦδε κόνις, favente permutatione. Nec displicet altera lectio, εἰσί. Diocles medicus Epistola, § 4 : ὅταν τι τούτων προσημαίνει. Codex : ὅταν οὖν τι τ. προσημάνῃ. Imo προσημαίνῃ, ut § 5 : ὅταν οὖν τοιοῦτόν τι προσημαίνῃ. Georgides Gnomologio, in Anecdotis meis Gr. t. I, p. 57, versiculum affert Proverbiorum : μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ. Codicem alium vidi in quo ἐνδεῆ, quæ est ipsa Bibliorum lectio. Ibidem, p. 22, quod scripsi γλωσσώδει (pro γλωσσώδῃ) ἀνθρώπῳ μὴ διαμάχου, confirmatur codice. Ibidem, p. 46, loco anonymo, sed quem codex idem Εὐαγρίου esse in margine docet : θεοῦ φόβον σύνοικον ἔχων ἐν διανοίᾳ πάντων κακῶν ἐκφεύξει δι' ὧν αἱ τιμωρίαι. Deesse videtur articulus : ὁ σύνοικον ἔχων.... ἐκφεύξει. Est in codice ἐκφεύξῃ. Dubito de accentu, an bene eum exhibuerim. Velim scribi ἐκφευξῇ, scilicet ἔχων σύ « effugies ». Tangam sequentem sententiam : Βασιλείου. Θεραπευόμενα τὰ ὑπερηφάνου ἤθη ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκεν. Codex idem, τὰ ὑπερήφανα, bene, et ipse ὑπερηφάνου fere calamo meo titubanti tribuerim; invenioque nunc ὑπερήφανα in ipso Basilio Hom. Mor. p. 374.

ἔχεται τῶν κλειδῶν, καὶ κενοὺς ἀποπέμπει τοὺς ἱκετεύοντας. Ὡς ἂν δὲ μὴ καὶ αὖθις προςιόντες ἐνοχλοῖεν, ἐπιζυγοῦν τὰς θύρας αὐτοῖς, τοῖς οἰκέταις προςτάσσει, κἂν εἴ τι λέγοιεν μηδ' ἀποκρίνεσθαι τὸ παράπαν.

Καὶ οἱ μὲν ταλαίπωροι φεῦ! ἐκεῖνοι καὶ δυςτυχεῖς ἄνθρωποι πυλοκτυποῦντες ἐπὶ πολύ, καὶ ὅσον οὔπω ἀφιξομένους τοὺς καταδιώκοντας ἐννοοῦντες, ὅλοι γίνονται τῶν δακρύων[1] καὶ ἱκετεύουσι, καὶ τὸ κοινὸν αἷμα καὶ τὴν πατρίδα ὑπομιμνήσκουσιν· ὁ στρατηγὸς δὲ ἔκειτο ῥέγχων ἡδύ[2], ἕως οὗ ἐπιστάντες τοὺς ἡμετέρους ἀπόσφαξαν οἱ πολέμιοι, τί μὲν οὐ λέγοντας, τί δ' οὐ πράττοντας τῶν ὅσα ψυχὴν.... καὶ[3] πρὸς οἶκτον ἄγειν καὶ τὸν ἀδάμαντα[4].

[1] Ὅλοι γίνονται τῶν δ.] vide p. 115, n. 2. Ibi ὅλως pro ὅλος mendum est typorum.

[2] Redit in memoriam notissimus Nubium locus : Οἱ δ' οἰκέται ῥέγκουσιν. Agathias Ep. 26 : Οἱ δὲ νέοι ῥέγχουσι. Libanius, t. III, p. 443 : νέοι δέ, ταύτην παραλαβόντες τὴν ἐξουσίαν, καθεύδουσι, ῥέγχουσι, μεθύουσι, κωμάζουσι. Post ῥέγχ. in Morelliana est πενθοῦσι, quod delevit Reiskius, non repertum in suo Bavarico codice. Sed videtur corrigendum, non delendum. Inspiciendi alii libri. Interim propono τένθουσι.

[3] In codice lacunula est, cui respondent superius syllabæ τες τοὺς ἡμετέρ. Fortasse supplenda eo modo : τῶν ὅσα ψυχὴν κάμπτειν δύναται. Credit Reiskius esse lacunulam in hisce Libanii, t. I, p. 519 : ὁ μὲν ὑμᾶς (ἀγάλματα) ἱδρύσατο, ὑπὸ δὲ τῶν ἀτίμως ἐκβέβλησθε. Post τῶν scriptum opinatur convicium a rhetore fuisse, quod omiserunt librarii. Potuit quidem Libanius opprobrio in christianos uti, quibus etsi rerum tunc dominis non parcebat, et librarius a describendo abstinere. Sed tamen christianissimi isti librarii maledicta Libanii eaque mordacissima diligentia laudabili retinuerunt, bilem in notis marginalibus effundere contenti. Exempla e codicibus hujus Libanianæ orationis apposui ad Anecdota Gr. t. IV, p. 206. Putaverim igitur post τῶν nihil quod a Libanio scriptum fuerit nunc deesse. In articulo substitit oratoris calamus, suppresso nomine quod Joviani læsisset majestatem. Ederem, si res ad me pertineret, ὑπὸ δὲ τῶν — ἀτίμως ἐκβ. Inspecti reliqui codices rem secabunt.

[4] Ovidius A. A. 1, 659 : « Et lacrymæ prosunt; lacrymis adamanta movebis ». Martiali præivisse videtur 7, 100 : « Pontice, voce tua posses adamanta movere ». Interpretes Ovidii nomen adamanta plerumque converterunt male. Marollius : « vous pourriez amollir les diamants par vos larmes ». Interpres Hispanus : « con lagrimas ablandaréis à los diamantes ». Vernicius : « Bagnate miri ella tue guancie un poco ; Qual diamante spezzerai tu bene, Che frangere non può ferro ne foco ». Vignozzius debilius : « Col pianto si ammollisce un duro cuore ». Non semel monui de istis interpretum vernaculorum erroribus, animadvertique ἀδάμαντα apud veteriores auctores non esse lapidem pretiosum, sed ferrum idque durissimum; vide, si sit tanti nn. ad Æsch. Prom. 6, ad Hesiodum, ad Planudis Metam., etc. Interpretibus

Ἐγὼ[1] μὲν τῷ νῷ πρὸς τὰ ἐκεῖσε γίνομαι, καὶ βλέπω δυςωποῦντας τοὺς ἀθλίους ἐκείνους, καὶ ἱκεσίους χεῖρας ἐκτείνοντας, « Οἰκτείρατε » ἴσως λέγοντας, « κἂν ὑμεῖς, ξένοι· ἐπεί τοίγε οἱ ἡμεδαποὶ καταπροδιδοῦσιν. Ἑκόντες ὑμῖν ἑπόμεθα. Χρᾶσθε ὅ τι καὶ βούλεσθε[2]. Μόνον χαρίσασθε τὴν ζωήν ». Ἐπεὶ δ' οὐκ ἔπειθον, κτείνουσι[3].

Κἀκεῖνοι μὲν ἤδη κεῖνται πεσόντες πρὸ τῶν ἡμετέρων πυλῶν γυμνοὶ καὶ ἀσχήμονες, ἀκλεὴς θέα καὶ ἀτερπής· καὶ οὐδεὶς ὅςτις ἰδὼν οὐ δακρύει τὴν συμφοράν. Ὁ στρατηγὸς δὲ κυκλοῖ προφάσεις, καὶ νόμους προτείνει μηδὲν ἔχοντας αὐτὸν ὠφελεῖν· ὥςπερ ἂν ἐπ' αὐτὸ τοῦτο βλέπων ὁ νομοθέτης ἐτίθει τὸν νόμον κωλύων νυκτὸς τὰς πύλας ἀνοίγεσθαι, ἐφ' ᾧ ἄρα οἱ πολῖται κτείνοιντο. Καὶ δὴ δημοσίων ἀδικημάτων δικαίως κρινόμενος, ἀπαναισχυντεῖ, καὶ ἄλλ' ἄττα[4] τὰ δημόσια λέγει ἀδικήματα, « οἷς οὐχ

aliis « un cœur de diamant » fecit hemistichium. Et Drydenus : « For tears will pierce a heart of adamant ». Sed rarum vocabulum « adamant », quod græcas syllabas exhibet ipsas, Drydenum intra veniam ponet, non ignoscendum si vulgari « diamond » esset usus. Ovidio Theocritea Id. 2, 33, esse obversata fere putaverim : τὸν ἐν Ἅδᾳ Κινήσαις ἀδάμαντα, καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο. Ibi Wordsworth. multa eruditissime congessit, in his locum Theophylacti Simoc. de lapide adamante : εἴ τι ἀδάμαντος ὑψηλότερον. Quumque ad tale epithetum offenderet, legendum esse ait ἀσφηλότερον. Sed secum conferendus Theophylactus, qui eodem modo locutus est paulo superius Dial. p. 7 : τί δῆτα τὸν ἀδάμαντα ἡ φύσις δεδημιούργηκεν ἄκαυστον καὶ τοῦ παμφάγου πυρὸς ὑψηλότερον; Corrigendi impetum alterum id exemplum retardare poterit. Addam ἀσφηλότερον vix potuisse a Theophylacto scribi, vocabulum prorsus insolitum. Probabilior foret, ni fallor, correctio, si facienda correctio, ἀδάμαντος στυφελώτερον.

[1] Schol. : προβολή.

[2] Ulpianus ad Demosthenem Ol. 1, § 9 : καθ' ὧν ἐξουσίαν ἔχομεν ὅ τι βουλόμεθα πράττειν, κατὰ τούτων τὸ χρῆσθαι λέγομεν. Aristophanes Nub. 440 : Χρήσθων ἀτεχνῶς ὅ τι βούλονται. Phalaris Ep. 106 : ἐγὼ μὲν οὖν ἐπὶ σοὶ γενόμενος ὅ τι βούλοιό μοι χρῆσθαι. Ibi Lennep. Ælianus H.-A. 6, 14, de hyæna quæ corporis umbræ sui contactu mutos canes facit et attonitos : ἀπάγει σιωπῶντας καὶ κέχρηται ὅ τι καὶ βούλεται ἐντεῦθεν αὐτοῖς. Alciphro, 3, 52 : οὔ μοι μέλει· ποιούντων ὅσα καὶ βούλονται. Male codex : οὔ μοι μέλει τοιούτων, ὅσα καὶ βούλονται.

[3] Malim, ἐπεὶ δ' οὐκ ἐπείθοντο, κτείνουσι· vel, ἐπεὶ δ' οὐκ ἔπειθον, κτείνονται.

[4] Ἄλλ' ἄττα] sic p. 206, 14 : βραχέ' ἄττα. Vide p. 188, n. 1. Epistola Socratica 23, p. 29 : πολλ' ἄττα.... ἄλλ' ἄττα. Recte codex cum tenui, ἄττα.

ἁλίσκομαι », φησίν· « Οὐ[1] γὰρ ναῦς προὔδωκα· οὐκ ἐξεῖπον τοῖς ἐχθροῖς τὰ ἀπόῤῥητα· οὐ παρεπρέσβευσα· οὐ τὸ καὶ τό[2], ἵνα μὴ λέγω καθ' ἕκαστον, πέπραχα ».

Τὸ δὲ[3] τοιούτους ἄνδρας παρασκευάσαι πεσεῖν οὕτως αἰσχρῶς καὶ ἀθλίως πρὸ τῶν ἡμετέρων[4] πυλῶν, οἷς ἡ μὲν τύχη μόλις ἐσπείσατο, σὺ δ' ἐφάνης καὶ αὐτοῦ θανάτου δεινότερος, οὐκ ἀδίκημα; οὐ προὔδωκας ναῦς τοῖς ἐχθροῖς· ἀλλ' ἄνδρας ἀρεΐκους[5]. Οὐκ ἐξεῖπας τὰ ἀπόῤῥητα τῆς πόλεως· ἀλλ' ἔδειξας τὰ ἀπόῤῥητα τῆς φύσεως[6] ἐπὶ τῶν ἡμετέρων στρατιωτῶν. Οὐ παρεπρέσβευσας· ἀλλ' ὁμογενῶν ἀνδρῶν ἐπὶ κινδύνων ἐσχάτων πρεσβείαν ἀπέπεμψας.

Τί τοίνυν, εἰ μὴ κατὰ πάντας τοὺς τρόπους τῆς εἰς τὴν πόλιν ἀδικίας ἐξήμαρτες, ἀλλὰ καθ' ἕνα, τόν, ὡς ἐγὼ λέγω, χείριστον, δικαιοῦσθαι πειρᾷ[7]; ὅμοιον[8] ὥςπερ ἄν, φονεύσας τινὰ λίθῳ, εἶτ' ἐκρίνου φόνου, διϊσχυρίζου λέγων ὡς οὐχὶ σπάθῃ, οὔτε μὴν κοντῷ ἢ ἄλλῳ τῳ βέλει τὸν φόνον ἠυτούργησας. Οὐδὲν διοίσει ταῦτα, βέλτιστε, πρὸς μόνον τὸ φόνον γενέσθαι. Οὕτως ἔχει καὶ

[1] Schol.: ὅρος. Vide p. 41, n. 2.

[2] Τὸ καὶ τό] sic p. 175, 11. Vide p. 150, n. 1.

[3] Schol.: ἀνθορισμός.

[4] Codex, ὑμετέρων.

[5] Cod., ἀῤῥεΐκούς. Vide p. 231, n. 4.

[6] Ἔδειξας τὰ ἀπόῤῥητα τῆς φύσεως] « mysteria naturæ revelavisti »; oculis exposuisti hostium et irrisorum impie ac fœde eas partes corporis, quas celat pudor. Tyrtæus, 1, 25, jacentem describit militem, Αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα· Αἰσχρὰ τάδ' ὀφθαλμοῖς, καὶ νεμεσητὸν ἰδεῖν.

[7] Πειρᾷ, « conaris », non « conatur ». Præcedens ἐξήμαρτες id extra dubitationem ponit. Quod monendum videtur, quum nuper inciderim in Euripidis locum, propter ambiguitatem verbi πειρῶ, quod esse potest πειράω vel πειράου, male intellectum. Euripides Arsenii Viol. p. 289: Θνητὸς πεφυκὼς τἀπί σοι πειρῶ βλέπειν. Interpres latinus: « mortalis quidem natus futura perspicere suscipio ». Sed τἀπί σοι non sunt « futura » sed « quæ a te pendent, pertinent ad te »; et est πειρῶ imperativus formæ mediæ. Verterim: « mortalis qui sis natus, quæ ad te pertinent atque in tua sunt potestate considerare conator». Addit vir d. conjecturam, τἀπί σου πεῖρα βλέπειν. Sed πειρῶ omnino sanissimum. Quis unquam dubitavit de sinceritate versus Sophoclei Phil. 149? Πειρῶ τὸ παρὸν θεραπεύειν. Si quid tentandum, in Euripidis versu, τἀπίσω pro τἀπίσοι rescriberem, Isidoro duce, cujus similis versiculus affertur ab Arsenio: Θνητὸς πεφυκὼς τὰ 'πίσω βλέπειν πειρῶ. Quem qui recitat Stobæus Tit. 22, 21, scribit τὰ ὀπίσω. Crasin fecit vir d., τὠπίσω, alius τοὐπίσω. Illud melius mihi quidem videtur.

[8] Schol.: συλλογισμός.

ταῦτα. Τὰ μὲν ἀδικήματα διαφέρουσι· τὸ δὲ δημόσιον εἶναι τούτων καθ' ἕκαστον, ὅτι τοῦτο μὲν γέγονε, κἀκεῖνο δ' οὐ γέγονεν, οὔμενουν οὐκ ἀπέφυγεν.

Εἰ βούλει[1] δέ, καὶ τὴν τοῦ νομοθέτου κατανόει διάνοιαν, καθ' ἣν τοὺς ἀδικοῦντας τὴν πόλιν ἀφειδῶς τιμωρεῖ. Οὐ γὰρ τὸν ἀποσχόμενον,[2] ἄλλο δέ τι τῶν χειρίστων διαπραξάμενον, ἀνεύθυνον τίθησιν. Ἀλλ' εἰδώς, ὡς εἰκός, ὡς ὁ τὴν πόλιν ἀδικήσας καθάπαξ οὐκ ἂν ἐκείνης γνήσιος λογισθείη δικαίως πολίτης, τὸ εἰς ταύτην ἅπαν ἀδίκημα δημόσιον ἀποφαίνεται· καί, μόνου τούτου ἐξαιρεθέντος τοῦ πολίτης εἶναι τοῦ ἀδικήσαντος, τοὺς λοιποὺς πάντας παρ' αὐτοῦ ζητεῖν καὶ λαμβάνειν τὴν ὑπὲρ τοῦ ἀδικήματος δίκην σαφῶς διορίζεται.

Εἰπέ μοι[3] τοίνυν· τίνες οἱ σφαγέντες ἐκεῖνοι, καὶ ποίας πολῖται πόλεως; καὶ χάριν τίνος τοιαύταις ἐχρήσαντο συμφοραῖς; οὐ στρατιῶται καὶ πολῖται τῆς ἡμετέρας[4], καὶ ὑπὲρ τοῦ κοινοῦ κινδυνεύσαντες; Ὁ γοῦν τῆς ἐκείνων σφαγῆς αἴτιος ἄντικρυς γεγονώς, τίνος ἄλλου κριθήσεται, ἢ τοῦ ἡμαρτηκέναι δημόσια; Γένεσθε, παρακαλῶ, τῶν πραγμάτων ἐκείνων[5] τῷ νῷ, κἂν παρῆλθον ἤδη, κἂν οὐκ ἐν ὀφθαλμοῖς βλέπωνται. Ἐκεῖνοι κατέφυγον πρὸς τὴν πόλιν· οὗτος ἐδίωκεν. Ἐκεῖνοι τὴν ἱκανῶς βοηθήσουσαν ἔγνωσαν· οὗτος ματαίας τὰς πρὸς τὴν πόλιν ἐλπίδας ἐτίθει. Ἐκεῖνοι χεῖρας ἐχθρῶν τῆς πόλεως ἐδραπέτευον· καὶ οὗτος πάλιν τοῖς ἐχθροῖς μονονοὺ[6] κἂν ταῖς χερσὶ παρεδίδου, καὶ ἔδειξε φανερῶς αἴτιος ὢν καὶ πρώην τῆς ἐκείνων ἁλώσεως. Οὐκ ἔκαμψάν σε, σκληρέ, τὰ ἐκείνων δάκρυα ἀγγελλόμενα· οὐ τοὺς κοινοὺς ᾐδέσθης ἅλας[6], οἷς, μετ' ἐκείνων στρατεύων, κοινὴν τὴν τράπεζαν

[1] Schol.: διάνοια τοῦ νομοθέτου.

[2] Lacunula paucarum litterarum capax. Fortasse, τὸν κακοῦ τινος ἀποσχ.

[3] Schol.: πρός τι.

[4] Ἡμετέρας, scilicet πόλεως, ellipsi non semel obvia. Cf. p. 234.

[5] Schol.: πηλικότης. De dictione γενέσθαι τινός vide p. 236, n. 1.

[6] Μονονοὺ] de illo adverbio monitum p. 20. Nonnusquam separanda duo vocabula μόνον et οὐ, ut p. 114, 4. Aristides Orat. 52, p. 597: σὺ δ' οὐ βουλεύεσθαι δόξεις περὶ ὧν αἵρεσίς ἐστί σοι, ἀλλ' ἀναχωρεῖν ἀπὸ τούτων ἃ προὔκρινας αὐτὸς καὶ μονονοὺ λιπεῖν τὴν τάξιν. Codex 963, μόνον οὐ divisim; quam divisionem nitide exhibet codex Laurentianus, in quo μόνον μή. Hanc rationem prætulerim. Sed tenue discrimen est.

[7] Choricius, p. 97: βραχὺ φροντίσας

ἐσχεδίαζες· οὐ τὸ γένος ᾐσχύνθης, ὅτι[1] καὶ βαρβάρων παρήλασας ἀγριότητα. Εἰ δὲ καὶ μεταβαλόντες ἐκεῖνοι, εἴτε τῷ παραζηλῶσαί σου τὴν ἀπήνειαν, εἴτε καὶ τῷ ἐν χρῷ[2] τοῦ κινδύνου καταστῆναι, ὡμολόγουν ἐκείνοις, καὶ καθ' ἡμῶν αἴρειν τὰς χεῖρας ὑπέσχοντο, εἶτ' ἐσώζοντο, τῶν βαρβάρων οὐ μικρὰν προςθήκην[3] ἐκείνους ἡγησαμένων, τίς ὁ εἰς τοῦτο παρορμήσας; οὐχ οὗτος; νῦν δέ, ἀλλ' ἐκεῖνοι μὲν τὴν πίστιν μέχρι καὶ τῶν ἐσχάτων κινδύνων καὶ αὐτοῦ θανάτου ἐφύλαξαν· οὗτος δὲ τὴν γνώμην ἐξαιρεῖται τῶν συμβεβηκότων, καὶ ἀξιοῖ σκοπεῖν μεθ' ἧς διανοίας ταῦτ' ἔπραξε, λέγων[4] οὐ δύςνους ὢν τοῖς πολίταις, οὐδὲ τῆς ἀπωλείας αὐτῶν ὀρεγόμενος, προφάσεις πλαττόμενος καὶ διὰ κενῆς τῆς περὶ τοὺς νόμους εὐλαβείας ἐχόμενος δῆθεν, καὶ νόμον τὸν κωλύοντα προϊσχόμενος.

Εἰπέ μοι, βέλτιστε· ὀρθὴν ἔχων περὶ τοὺς πολίτας διάνοιαν, ταῦτ' ἔπραττες (ὦ[5] Ζεῦ καὶ θεοί!) ὅςτις, τὰ ὅσον οὔπω καταληψόμενα τούτους κακὰ συχνάκις παρὰ τῶν φυλάκων ἀκούων, οὐδὲν ἐφρόντιζες; τίνας οἴει παραλογίσασθαι;

Ἂν οὖν ταῦτα λέγοι, μὴ ἀποδέχησθε[6], ὦ ἄνδρες, μηδέ, πρὸς οἷς ἐκ τῆς αὐτοῦ ἀπηνείας ἠδίκησθε, καὶ ὄνειδος ὑμῖν προςτριβῆναι κουφότητος ἐκ τῆς ἀπολογίας αὐτοῦ καταδέξησθε.

Τί δὲ[7] καὶ νόμον προβάλλῃ, ὃς ἂν ἐπὶ καιροῦ φυλαχθεὶς ὤνησε

ἁλῶν καὶ τραπέζης. Ibi nota. Qui bene scripsit ἁλάτων pro ἁλμάτων in hoc versu Theodori sui Prodromi, 2, p. 53: Κοινῇ φάγεσθαι τῶν παρόντων ἁλάτων, Gaulminus poterat conferre similem p. 57: Καὶ δεῦρο συγγεύεσθε κοινῶν ἁλάτων. Conf. et 8, p. 386, 3.

[1] Pro ὅτι fortasse ὅτε. Facile syllabæ τι et τε confunduntur. Themistocles Epist. 15, 7: τοῦτο μὲν ἀστεῖόν τε ἐποίεις καὶ τῆς εὐνοίας τῆς πρὸς ἐμὲ ἄξιον. Caryophylliana, p. 36: ἀστεῖόν τι. Quod non movendum. Probabilius ibid. § 6, Schœttgenius scripsit ὅτε περ pro ὅτι περ. Codex consentit cum Caryophyllianæ lectionibus. Stephanus explicans verba Hippocratis Progn. 114, πρὸς ἕκαστον νόσημα· ἐνδέχεται γάρ, inquit, μὴ ὑπὸ ἑνὸς νοσήματος ἔχεσθαι τὸν κάμνοντα, ἀλλ' ὑπὸ δύο νοσημάτων, ἔστιν ὅτι καὶ τριῶν, καὶ διὰ τοῦτο ἔφη· « πρὸς ἕκαστον νόσημα ». Omnino scribendum ἔστιν ὅτε.

[2] Ἐν χρῷ] vide p. 119, n. 1.

[3] Προσθήκην] vide p. 84, n. 4.

[4] Schol.: διάνοια τοῦ φεύγοντος.

[5] Lacunula brevissima codicis. Fortasse: ἔπραττες; εἰπὲ σύ (ὦ Ζ.... vel ἔπραττες; καὶ πῶς, (ὦ Ζ....

[6] Cod., ἀποδέχοισθε, quod mutavi. Sequitur μηδὲ καταδέξησθε. Syntaxis similis p. 177, 6.

[7] Schol.: μετάθεσις εἰς τὸν κείμενον νόμον.

μὲν ἡμᾶς, σοὶ δὲ τῷ τέως φυλάξαντι προὐξένησεν ἔπαινον; Πάντ' ἔχει καιρόν, ἄνθρωπε. Κἂν τὸν καιρὸν ἀφέλῃς ἐκ τῶν πραγμάτων ἢ καὶ τῶν νόμων αὐτῶν, τὸ δέον ἀφήρηκας, καὶ ζῶον ἄπνουν εἰργάσω καὶ ἄψυχον τὴν προκειμένην πρᾶξιν ἐκείνην, ἐπειδὴ ψυχὰς τῶν πραγμάτων τοὺς καιρούς[1] οἴδαμεν. Καὶ σὺ μὲν προκάλυμμα θήσεις τῆς γνώμης τὸν νόμον, καὶ τὸ περὶ τὴν ἀθέτησιν εὐλαβὲς προβαλῇ· ἄλλος δ' ἀκούσας οὐ δέξεται, ἀλλ' ἀνακαλύψει τὸ ἐπιτείχισμα[2], καὶ γυμνὴν προθήσει δίχα παντὸς προκαλύμματος τὴν διάνοιαν[3], ὡς φθόνον μὲν πρὸς τοὺς ἄνδρας εἶχες, δύςνοιαν δὲ πρὸς τὴν πόλιν, καὶ διὰ μιᾶς ἔγνως πράξεως ἐκείνους μὲν ἐκποδὼν ποιῆσαι, τὴν πόλιν δὲ λυπῆσαι τὰ μέγιστα, κἄν πού τι καὶ ἐσφάλη κατὰ τὸν πόλεμον, μήτε τοὺς ἐλέγχοντας ἔχειν, καὶ τὴν πόλιν οὕτω διαθεῖναι, ὥςτε μὴ ἐξεῖναι ταύτῃ, τὰ ἐν ποσὶν ἀφεῖσαν καὶ δῆλα θρηνεῖν, περὶ τῶν ἀδήλων ζητεῖν. Ἐπεί τοί γε πῶς, εὐθὺς ἀκούσας περὶ τῶν ἑαλωκότων ἤδη καὶ ἐν δεσμοῖς εἶναι προςδοκωμένων τοῖς ἀφύκτοις, ὡς ἰδοὺ πρὸς ταῖς πύλαις ἑστήκασιν, οὐκ ἀσμένως τὴν ἀγγελίαν ἐδέχου καὶ περιχαρῶς ηὐχαρίστεις[4] μὲν τοῖς θεοῖς, ἐξώρμησας δὲ καθὼς ἔτυχες ἔχων, καὶ

[1] Dicit non sine vi occasiones esse τῶν πραγμάτων ψυχάς. Et in Hist. Mich. Palæol. 1, 1 : ἱστορίας γάρ, ὡς ἄν τις εἴποι, ψυχὴ ἡ ἀλήθεια. Aristoteli Poet. 6, 20, fabula esse dicitur ἀρχὴ καὶ οἷον ψυχὴ tragœdiæ. Byron Insula, 1, 5 : « that trembling vassal of the pole, The feeling compass, navigation's soul ». Et de καιρῷ Pindarus P. 9, 135 : ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν· quem locum apposuit Brunck. ad Electram 75 : καιρὸς γὰρ ὅςπερ ἀνδράσιν Μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης. Vide Albert. Observ. p. 304. Multa dabit Erasmus Adagio « Nosce tempus » 1, 7, 70, non legendus sine H. Stephani Animadversione; nam magnus parœmiographus versu Theocriti Id. 11, 58, est abusus.

[2] Cod., ἐπιτείχεισμα, permutatis de more vocalibus ι ει. Symeon Sethi Ichnel. p. 346 : οὐκ ἔγνω δεῖν τῷ βασιλεῖ περὶ τούτων αὐτοψὶ διαλεχθῆναι. Legerim αὐτοψεί. Quo de adverbio ad Anecd. mea Græca, t. I, p. 396. Phœnix Athenæi, 12, 40 : Ἀνὴρ Νίνος τις ἐγένεθ'.... Ὅς οὐκ ἴδ' ἀστέρ', οὐδ' ἵζων ἐδίζητο. Objecit priori hemistichio Meinek. v. d. ἴδε non posse augmento carere; cui vitio mederi conabor scripto : ὃς ἀστέρ' οὐκ εἶδ', οὐδ'. Finem correxit anonymus apud Schweigh. : οὐδὲ ζῶν ἐδίζητο, de positione litteræ ζ securus, licentia fortasse ignoscenda. Sed et ἴδ' poterit sine augmento locum retinere suum, quum ipse Meinek. omissi augmenti exempla protulerit. Πίκκολος hunc Phœnicis locum tetigit vel tanget in Novo Conspectu Encyclopædico.

[3] Schol. : ἑτέρα διάνοια.

[4] Cod., ηὐχαρίστης. Usus iotacismo

τάχος διύπνιζες τοὺς ἐπὶ τοῦ βήματος, καὶ ἀνεκοινοῦ τούτοις τὸ συμπεσόν, καὶ τὸ ποιητέον ἐζήτεις[1], καὶ τὸν κίνδυνον ἀνεδίδασκες, μὴ διδόντος τοῦ καιροῦ ἐπὶ σχολῆς βουλεύεσθαι; Τίς τότε σε εἶδε τὴν ἄνοιξιν ἐπισπεύδοντα; τίς ἄλλως βουλεύοντα πῶς ἂν καὶ ὁ νόμος τηρηθείη καὶ σωθεῖεν οἱ πρόςφυγες; πρόςφυγας γὰρ ἂν ἐκείνους εἴποι τις ἂν εἰκότως τῆς πόλεως. Ἀλλὰ τοῦτο μὲν οὐ διεπράξω, ἐκεῖνο δ' οὐκ εἰργάσω, συνῆξας δὲ τοὺς ἔνδον πολεμικοὺς καὶ συνέταττες ἐπὶ τῶν πύργων τῆς πόλεως, κἀκεῖθεν ἐπειρῶ τῶν ἀνδρῶν ὑπερέχειν βοηθὸν χεῖρα καὶ ἀποσοβεῖν τοὺς ἐχθρούς; εἶτα τούτων ἁπάντων ἀμελήσας, φεύγεις τὸ κακὸς εἶναί τε καὶ νομίζεσθαι; καὶ ποῦ δίκαιον τοῦτο; καὶ παρὰ τίσι κριταῖς ἀνήσῃ[2] κακίας καὶ δίκης δικαίας ἀπολυθήσῃ, εἴπερ τις ἐθέλοι κρίνειν οὐκ ἐξ ὧν λέγεις, ἀλλ' ἐξ ὧν πέπραχας;

Συγκρίνατε[3], παρακαλῶ, τὴν τοῦ νόμου συντήρησιν τῇ σφαγῇ τῶν ἀνδρῶν, καὶ θέσθε παράλληλα ταῦτα[4], καὶ λογίσασθε εἰ δύναται ἐπιτηρούμενος νόμος μείζω καλὰ τῇ πόλει περιποιεῖν, ἢ ἐλάττω κακὰ ἄνδρες διὰ κενῆς σφαζόμενοι τριακόσιοι, καὶ εἰ ἔδει μὴ μόνον εἰς καιρὸν παροραθῆναι, ἀλλὰ καὶ λυθῆναι νόμον ἐπὶ συμφέροντι. Καί τοί γε πολλάκις οἴδαμεν νόμους λυθέντας, καὶ ἀντειςαχθέντας ἐκείνων ἄλλους, καὶ μηδὲν λυμηναμένους τῇ πόλει καὶ τοῖς κοινοῖς. Τί δέ; ἀλλ' ἔχοι τις καὶ ἄνδρας ἀντιπαράγειν τοσούτους, πεσόντων ἐκείνων; Ὡς εἴθε τοῦτο, καὶ ἄλλος Δευκαλίων ἐκ λίθων ἢ Αἰακὸς ἐκ μυρμήκων ποιῶν[5] ἄνδρας ὁ στρατηγὸς ἐπιστεύετο, εἰ μὴ μῦθον τὸ ἱστορούμενον δοίημεν. Πρὸς τί δὲ καὶ νόμος κεῖται τῇ πόλει; ἢ[6] μόνον πρὸς ὃ καὶ συνοίσει τηρούμενος. Εἰ δέ σε βλάπτοι πολλάκις[7] ἡ τήρησις,

scripsi *ηὐχαρίστεις*. Et inde corrigam Anatolium de Antipathia p. 297 : *ἄρκτος νοσοῦσα μυρμιδόνας ἐσθίει*. Ægrotorum miseror ursorum sortem, si remedio opus habent paratu tam difficili. Scripserim *μυρμηδόνας*. Rendtorfii versio « formicas », et erudita nota in causa sunt ut vocalem *ι* pro typorum mendo habeam.

[1] Schol. : *μετάληψις*.

[2] Cod., *ἀνήσῃ*. Fortasse, *ἀνεθήσῃ*.

[3] Schol. : *πρός τι*.

[4] *Θέσθε παράλληλα*] vide p. 198, n. 1.

[5] Illam de Æaco fabulam plene illustrat Muller. Ægina, p. 14.

[6] Codex, *ἡ*.

[7] *Πολλάκις* possit verti « forte, casu ». Vide p. 206.

ὡς λυσιτελούσης τῆς ἀθετήσεως, ἱνατί μὴ παραθεωρητέον ἐκεῖνον τῷ ἐπὶ τῶν κοινῶν[1]; μόνον ἀπέστω δόλος ἅπας καὶ δύςνοια.

Ταῦτ' ἐποίουν[2] οἱ ἡμέτεροι πρόγονοι, ταῦθ' οἱ ἐκείνους διαδεξάμενοι, ταῦτ' ἐπὶ τῆς οἰκίας ἕκαστος. Ἐπυρπόλησάν τινες νῆας, ἵνα νικήσωσι· παρέλυσαν τεῖχος, ἵν' ἐξ ἀφανοῦς ἐπίθωνται τοῖς ἐχθροῖς· τὸν τῆς πανσελήνου νόμον κατέλυσαν οἱ Λακεδαιμόνιοι[3], ἐπειδὴ φυλάττοντες ἐκεῖνον δόξης μακρᾶς[4] τοῦ δόξαι κρείττους Περσῶν ἐστερήθησαν· μυεῖν κελεύει Θεμιστοκλῆς[5] ἐπὶ τῆς θαλάσσης, καὶ πόλιν ἐᾷν τειχήρη καὶ μεταβιβάζεσθαι πρὸς τὰς ναῦς, μὴ ναοὺς θεῶν, μὴ θήκας πατέρων, μὴ μνήματα συγγενῶν, μὴ φιλοκαλίας παντοίας, μὴ κτήματα θεμένους εἰς νοῦν, ἢ φροντίσαντας τὸ παράπαν εἰ παραπόλοιντο. Οὕτω πανταχοῦ καὶ πολλάκις ὁ βίος καινοτομεῖται, οὕτω τὰ κοινὰ διοικοῦνται, οὕτω καὶ τὰ καθ' ἕκαστον.

Εἰσὶ γὰρ[6] καὶ ἐπ' οἰκίας ἑκάστῳ νόμοι καὶ παλαιοί· ἔστι τινὶ τὸ ἅπαξ τῆς ἡμέρας ἐσθίειν, ἄλλῳ τὸ νουμηνίας ἑκάστης περιαθρεῖν καὶ λογίζεσθαι τὰ κατ' οἶκον, ἄλλῳ τὸ ἑκάστης ἐκφορεῖν τόδε, καὶ ἄλλῳ ἄλλο, καὶ ἑκάστῳ ἕτερον. Ἀλλ' ὅμως καιρὸς ἐφίσταται[7], καὶ παραθεωροῦσι τοὺς νόμους, μόνον εἰ συνοίσουσαν κρίνοι[8] τις τὴν ἀθέτησιν.

Τί τοίνυν[9] οὕτως σὺ ἐφάνης φιλόνομος ἢ φιλασφαλής; ἢ — οὐκ οἶδ' ὅ τι φῶ — ἐς ὃ τοσούτους ἄνδρας καὶ τηλικούτους ἐξαφανίσειας. Ἀπέθανον   ἀλλὰ[10] πολέμου νόμῳ. Ἔδει γὰρ

[1] Fortasse, τὸ ἐπὶ τῷ κοινῷ.

[2] Schol.: ἐργασία ἀπὸ παραδείγματος.

[3] Teste Herodoto 6, 106, Lacedæmonii non potuerunt pugnæ Marathoniæ interesse, quum ipsos urbe egredi vetaret lex de plenilunio. Quod ait sophista eam legem a Lacedæmoniis fuisse abrogatam, quum ejus observatio ipsis adeo nocuisset, nescio unde compererit.

[4] Epithetum μακρᾶς est inexspectatum. Id scripsit fortasse ex imitatione poetica.

[5] Cod., μυεῖν. Fortasse μένειν. De Themistocle Atheniensibus suadente, ut, urbe relicta, naves conscenderent, oraculo parentes, quod ipse fuerat interpretatus, vide Plutarchum Them. 10; Polyæn. Strat. 1, 30, 1.

[6] Schol.: ἐργασία ἀπὸ τοῦ ἐλάττονος.

[7] Respexisse videtur Sophoclem, cui ὁ καιρὸς παντὸς ἔργου ἐπιστάτης dictus est. Vide p. 24, n. 1.

[8] Cod., κρίνοις.

[9] Schol.: ἡ τῶν καλουμένων κυρίων εἰςαγωγή. Fortasse καιρίων.

[10] Lacuna vocis unius aut alterius capax. Fortasse: ἀπέθανον μέν, ἀπέθανον, ἀλλά.

ἄνδρας ὄντας ἐκείνους, καὶ τὰ τροφεῖα δικαίως ἀποτιννύναι τῇ πατρίδι θέλοντας, τὰς ψυχὰς ἀηττήτους, διακαρτεροῦντας πεσεῖν τοῖς σώμασι, καὶ δεῖξαι καὶ τοῖς ἐχθροῖς ὡς οὐδὲν αὐτοῖς προτιμότερον τοῦ μετ' ἐλευθερίας ἀγωνιζομένους πεσεῖν· σὲ δέ — θέλω λέγειν πολέμιον, καὶ τὸ τοῦ στρατηγοῦ σχῆμα σεβάζομαι — ἀλλ' οὖν, ὅσον τὸ ἐπ' ἐκείνοις, καὶ πλέον εἴργασαι πολεμίου. Οὐ γὰρ παραταττόμενοι καὶ τοῖς ἐχθροῖς συμπλεκόμενοι καὶ ἀγωνιζόμενοι ἔπιπτον, ἀλλ', ὑῶν τρόπον ἢ χειροήθων θρεμμάτων[1], *ἐσφάττοντο. Ἀπέκτεινε καὶ Βασιλεὺς ἐν Πύλαις*[2] *τριακοσίους, ἀλλ' εἴργοντας τὴν εἴσοδον ἐκείνου τὴν ἐς τοῦ Πέλοπος, καὶ πρότερον προθύμους ὄντας πεσεῖν, εἰ μὴ περιγένοιντο, ἢ ἐκεῖνον ἐνθυμηθῆναι νικῆσαι καὶ δρᾶσαι τὰ ἔσχατα. Σὺ δὲ ζητοῦσι τοῖς ἡμετέροις τὴν εἰς τὴν πόλιν εἴσοδον ἐπεζύγους τὰς πύλας τῆς πόλεως, καί, ὥςπερ εἰ μὴ διαφορὰν φίλων ᾔδεις καὶ πολεμίων, οὕτως ἠσφαλίζου τὰς κλεῖς, καὶ κατὰ στόμα τοῖς ἡμεδαποῖς ἀπήντας, καὶ τὴν σωτηρίαν αὐτοῖς ἐπετείχιζες. Καὶ τολμᾷς λέγειν ὡς οὐκ ἀπέκτεινας;*

Ταῖς χερσὶ[3] *μὲν οὐκ ἀπέκτεινας, φημὶ κἀγώ, τῇ δὲ θελήσει καὶ τῷ σκοπῷ· καὶ τοῦτο μᾶλλον ἡγήσαιτ' ἄν τις νοῦν ἔχων καὶ φόνον ἐκείνων καὶ κατὰ τῆς πόλεως δύςνοιαν. Ἣν γὰρ ἐκεῖνοι ὡς ἀσφαλείας ἄγκυραν εἶχον καὶ ἱεράν, τὸ τοῦ λόγου*[4], *καὶ κατα-*

[1] Parili comparatione Eunapius de Ablabii nece, p. 26 : *κρεουργηδὸν ὥςπερ τι τῶν ἐν ταῖς εὐωχίαις ζῶον κατακόψαντες*. Idem, p. 63 : *πάντων κατακοπτομένων ὥςπερ ἀλεκτορίδων ἐν ἑορτῇ καὶ συμποσίῳ*. Qua *ἀλεκτορίδων* imagine utitur et p. 491. Ibi meæ notæ. Ammianus Marc. 14, 2 : « pecudum ritu inertium trucidantur ». Passio S. Victoris initio : « tanta crudelitate in christianorum supplicia.... raptabatur, ut.... irrecitabilibus tormentorum generibus excruciatos vilius quam pecudes trucidaret ». Adde Jacobs. ad Philostr. p. 461. Merimæus Hist. Petri Crudelis : « son adversaire survint, qui l'égorgea « comme un animal à la boucherie ».

[2] Cod., *πύλῳ*, cum superscripto *αις*. Thermopylas significat, et trecentos illos Spartanos, qui, duce Leonida, Persas Peloponnesum ingressuros repellere conati sunt.

[3] Schol. : *βίαιος ὅρος*.

[4] Lucianus Jup. Trag. 51 : *ἄκουσον οὖν τὴν ἱεράν, φασίν, ἄγκυραν*. Ibi scholiastes : *ἄγκυρά ἐστιν ἐν τῇ νηῒ τῇ μεγίστῃ* (potius *ἡ μεγίστη*) *ἣν καλοῦσιν ἱεράν· αὕτη δέ, ὅτε μέγας καταλάβοι κίνδυνος, τελευταία βάλλεται*. Lucianus etiam videndus Fugit. 13, ubi Burdelotus suam notam in Jovis Tragœdi locum indicat, quam Bipontini vel non repererunt, vel, quod vix opinor, neglexerunt. Scholiastes Aristidis, t. III,

φυγὴν τὸ ἄσυλον ἔχουσαν, ταύτην ματαίαν ἀπέφηνας, καὶ προδίδως μὲν τοῖς ἐχθροῖς τοὺς ἄνδρας, τὴν δ' εἰς τὰ ἱερὰ τείχη καταφυγὴν ἀνόνητον καθιστᾷς. Εἶτα καταφυγόντας μέν, καὶ ἁμαρτόντας εἴπω τινὰς καὶ ἀξίους τοῦ κτείνεσθαι, εἰς θεῶν τεμένη, εἰ ἐξελῶν προὐδίδως, οὐκ ἄν, πρὸς τῷ κακὸς δοκεῖν εἶναι, καὶ τὰς δίκας τῆς εἰς τοὺς ναοὺς παροινίας ἐξέφυγες· τὴν δὲ πόλιν ταύτην, ἣν δὴ κοινὴν ἑστίαν ἅπαντες ἔχουσιν, ἀποκλείων τοῖς καταφυγοῦσιν, ἔπειτα, ἐκείνων κινδυνευόντων, οἴει μηδὲν ἔχειν ἔγκλημα, μηδ' ἐκείνους πεφονευκέναι, κἂν τὴν σφαγὴν ηὐτούργησαν ἕτεροι; Ηὐτούργησαν ἕτεροι τὴν σφαγήν, ἀλλὰ τῇ σῇ ὀρέξει καὶ τῷ θελήματι καθυπούργησαν· ὁ δὲ προδιδοὺς μείζω τὴν αἰτίαν ἔχει τοῦ κτείναντος. Καὶ τοῦτ' ἐστὶ κυρίως φόνος, ὁ παρὰ τοῦ τὴν ἀρχὴν ἐνδόντος τε καὶ προστάξαντος. Καὶ ὁ μὲν αὐτουργῶν τὸν φόνον ἔχει   μεταθεῖναι[1] πρὸς τὸν κελεύοντα· οὗτος δὲ οὐκ ἔχει μεθιστᾷν εἰς ἕτερον τὸ πλημμέλημα, εἰ μή γε τὴν σφετέραν ἑαυτοῦ κακίαν ἐξ ἧς κινηθεὶς ἐκέλευε.

Καὶ εἰ μὲν ἁπλῶς πολιτῶν εἰργάζετο κίνδυνον, ἢ καὶ ἄλλως ἀνδρῶν μὴ προσηκόντων ἡμῖν, οὐκ εἶχεν οὐδὲ τότε ἀποφυγεῖν τὴν αἰτίαν ὡς ἀθῶος δόξαι· ἄνδρας δὲ γνωστοὺς καὶ στρατιώτας, καὶ τὸ ἄνθος εἴπω τῆς πόλεως προδιδούς, ὧν εἰ τὴν γνώμην ἀρτίως ἤθελέ τις ἐξετάζειν, εἶπεν ἄν τις ζητεῖν αὐτὸν τὸν τῶν ἁλῶν θρυλλούμενον μέδιμνον[2], μετρεῖν καὶ τὸ ὑπὲρ μέτρον βουλό-

p. 76 = p. 30 Fromm.: καλεῖται δὲ ἱερὰ ἡ μείζων πασῶν (quod meam in scholiaste Luciani lectionem confirmat), μεθ' ἣν οὐδεμιᾶς ἐστὶ σωτηρίας ἐλπίς. Vide Schott. ad Suidæ Adagia 14, 50; necnon Erasmum Chil. 1, 1, 24, Adagio « sacram ancoram solvere », coll. Stephani Thesauro. Rectus casus ablativo substitutus sanavit Luciani scholiasten; parile remedium proderit Nazianzeni scholiastæ in Catalogo Clarkiano, p. 29: Κωνστάντιος δὲ ὁ Κωνσταντίνου τοῦ μεγάλου υἱὸς πάνυ πραότατος ὢν ὑπό τινος τῶν ἄγαν ὑπ' αὐτοῦ τετιμημένων ἀγνωμονηθείς, καὶ φέρων ἠπιότητι, τοιοῦτον εἶπε λόγον· « Τί πραότερον τῆς μελίσσης; ἀλλ' οὐδὲ αὐτὴ φείδεται τῶν τρυγόντων (imo τρυγώντων) ». Καί τις αὐτοῦ (f. αὐτῷ) τῶν θεραπευόντων ὑποφθάσας φησίν· « Ὦ κράτιστε βασιλεῦ, καὶ τοῦτο σκόπει· οὐδὲ γὰρ αὐτὴ τὸ κέντρον ἐστὶν ἀσφαλές· ἐπειδὴ παίει μέν, αὐτίκα δὲ τῷ κέντρῳ συνδιόλλυται ». Corrigendum αὐτῇ, ac fortasse ἠπιώτατα. Locum paulo prolixiorem allegavi, ob libri raritatem.

[1] In codice lacuna est quæ unum capiat vel duo vocabula. Fortasse ἔχει ἀπολογησόμενος μεταθ., vel ἔχει τὴν πρᾶξιν, ἔχει τὸ μύσος μεταθ.

[2] Nude memoratur in Proverbiis Metricis, ἁλῶν μέδιμνος. Locus est classi-

μενον· ἄνδρας τοιγαροῦν τοιούτους καταπροδιδοὺς εἰς σφαγήν, τολμήσει γρύξειν, καὶ λόγους ἀπολογίας εἰπεῖν ὡς οὐ κακῶς πέπραχεν;

Ἐγὼ[1] δὲ πρὸς ὑμᾶς ἐρωτῶ ὡς[2], καλὰ ταῦτα, καὶ δεῖ τὸν στρατηγὸν ὅλως τοιαῦτα ποιεῖν; δεῖ δὲ καὶ ὑμᾶς ἐπιτρέπειν σφάττειν τοὺς ἐπ' ἐξουσίας ὁντιναοῦν καὶ ἐκποδὼν ποιεῖσθαι ὃν ἂν καὶ βούλοιντο, μόνον πλαττομένους προφάσεις, ἐφ' ἃς ἀνάξουσι τὸ κακούργημα; Ἐπιτρέψομεν δέ, εἰ τοῦτον τέως ἀφεῖμεν.

Δεῖ τὸν στρατηγὸν φυλάττειν τοὺς νόμους καὶ κατ' αὐτοὺς πολιτεύεσθαι[3]. Ἀλλὰ δεῖ περιποιεῖσθαι τὸν στρατηγὸν καὶ τῶν στρατιωτῶν προμάχεσθαι, καὶ τῆς ἰδίας ψυχῆς προτιμᾷν τὴν ἐκείνων ζωήν, κἂν ἀμφότερα σώζοιντο, καὶ νόμοι καὶ στρατιῶται, εὖ ἂν ἔχειν ἡγεῖσθαι καὶ λίαν ἐπαινετῶς· εἰ δ' οὖν[4], ἀλλ' εἰ καὶ νόμος πολλάκις[5] τῇ τῶν στρατιωτῶν σωτηρίᾳ ἐμποδὼν ἵσταται, ἀναφέρειν αὐτίκα τοῖς ἄρχουσι, καὶ πείθειν πειρᾶσθαι παραβλέπειν καὶ νόμον ἔστιν ὅτε πρὸς σωτηρίαν τῶν στρατιωτῶν.

Εἰ γοῦν[6] ἀναισχύντως λέγει ὡς στρατηγῷ γε ὄντι ἐξῆν βουλεύεσθαι περὶ τῶν κατ' αὐτὸν παρεμπιπτόντων πραγμάτων, ἔχετε λέγειν ὡς οὐκ ἐξῆν. Οὐδὲ γὰρ ἐχειροτονεῖτε τοῦτον, οἶδα, αὐτόβουλον καὶ εἴ τι[7] ἂν ὁρμήσειε πράξοντα, μὴ δικαστάς, μὴ βουλήν, μὴ ἄλλο τι τῶν τὴν ἡμετέραν συνεχόντων πολιτείαν ὑπολογιζόμενον, μή πως καὶ ἀνακριθέντων τῶν κατ' αὐτὸν ἁλῷ καὶ δίκας τῶν τολμηθέντων τίσειεν. Εἰ δὲ[8] καὶ τοιοῦτος ἦν, οὐδὲ πάλιν ἔδει ἐπὶ τοσοῦτον ἀπαυθαδίζεσθαι[9]· ἔδει δυςωπηθῆναι καὶ τὴν τῶν

cus Ciceronis de Amic. 19, « multos modios salis simul edendos esse, ut amicitiæ munus expletum sit ». In sequentibus respici puto versus Hesiodi E. 347 : Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴκε δύνηαι. Non valde perspicua est sententia auctoris.

[1] Schol. : θέσις.

[2] Pro ὡς fortasse εἰ videbitur scribendum, sed quum posuerit librarius signum interrogandi post ποιεῖν et κακούργημα, servabo ὡς, et fiet post ὡς, ut sæpe post ὅτι, oratio directa. Etsi cum ἐρωτῶ talis sit rara syntaxis.

[3] Objectio adversarii pro duce.

[4] Schol. : ἑτέρα μετάληψις.

[5] De sensu adverbii πολλάκις p. 242, n. 6.

[6] Schol. : ἀντίληψις κατὰ ἔνστασιν.

[7] Sic εἴ τι jam p. 179, n. 1.

[8] Schol. : ἀντιπαράστασις.

[9] Codex, ἀπαυθίζεσθαι. Ac fere videtur α fuisse e correctione deletum, ne

ἀνδρῶν τύχην καὶ τὴν τοῦ καιροῦ περίστασιν, καί, εἰ οὐκ ἂν ἄλλο λογίσασθαι, ἀλλ' οὖν τὸ τῶν θεῶν εὐμενές· εἴπερ ἐκεῖνοι μέν, τῶν ἡμετέρων πραγμάτων κηδόμενοι, ἐπὶ νοῦν ἔθεσαν τοῖς πολίταις καὶ τὰ δεσμὰ ῥῆξαι καὶ ἀναδραμεῖν πρὸς ἡμᾶς, αὐτὸς δ' ἀμελεῖ καὶ καταπροΐεται τὸν καιρόν, ὃν ἐν τοῖς ἄνδρασιν [1].

Ἐπεὶ[2] τίνα νοῦν εἶχες τότε, ὅτ' ἤκουες τοὺς ἀπαχθέντας ἐν φρουραῖς ἀσφαλέσι ταῖς τῶν ἐχθρῶν ἱσταμένους ἤδη πρὸ τῶν πυλῶν, καὶ θυροκτυποῦντας, καὶ ἱκετεύοντας, καὶ αὖθις τοὺς κατόπιν καὶ ἐπὶ νώτου διώκοντας, καὶ τὸ πᾶν ἐπὶ σοὶ κείμενον κατενόεις, ὡς, εἰ μὲν ἀνοίξειας, σωθήσονται, εἰ δ' οὐκ ἀνοίξειας, κινδυνεύσουσι; Καὶ σὺ μὲν ἀνεβάλλου, ὁ δὲ κίνδυνος οὐκ εἶχεν ἀναβολήν. Ἔδει τότε νόμους ὑπολογίζεσθαι; ἔδει ποσῶς[3] ἡσυχάζειν; ἔδει τὸν ἥλιον ἀναμένειν, καὶ τότ' ἀνοίγειν;

Ἤνοιξας τότε, ἀλλ' εἶδες τὸ γεγονός, ὃ πάντως ἐπόθεις· εἶδες ἄνδρας κειμένους, ἐσκυλευμένους νεκρούς· εἶδες ἐλεεινὴν θέαν· εἶδες ἀσύνηθες μάκελλον[4], κεφαλὰς ὧδε, χεῖρας ἐκεῖσε, ἀλλαχοῦ πόδας, ἐκκεχυμένα ἔγκατα· ἄξιά γε ταῦτα τῆς σῆς στρατηγίας.

Εἶτα καὶ πόσους ἂν θανάτους θανών, ἀξίας τίσεις τὰς δίκας; ἔδει τὰς ἐκείνων ἀνὰ μέρος αἰκίσεις καὶ σὲ βαστάσαι μόνον ἐπὶ τοῦ σώματος, ἔδει τόσας σφαγὰς ὑποστῆναι, ἔδει κεῖσθαι μὴ μιᾷ πληγῇ, ἀλλὰ μυρίαις ταῖς ἐκείνων· καὶ οὕτως ἂν ἴσως ἀντεσήκωσας τὸ πλημμέλημα. Νῦν δέ, ἀλλ' οὐ χωρεῖ τὸ σῶμα τοσαύτας.

legeretur ἀπαυθιάζεσθαι. Scripsi correctius ἀπαυθαδίζεσθαι, qua verbi forma bis usus est. Vide p. 190, n. 3.

[1] Lacunæ prioris mensuram præbent verba superiora ῥῆξαι καὶ ἀναδραμ., posterioris syllabæ αὐτὸς δ'.

[2] Schol.: ἐπίλογος.

[3] De ποσῶς vide p. 129. Reperto sic male scripto Theodori Prodromi versu, Καὶ ἐγὼ ὑπομένω καὶ ἔρχομαι ποσῶς μετρῶ τοὺς στίχους, Corayus Atact. I, p. 144, pro πόσως proponit πόσους μ. τ. σ., vel πόδας μ. τῶν στίχων, tacens de μετρῶ, quod videtur esse mendum typorum pro μετρῶν. Equidem non mutaverim, ποσῶς μετρῶν τ. σ. In priore hemistichio conjecit ὑπαγένω, metro titubante. Videtur μένω corruptionem esse solitam verbi βαίνω, sed præpositio non convenit. Fortasse κἀγὼ διαβαίνω κἔρχομαι· vel κἀγω 'πιμένω κἔρχομαι.

[4] Μάκελλον] vide Coray. Atact. I, p. 215.

Ἀλλὰ τί πρὸς σέ, καὶ μὴ πρὸς τούτους λέγω;

Τὸ μὲν πραχθέν, ἄνδρες, οἶδα, κατανοεῖτε, καὶ λόγων οὐ χρῄζει πρὸς τὸ φανῆναι δεινόν. Τί γὰρ καὶ φαίη τις ἄν, ὥςτ' ἀξίως εἰπεῖν ὁπόσον ἐτολμήθη τῷ φιλοπόλιδι τούτῳ, καὶ στρατηγῷ, καὶ τῶν νόμων, ὡς ἰσχυρίζεται, φύλακι; Ὅπως δὲ κολαστέον τὸν πράξαντα, οὐ λόγων δεῖσθε προςορμησόντων καὶ κινησόντων ὑμᾶς. Ἔχετε γὰρ τὰς ἐμφύτους ὁρμὰς εἰς τὸν ὑπὲρ τοῦ καλοῦ ζῆλον[1], ὥςτε καὶ τὸν εὐεργέτην τιμᾷν προςηκόντως καὶ τὸν κακοῦργον κολάζειν ἀξίως. Καὶ οἶδα μὲν ὅτι εἰ χερσὶν ἦν κτείνειν, οὐδεὶς τοῦ μὴ πλήττειν ἀπέσχετο[2], ἀλλὰ πάντες ἔβαλλον καὶ τὰς ἐπὶ τούτῳ αἰκίσεις φυλλοβολήσεις[3] τῶν πεσόντων ἐνόμιζον. Ἐπεὶ δὲ γνώμαις καὶ ψήφοις τὸ κακὸν εὐθύνετε, οἷς ἔχετε κτείνειν, μὴ ἀμελήσητε, ἀλλ' ἀρκεσάτω κοινὴ ψῆφος, καὶ ἀπὸ πάντων ὡς μία[4], τῷ παλαμναίῳ τούτῳ πρὸς θάνατον. Καὶ ἔσται πάντως ἐς ὕστερον μνήμη καὶ λόγος ὑμῖν εὔφημος, ὡς ἄρα πάλαι ποτὲ τῇ πόλει ἄνδρες ἦσαν τοῦ καλοῦ ζηλωταί, ὥςθ' ἁπάσαις χερσὶ καὶ τὸν εὐεργετοῦντα τὴν πόλιν ἔστεφον καὶ τὸν ἀδικοῦντα ἐκόλαζον, ὥςτε μίαν μὲν τὴν διὰ ξίφους συμβαίνειν πληγήν, μυρίας δὲ τὰς ἐκ τῆς γλώττης σφαγάς. Καὶ οὕτω ζηλώσουσιν ἄλλοι, καὶ τοῦ λοιποῦ, οὐ μόνον πρὸς τὸ παρόν, ἀλλὰ καὶ πρὸς τὸ μέλλον, ὀνήσει τὴν πόλιν ἡ παρ' ὑμῶν ψῆφος αὕτη, καλῶς ἐπενεχθεῖσα, ὡς ἐγὼ λέγω καὶ πάντες συμφήσαιεν.

[1] Ζῆλον] vide p. 224, n. 3.

[2] Videtur deesse ἄν. Sed cf. p. 225, 11.

[3] Cod., φυλλοβουλήσεις. Alludit idque eleganter ad veterem φυλλοβολίας et ἀνθοβολίας morem in luctus et in lætitiæ significationem, de quo olim monui ad Diogenis Epistolas in Notitiis Mann. t. X, p. 194; ad Nicetam Eugen. p. 396; ad Bionem 1, 75. Adde Jacobs. Anal. t. VI, p. 396; Herald. ad Mart. 8, 65, p. 163; Schneidew. ad Ibyc. p. 120; Tafel Dilucid. p. 705, 936.

[4] Antithesin ἀπὸ πάντων ὡς μία memini legere in Theodori Rhodante, 1, p. 21 : Οἱ πάντες εὐθὺς συμμιγῆ φωνὴν μίαν Ἔκραξαν. Pariter p. 37 : Πρὸς ταῦτα κράξας συμμιγῆ φωνὴν μίαν Ὁ συμπαρεστὼς ὄχλος.

ΜΕΛΕΤΗ ΙΓ'.

Στρατηγὸς ἁλοὺς παρὰ τοῖς ἐχθροῖς ἐπὶ πολὺ βασανιζόμενος εἰπεῖν τὰ τῆς πόλεως ἀπόῤῥητα, εἶτ' ἀναγκασθεὶς καὶ ἐξειπών, ἀπολύεται καὶ τῶν βασάνων καὶ τῆς αἰχμαλωσίας. Καὶ ἐπανελθὼν παρὰ τῶν ἰδίων κρίνεται δημοσίων ἀδικημάτων. Μελετῶμεν τὸν στρατηγόν[1].

Ἔδει[2] θανεῖν παρὰ τοῖς ἐχθροῖς ἐπὶ τῶν βασάνων ἐκείνων, ἄνδρες, πρὶν διδόναι λόγους τῆς πλημμελείας παρ' ὑμῖν ἀναγκάζεσθαι. Ἔδει τότε πεσεῖν αἰκιζόμενον, ἢ[3] τὰ νῦν λαλεῖν ἐφ' ὑμῶν τὰ μεγάλα κατηγορούμενον. Ἔδει παρὰ τοῖς ξενοῖς ἐλεεῖσθαι καὶ μὴ παρὰ τοῖς ἡμεδαποῖς ὀνειδίζεσθαι. Τί γὰρ ἐμοὶ εἰς τέρψεως λόγον τὸ ζῆν, ἀνδρὶ δυστυχῶς μὲν σχόντι τῆς στρατηγίας, δυστυχῶς δὲ καὶ τῶν ἐσαῦθις πραγμάτων ἔχοντι· καὶ ὡς ἔοικεν, οὐδὲν ἄλλο τὸ κατ' ἐμὲ ἢ βασκανία Τελχῖνος ὠμοῦ[4], κόρον οὐδέν'[5] εἰδότος ἐπὶ τοῖς ἐμοῖς χαλεποῖς. Ὁ γὰρ μήτε τοῖς ἐχθροῖς χρησάμενος προσηνῶς, μήτε τοῖς οἰκείοις ἱλαρῶς, ποῦ φυγὼν ἕξει καλῶς; ὅθεν καὶ εἰ μὲν τὸν δυστυχῆ νόμος κελεύει κτείνεσθαι, λόγος οὐδείς, καὶ κτείνετε παραυτίκα, καὶ μὴ ψήφοις ἰδίαις καὶ ταῖς τοῦ κατηγόρου φοναῖς, ἀλλὰ ταῖς ἐμαυτοῦ καταμαρτυρίαις καταδικάζετε. Εἰ δὲ γνώμης, ἀλλ' οὐ τύχης βάσανος τὸ παρὸν δικαστήριον, ἔστι κἀμοὶ λόγος, ἔστι περὶ τῶν συμπεσόντων ἀπολογεῖσθαι, καὶ ὑμᾶς ἀξιῶ μὴ πρότερον θορυβεῖν καὶ ἀφίστασθαι, πρὶν ἂν τοῦ παντὸς διακοῦσαι λόγου, καὶ οὕτως ἐξενέγκαι τὴν ψῆφον, δικαίαν, οἶμαι, καὶ τοῦ παντὸς ἀξίαν, καθὼς καὶ πρότερον κρίνειν εἴθισθε.

Τοῖς[6] μὲν οὖν πολεμίοις οἷς ὁ σκοπὸς ἦν τὸ κτείνειν τὸν στρα-

[1] Schol.: ἡ στάσις, συγγνώμη. Et de μελετῶμεν p. 186.

[2] Schol.: τὸ προοίμιον παθητικόν, ἐκ τῆς τοῦ ἔχοντος τὸ ἔγκλημα ὑπολήψεως.

[3] Fit ellipsis adverbii μᾶλλον, quam frequentat.

[4] Τελχῖνος] vide p. 218, n. 2.

[5] Cod., οὐδέν. Scripsi οὐδέν', et malim οὐδένα.

[6] Schol.: δεύτερον προοίμιον ἐκ τῆς τοῦ κατηγόρου ὑπολήψεως, ὅτι, εἰ καὶ μὴ φθονερὸς ἴσως, ἀλλ' ἀπηνὴς εἰς αὐτόν.

τηγόν· ὡς δ' εἴργοντο νόμοις μὴ κτείνειν λαβόντας καὶ ἐν χερσὶν[1] ἔχοντας, εἰ μή γε παρὰ τὸν πόλεμον, ἄλλως τὸ αὐτουργεῖν μετεχείριζον, καὶ βασάνοις παρεδίδουν πικραῖς καὶ αἰκίαις οὐμενουν φορηταῖς, ἐκποδὼν ποιῆσαι τὸν πολλάκις αὐτοὺς τὰ χείριστα δράσαντα[2], κενήν, ὅ φασι, πρόφασιν[3] πλάττοντες, τὸ θέλειν μαθεῖν τι τῶν ἀπορρήτων τῆς πόλεως.

Ἀλλ' εἶχον ἐκεῖνο μόλις, ὁμολογῶ· εἶχον ἐκ τῆς ἀνάγκης ἐκείνης παρα   ἐκ[4] τῶν καρδιακῶν θησαυρῶν καὶ παραφθεγξαμένης ὅπερ οὐκ ἔδει. Καὶ αὐτοί, ὥςπερ αἰσχυνθέντες τὸ φανῆναι κακοί, ἀπέλυον ἄκοντες, μεταμελούμενοι δῆθεν ὅτι μὴ τὴν ἀρχὴν ἀπῄτουν ἀδύνατα, ἐφ' οἷς καὶ διαπεφωνηκὼς ἂν ἐκτεινόμην, κἀκεῖνοι τοῦ ἐςαῦθις φόβου παρευθὺς ἀπελλάττοντο.

Ἐκεῖνοι μὲν οὖν οὕτω σκοποῦντες, οὕτω καὶ τῆς ἐλπίδος ἐψεύσθησαν. Ὁ δὲ παρὼν οὗτος, κατ' ἐμοῦ πνέων βαρύς, τὸ ἐλλεῖψαν ἐκείνοις ἀναπληροῖ, καὶ θέλει φονεύειν ὃν οὐκ ἴσχυσαν ἐκεῖνοι θέλοντες, καὶ διπλοῦν τοῖς ἐχθροῖς τὸ κέρδος πειρᾶται περιϊστᾷν, οἷς τε παρ' ἐμοῦ ἄκοντος ἔλαβον, καὶ οἷς ὑμεῖς, ἂν τούτῳ πείσθητε, ποιήσετε. Εἰ δεῖ δὲ τοῦτο γενέσθαι, εἴτε καὶ μή, σκοπεῖν ἀξιῶ. Οὐδὲ γὰρ ἴσον εἶναι δοκῶ τὸ ὑμᾶς κτείνειν,

[1] Cod., καὶ χερσίν, inserui ἐν Potui scribere κἂν χ., qua crasi nonnusquam est usus. Doctissimus ejus historiarum editor ad hanc sententiam in Andronico, 5, 12, p. 396, ὅρκους.... λαμβάνων καὶ μέρει διδούς, conjicit legendum esse καὶ ἐν μ. Et κἂν conveniret. De formulis ἐν μέρει, ἐν τῷ μέρει eruditissimam scripsit notam C. Frid. Hermann. ad Luc. de Conscr. Hist. p. 6.

[2] Codex prius αὐτοῖς, tum e correctione αὐτούς. Cum verbis ποιεῖν δρᾷν uterque casus est in usu. Isocrates ad Dem. p. 6 : κακοὺς εὖ ποιῶν.... καλοὺς εὖ ποιεῖν.... τοὺς ἀγαθοὺς εὖ ποίει· quos describens locos Georgides Gnomologio in meis Anecd. Gr. t. I, pp. 51, 52, 83, dativos exhibet; sed accusativos reperi in alio codice. Theophrastus Char. 20 : εὖ ποιῶν γὰρ αὐτούς. Ammonius V. Aristot. p. 11 : εὖ ποιῶν καὶ ἑκάστῳ ἰδίᾳ καὶ πᾶσι κοινῇ. Exempla dativi collegit Zeun. ad Idiot. Vig. 5, § 10, 16; accusativi Schacht. ad Matthæi verba 27, 22 : τί οὖν ποιήσω Ἰησοῦν;

[3] Proverbium κενὴν πρόφασιν πλάττειν legere non memini. Memini vicini proverbii apud Diogenianum, 7, 87 : προφάσεως δεῖται μόνον ἡ παροιμία· ad quem vide Schott., collato Erasmo Chil. 2, 1, 68, et editore Oxoniensi Aristot. Rhet. 1, 12, 23.

[4] Est in codice lacunula, cujus mensuram præbent superiores syllabæ ῥήτων τῆς πόλ. Fortasse legendum παρασπώσης, quod videtur brevius; vel παρασπωμένης, vel παρασπασαμένης.

κἀκείνους. Ἀλλ' ὑμεῖς μὲν δόξετε κτείνοντες, — ἀλλ' οὐ[1] βούλομαι λέγειν ἀρχόμενος τοῦ λόγου οὐδὲν ἐπαχθές — ἐκεῖνοι δὲ κἂν καὶ παρανομοῦντες ἔκτειναν, ἀλλ' οὖν εἰς κέρδος ἀπήντα τὸ παρανόμημα, καὶ τὸ δοκεῖν δικαίως προςῆν. Εἴτε γὰρ προὐβάλετό τις τὰ φθάσαντα, τὴν τοῦ δικαίου τάξιν ἐλάμβανον[2]· ἀμύνειν γὰρ τὸν πολλάκις κατάρξαντα δίκαιον· εἴτε τὴν τῶν μελλόντων προςδοκίαν καὶ οἷς ἐξ ἀνάγκης πάλιν παθεῖν[3], τὴν τοῦ συμφέροντος ἀπηνέγκαντο. Ὁ γὰρ προςδοκῶν παρά του παθεῖν περιόντος δόξει πραγματεύεσθαι τὸ συνοῖσον, εἰ ἐκποδὼν ποιοίη τὸν αἴτιον. Εἰ δέ, κακείνων ἀπολυσάντων παρὰ μόνον τὸ μὴ φανῆναι, οἷς ὑπισχνοῦντο λύειν μαθόντες, ἀπίστους, τὸ καταδικάζειν ὑμᾶς ὁπόσην τὴν ῥοπὴν ἔχει πρὸς τὸ δοκεῖν κακούς, τά τε ἄλλα καὶ τὰ πρὸς χάριν τοῖς πολεμίοις ποιοῦντας, αὐτοὶ ἂν καθ' ἑαυτοὺς σκοποῦντες εἰδείητε.

Ἐγὼ δὲ[4] βούλομαι, ἐπειδὴ εἰς τοιούτους κατέστην λόγους, καὶ δεῖ κἀμέ, ὡς ἔοικεν, ἀπαντᾷν πρὸς τοσαύτην ἐχθροῦ ῥύμην, εἰ καὶ τῶν τοιούτων ἀπείρως ἔχω, πολέμοις ἀεὶ συζῶν[5] καὶ μάχαις ταῖς κατ' ἐχθρῶν, ἀλλ' οὖν, ὡς οἷός τ' εἰμί, ἄνωθεν τὰ συμπεσόντα μοι διηγήσασθαι.

Ἐμοὶ μέν[6], ὦ ἄνδρες [7], πατρόθεν κλῆρος παρὰ τοὺς ἄλλους ἐξαίρετος[8].....

[1] Eadem figura utitur p. 42, 8.

[2] Schol.: ἐκεῖνοι δηλονότι.

[3] Fortasse οἷα ἐξ ἀνάγκης πάλιν παθεῖν ἂν ἔδει, vel πάθοιεν.

[4] Schol.: προκατάστασις.

[5] Πολέμοις συζῶν] vide p. 221, n. 2, de forma dicendi συζῆν τινί.

[6] Schol.: κατάστασις.

[7] In codice lacuna, cui respondent verba superiora ὅς τ' εἰμί. Fortasse scripsit, ὦ ἄνδρες Ἀθηναῖοι, vel δικασταί.

[8] Desinit in hoc vocabulo librarius, vacuas relinquens paginas plurimas.

ΤΟΥ ΦΙΛΗ

ΕΙΣ ΤΟΝ ΠΑΧΥΜΕΡΗ

ΕΠΙΤΑΦΙΟΣ[1].

Ἄλλον μὲν ἄνδρα ζωγραφεῖν ἴσως θέλων,
καὶ τῷ θεατῇ γειτνιῶντι δεικνύειν
ἐκεῖνον αὐτὸν ἐν σορῷ[2] κεκρυμμένον

[1] « Hocce carmen primus vulgavit Leo Allatius in Diatribe de Georgiis, p. 373 [post Georgii Acropolitæ Historiam editionis Lupar., sine dubio ex Vaticano codice]; postea repetiit Fabricius Bibl. Grecæ t. X, p. 718 [edit. a. 1721]. Idem exstat Parisiis in codice 1779 [nunc 1772, qui fuit olim 1630 et 3059], teste Oudino, t. III, p. 678. Dicatum est memoriæ Georgii Pachymeræ, Dicæophylacis in aula Michaelis Palæologi et Protecdici ecclesiæ Constantinopolitanæ, eruditissimi viri, theologi, historici, philosophi, mathematici, oratoris, multis librorum monumentis clari; de cujus tamen vita et scriptis disserere supersedeo, quum id fecerint dudum multi alii, ut Hanckius de scriptoribus Byzantinis, part. I, c. 34, p. 566; *Dupin, Bibliothèque des auteurs ecclésiastiques*, t. X, p. 95; Fabricius Bibl. Gr. t. VI, p. 458 [t. VII, p. 775]; Oudinus de Scriptoribus eccles. t. III, p. 671; Leo Allatius, l. c.; Caveus, aliique. Anno circiter 1310 vitam cum morte commutasse videtur, judice Fabricio, ut proinde eodem hocce anno carmen a Phila scriptum fuisse verisimile sit ». WERNSDORF. Carm. Phil. p. 314. Ipse id Pachymeris epitaphium contuli ad codices 1779, 1931, quos in notis significabo litteris, illum A, hunc B. Lemma sumsi ex A.

[2] Editt. σοφῷ. W. conjecit σορῷ, quod exhibent codices. Illa de permutatione litterarum φ ρ vide Bast. Comm. Palæogr. p. 848; Jacobs. ad Anal. t. XIII, p. 647. Qui Jacobs. ea, ni fallor, est abusus ad Ant. 7, 176, epigramma emendaturus Antiphili non emendandum. Loquitur mortuus, cujus cadaver dente vomeris altius impresso fuit effossum: Ἦ ῥα κακῶν θάνατόν τις ἔφη λύσιν, ὁππότ' ἐμεῖο, Ξεῖνε, πέλει παθέων ὕστατον οὐδὲ τάφος. Edidit e conjectura ἐρεῖ vir d., quod sententiam pervertit. Non poterat enim mortuus iste obscurissimus opinari tantam fore effossionis impiæ celebritatem, ut nemo jam diceret mortem esse finem ærumnarum. Sed meminit id a nonnemine fuisse dictum, atque miratur. Frequentior est multo literarum ρ et λ confusio. Theodorus, Prodromus Rhodanthe, 3, pag. 125: Ὁ τοίνυν ὕπνος.... Τότε θροηθεὶς τῇ βοῇ τῆς παρθένου Πολλῷ μετέπτη, καὶ μετῆλθεν ὡς τάχος. Legerim πόῤῥω μετ....

συνηγόρους ἂν εἶχον εὐθὺς τοὺς λόγους,
ὡς καὶ πνοῆς[1] κιρνῶντας ἰσχὺν τοῖς τύποις·
ἐπεὶ δὲ σοῦ[2] θανόντος, ὦ διδάσκαλε,
δοκοῦσι νεκραὶ τῶν λόγων αἱ χάριτες,
δέδοικα μὴ δύςφραστον εἰςοίσω κρότον
ἀνδρὶ σοφιστῇ καὶ παθῶν ἐλευθέρῳ.
Πλὴν εἰ[3] περιὼν ἐξ ἀτύφου καρδίας
καὶ τῶν ἀμαθῶν ταῖς γραφαῖς ἐπεκρότεις,
ὡς ἂν ἔχοι[4] πρόθυμον ἡ φύσις δρόμον,
νῦν τάφον οἰκῶν καὶ σιγῆς λίθον στέγων,
καὶ βιβλίων ἔρημον εὑρὼν πυθμένα,
πῶς ἂν παρ' οὐδὲν τοὺς ἐμοὺς ἄγοις[5] λόγους,
καὶ ταῦτα μικροῦ σὴν τελευτῶντας[6] χάριν;
Ἀλλ', ὦ πόλεις[7], πενθεῖτε κοινῇ τοὺς νόμους.
Ὁ γὰρ παρ' ἡμῖν[8] εὐσεβὴς[9] Δημοσθένης
τῆς ῥητορικῆς οὐ σκαλεύει τὴν φλόγα.
Μὴ[10] χερσὸς ὀφθεὶς τῶν δικαστῶν ὁ θρόνος

[1] Cod., πνοήν. Editt., πνοῆς. — « Pro πνοήν, omnino πνοῆς. Est autem ἰσχὺς πνοῆς spiritus poeticus, et vires numerorum quas suis versibus, quum nolit esse languidos et elumbes, ab eruditione exspectat ». Wernsd. Imo persistit in imagine primi versus. Ζωγραφεῖν θέλων esse se pictorem fingit, et orationem ait vitam cum spiritu pictæ infundere posse tabulæ.

[2] Edd. δέ σου. Codd. δὲ σοῦ.

[3] Edd. εἰ. A, ὡς. B, εἰ.

[4] Edd. ἔχει. — Post longas ambages Wernsdorf. : « An tandem legendum erit, ὡς ἂν ἔχοι· eo consilio ut ingenia excitarentur et alacriter auderent scribere ». Codd. ἔχοι.

[5] Edd. B, ἄγεις. A, ἄγοις quod proponebat Wernsdorf.

[6] Edd. μικροῦ συντελευτῶντας χ. Proponit W., καὶ ταῦτά σοι μικρὰν συντελοῦντας χ., vel, κ. ταῦτα οὐ μικράν σοι τελοῦντας χ. Sed syllabas συντε, σοι τε, illa in sede, ne Philes quidem velit accipere. Recepi codicum scripturam. Pronomen σήν optime habet. Pro τελευτῶντας fortasse τελειοῦντας : « quomodo mea pro nihilo verba duces, idque tuam ferme consecrantes gratiam, tuam ferme consecrantes et inaugurantes laudem »?

[7] Edd. B, πόλεις. A, πόλις.

[8] Edd., ὑμῖν. Codd., ἡμῖν.

[9] Εὐσεβής, christianus scilicet. Vide n. ad Choricium, p. viij.

[10] Wernsdorfius, μή reddens latina negatione *non*, quum non inveniret sententiam quæ recte procederet, proponit legendum καί. B, μή. A, μή', cum duplici accentu, et βάτον; interrogative. Et id recte. Nam μή' cum duplici accentu scripsisse librarios animadvertit opportune Schæferus ad Gregor. p. 824, distinguendi causa μή interrogativum a conjunctione. Sunt et alia vocabula duplici nonnunquam a librariis accentu signata, ἄ'ν, μέ'ν, δέ'. Quod videre est

ἔγκεντρον[1] ἐνδίδωσι λημμάτων βάτον;
Ὅμηρε, πῶς τοσοῦτον ἠρεμεῖς χρόνον,
Ἰλιάδα γράφειν σε δευτέραν δέον
καὶ τὴν παλαιὰν δυςπραγοῦσαν[2] δακρύειν;
εἰ μὴ γὰρ ἦν ἐκεῖνος ἐν διδασκάλοις
ὁ νῦν σιωπῶν καὶ καθεύδων ἐν τάφῳ,
τίς ἂν τὸ βαθὺ τῆς πλοκῆς λύσας νέφος
ἀνῆκε λαμπρὰν τῆς γραφῆς[3] τὴν αἰθρίαν;
Νῦν καὶ σὺ νῦν τέθνηκας, ὦ γέρων[4] Πλάτων·
οὐ γὰρ μετεμψύχωσις, οὐδὲ Σωκράτης,
γλώττης δὲ ταυτότης σε καὶ τέχνης κράτος
ἔμπνουν[5] καθαρῶς ὠργάνουν τῷ κειμένῳ.
Ἀριστότελες, ἆρα[6] κομπάζεις ἔτι;
καὶ μὴν κρυβῆναι δεῖ σε καὶ σιγὴν ἄγειν,
κλείσαντα[7] σαυτοῦ δυςτυχῶς τὰ βιβλία.

in Florentii editione Iahniana; v. c. p. 502: Οἱ μὲν ἐφιέμενοι τῆς ἐπιδείξεως Ξενοφάνους ἀκοῦσαι· φιλεῖ γὰρ ἐπιῤῥεπῶς ἔχειν ἐς τὰ τῶν ἀκουσμάτων καὶ θεαμάτων καινότερα τὸ ἀνθρώπινον· οἱ δὲ τήν.... Codex Paris., μὲν.... ἀνθρώπιον δέ. Est legendum ἀνθρώπειον, varietate illorum adjectivorum perpetua. Idem codex aliis locis accentum duplicem exhibet. Nimiam esse puto circa talia viri doctissimi diligentiam. Quod exhibuit p. 507 adverbium ἀμοιβαδόν non opinor sæpe obvium fuisse viris doctis qui codices accurate inspiciunt. Plerumque circa particulas μέν, δέ, ἄν ille duplicis accentus usus continetur.

[1] Proponit Wernsd. ἐγκέντρων. Et est quidam ἐγκέντρων βάτων in Philæ carmine de Plantis v. 273, sed in clausula. Numerum syllabarum duodenarium, ante alias leges, observat quidem poetaster; nolim tamen illi spondæum secundæ sedis tam gravem obtrudere, præsertim nullo sententiæ emolumento.

[2] « Ilias Homeri dicitur calamitosa, quia interpretem suum perdidit, et nunc jacet non intellecta ». W.

[3] Proponit τῇ γραφῇ W. sine necessitate.

[4] Edd. B, γέρων. Placeret quidem magis ὦ γέρον. In A esse videtur γηρῶν, quod recipi potuisset, si fuissem de scriptura certior.

[5] « .... Scribo σύμπνουν, conformem, conspirantem. Nempe styli similitudo et artis rhetoricæ studia Platonem reddunt cum Pachymere conspirantem ». W. Probabilissima Wernsdorfii conjectura. De facili permutatione syllabarum εν et συν, præsertim præcedente littera sigma, ut hic in τος ἐμ, monui ad Theoph. Simoc. p. 263; monuerat et Schæfer. in Matthiæ Præfatione ad Homeri Hymnos extrema. Symeon Sethi Ichnel. p. 120: λαβοῦσα τοὺς νεοσσοὺς σὺν τῇ φωλεᾷ ἀπῆλθεν. Lego, ἐν τῇ φ.

[6] Codd., ἄρα.

[7] Edd., κλύσαντα. « Quid est eluentem libros? Lege κλείσαντα. Nempe va-

Ὁ γὰρ κατὰ σὲ τεχνικὸς διδάσκαλος
ἄριστον ἐκτήσατο καὶ φίλον τέλος
ἀναλυτικῶς[1] ἐκδοθεὶς τοῖς πατράσι[2].
Ῥώμη νέα, στέναζε καὶ θρήνους πλέκε·
τῶν γὰρ λόγων ὁ κόσμος εἰς γῆν ἐκρύβη.
Πλὴν εἰ πάλιν αἴσθησιν εἰς λόγους ἔχεις[3],
Παχυμέρη, πρόελθε, καὶ λογογράφει,
καὶ τοὺς τὰ μαθήματα συνθέντας[4] νίκα,
καινὰς ἐπ' αὐτοῖς ἐκδιδάσκων εὑρέσεις.
Ἵνα δὲ τὰ πρέποντα συλλήβδην φράσω,
ὁ σύλλογος πᾶς τῶν σοφῶν κόπτεσθέ μοι[5].

rios commentarios et paraphrases in Aristotelem reliquit Pachymeres, teste Fabricio l. c. p. 466 [p. 785]. Nunc hoc interprete mortuo, Aristoteles quiescit neque legitur, quum propter styli obscuritatem sine interprete legi nequeat, et clausus videatur. Sin obscuritatem nolis philosopho exprobrari, legas mea pace κλαύσαντα, *defleas tuos libros* interprete orbatos ». W. Priorem conjecturam esse veram dicebam olim ad An. Gr. t. II, p. 198, eamque confirmant codices. Sonus parilis vocalium υ ει mendum peperit. Himerius Or. 23, 18 : ἀπέκλεισας πύλας· male codex ἀπέκλυσας. Theodorus Prodr. Tetrast. p. 56 : Βαλαὰμ ἀλλοφύλοιο ὄνος ποτὲ γῆρυν ἄειρεν, Ἀγγέλου ἀντιάσαντος· ἐμοὶ δ', ὄνε κάμμορε, γλῶσσα, Οὔ ποτέ μοι κραιπνὴν ἐπί, δύστανε, γῆρυν ἀείρεις. Ὦ θεὸς ἀντίασεν οὐδ' ἀλλοφύλῳ γεγαῶτι; codex, ἀύσεις. Male scriptum fuerat ἀείσεις, et correxit nonnemo ἀείρεις, forsan et ob præcedens ἄειρεν. Sed et præcedens illud ἄειρεν abeat in ἄυσεν, duce codice. Quicquid sit de utriusque scripturæ origine, nova multo præstat. Euripides Ione 1446 : τίν' αὐδὰν ἀύσω;

[1] « Alludit poetaster ad libros analyticos Aristotelis, memorans Pachymeræ beatam ἀνάλυσιν ». W. Sed quam frigide! Scripsit Pachymeres « in universam Aristotelis artem Epitomen » cujus interpretatio latina, Rasarii opus, Venetiis fuit evulgata a. 1545. Insunt Priores Philosophi et Posteriores Resolutiones. Quam editionem ob id memoro, quod de ea taceant Fabricius et Harlesius.

[2] Codd., πατράσι. Edd., πατράσιν, et in clausula bene.

[3] Codd., ἔχεις, quod correxit W., quum editum esset, ἔχοις. Permutatio est solita vocalium ει οι. Methodius Conv. p. 167 : ἀτὰρ μή τι κωλύοις ἐὰν ἀντιλαμβάνωμαι τῶν λόγων· vertente Possino : « sed quæso ne quid obstes.... ». Malim κωλύει, sumto etiam μὴ interrogative : « sed nunquid obstat »? Alia est Allatianæ lectio, μή τι κωλύω, cum interpretatione, « num vero est quod impediat »? Puto κωλύω esse mendum typorum, et Allatium ipsum scripsisse aut voluisse scribere κωλύει, idque bene.

[4] Edd., B, συνθέντας. A, συνθέτας. « Respicit ad mathematica scripta Pachymeris, quæ facile ex Fabricio [l. cit.] cognosci possunt ». W.

[5] A, σοφιστῶν κοπτέσθω. Permutationem nominum σοφός et σοφιστής attigi ad Eunap. p. 439. Adde Wyttenb. Bibl. Crit. part. XII, p. 73.

Ἡ γὰρ κιϐωτὸς τῶν καθ' ὑμᾶς[1] βιϐλίων
εἰς τὴν κιϐωτὸν τῆς φθορᾶς ἀνετράπη.
Δικαιοφύλαξ[2], εἰ μέτεστί σοι πάλιν
θεσμῶν φυλακῆς[3] καὶ βραϐεύεις ταῖς δίκαις,
θέσπιζε, δογμάτιζε, τὰς στάσεις λύε,
τὴν ἀπροσωπόληπτον ἐξάγων κρίσιν·
ζῆλος γὰρ ὁ πρὶν οὐ συναπέθανέ σοι.
Ἆρ' οὐχὶ καὶ ζῶν τὴν τελευτὴν ἐσκόπεις,
καὶ τόνδε καλῶς ἐτραγῴδεις[4] τὸν βίον;
Ὦς κύκνε λευκὲ τῇ πτερώσει τοῦ χρόνου[5],
ἐκεῖνο τοῦτο καὶ, τοσούτων φεῦ! πόνων,
τὸν τοῦ τέλους τρίπηχυν ἀνθείλου τάφον[6].

[1] Edd., ἡμᾶς. Codd., ὑμᾶς. Himerius Orat. 3, 7 : μηδεὶς ὑμῶν θαυμάσῃ. Citat Wernsd. ἡμῶν e cod.; ego reperi ὑμῶν.

[2] Pachymerem alloquitur, qui fuit Dicæophylax. Vide p. 1.

[3] Edd., φυλακή, et sic Cangius, qui locum laudat Gloss. sub Δικαιοφύλαξ. A, φυλακῆς. B, φυλακαὶ καὶ βραϐεύσεις.

[4] « Phrasis hæc, τραγῳδεῖν τὸν βίον, significat deplorare vitam humanam ejusque agnoscere et recensere calamitates, quod postea fit v. 61 ». W. Alludi videtur ad Pachymeris carmen de vita sua. Videsis Fabricium, l, c. p. 786.

[5] Edd., τῷ πρεπώδει τοῦ χρόνου. Codd., τῇ πτερώσει, quod recepi : « Olor o candide celeri facte volatu temporis ». Nomine illo πτέρωσις ducor ad epigramma Sylloges Welckerianæ, p. 149, quod in transitu tentare liceat: Οὐδὲν τὸ πεῖσαν, ὡς δοκῶ, τοὺς πρὶν λέγειν Ὡς οὐρανοῦ κάτεισι τῶν ψυχῶν γένος, Ἀλλ' ἡ πτερωτὸς καὶ τρέχων τὸν αἰθέρα Καὶ πᾶν πτερῶν ὕψωμα νοῦς Ἰαμϐλίχου. Putabat vir d. esse πτερῶν participium verbi πτεροῦν, quod ipsi « volare » significat, ut sit πτερῶν ὕψωμα fere synonymum præcedentis sententiæ τρέχων αἰθέρα. Sic mens Iamblichi et currit et volat per æthera et cœlum sublime. Servato πτερῶν, malim id habere pro genitivo, ut πτερῶν καὶ πτηνῶν ὕψωμα celsissima designet cœli spatia volucribus patentia. Malim etiam corrigere περῶν, « altissima trajiciens cuncta spatia ». Permutari πτ et π monstravit Bastius Comment. palæogr. Sic vitabitur inelegans repetitio πτερωτός et πτερῶν.

[6] Mendum se videre, non bonam emendationem Wernsdorf. ait. Quod conjecit omitto. Sic autem locum intelligo : « id ipsum, illam inquam canitiem, et, pro tantis heu! laboribus, tricubitum terminaleque tibi sumsisti sepulcrum ». Carmine de Officiis, inedito Philes, v. 113 : Ἔγνωμεν λαμπρὸν τὸν Χοῦμνον Κανικλείου (Nicephorum illum Chumnum Caniclei præfectum, cujus opuscula plurima et epistolas evulgavi in Anecdotis Græcis ac Novis), Στάσιν ἔχοντα μείζονα τῆς προτέρας, Καὶ δὴ μετ' αὐτὸν τὸν καλὸν Μετοχίτην Λογοθετῶν μέγιστον σοφίας λῆξιν, Φοροῦντα χρυσῆν ἐρυθρὰν τὴν καλύπτραν, Ἣ δῶρον αὐτῷ συνανέχοντι κράτος Ἄναξ ὁ λαμπρὸς Ἀνδρόνικος παρέσχε. Ταῦτα τὰ λαμπρὰ τῆς κάτω σκηπτουχίας, Προεδρίας σχήματα, σεμνότης, δόξα, Ῥέων τε πλοῦτος, καὶ πηλὸς ἐπηρμένος, Κόνις τε τύχης

Ὦ γλῶσσα δεινή, καὶ γραφῶν θείων[1] στόμα,
καὶ νοῦ καθαρέ, ποῦ ποτ' ἐκρύϐης; λέγε.
« Ἰδὼν[2] ἔγωγε » φησί, « τὸν θνητὸν βίον
ὡς ἔστιν οὐδὲν ἢ σκιᾶς ἴνδαλμά τι
καὶ φάσμα ῥευστὸν εἰς μετάρσεις[3] Εὐρίπου,
καὶ πομφόλυξ καὶ τέφρα[4] καὶ καπνοῦ χύσις[5],
ἢ παικτὸς ἀστράγαλος ἐν μειρακίοις,
ἢ κύϐος ἑστὼς εἰς ἀσύστατον βάσιν[6].
Παρῆλθον εἰς τὸν δεῦρο τῆς ταφῆς τόπον,
ἀναμένων σάλπιγγος ἐσχάτης κτύπον,
ὑφ' ἧς ἐπαρθεὶς εἰς συνάντησιν φθάσω
τοῦ τὴν φύσιν κρινοῦντος ἐνδίκως Λόγου[7].
Τὸ γοῦν ἀφιλόκομπον ἐνθάδε γράφων,
σίγα[8] τὰ σεμνὰ τοῦ γένους ἀθύρματα.

τοῖς πνεύμασιν ἀρθεῖσα, Τέλος τάφος τρίπηχυς. Ὦ βίου πλάνη! Al. Sutsus orationem vulgarem colore ornans antiquo : Γῆς τρεῖς πήχαις να' με θάψουν δέν με ἄφησεν ἡ τύχη. Difficultas hujus Philæ loci præcipua fuit in prava editionum interpunctione, quam mihi videor non male refinxisse. Id mendi genus sæpe legentibus libros vel accuratissimos impedimento est. Evolvebam cum maxime de Nicephori Phocæ nece narrationem Leonis, dicentis inter alia : οὐκ οἶδ' ὅπως παρατυχὸν εὐκοσμία τις καὶ βαθεῖα σιγὴ τὸν δῆμον κατέσχε, τοῦ αὐτοκράτορος Νικηφόρου ἀναιρεθέντος, καί τινος ἑνὸς τῶν ὑπασπιστῶν ἑτέρου μηδενὸς κἂν ἐπὶ κόῤῥης εἰληφότος κονδύλον. Quum circa finem hærerem, inspexi latina, quæ typotheta oscitantior vitiavisse videtur, et, græcis denuo verbis consideratis, putavi sic distinguenda, Νικηφόρου ἀναιρεθέντος καί τινος ἑνὸς τῶν ὑπασπιστῶν, ἑτέρου...., atque eo intelligenda modo, Nicephorum fuisse interfectum ac unum simul aliquem ex satellitibus, quum nemo alius vel colapho fuisset percussus.

[1] Edd., θεῖον. Codd., θείων.

[2] Ante v. 61 lemma in A : ἡ ἐκ τάφου ἀπόκρισις. A, ἔγωγέ φησι. Statim fortasse, τὸν θνητῶν βίον.

[3] Edd., ἐν μετάρσει. Sequor codices. Fort. ὡς μ.

[4] Gregorius Naz. t. II, p. 179 : Βλέπε πῶς πάντα κόνις, Πάντα δ' αὖ πάλιν τέφρα. Theodorus Prodr. Galeom. : 328 : Ἅπανθ' ἅπαντα τοῦ βίου τέφρα, κόνις· Ἁπαξάπαντα τοῦ βίου σκιὰ μόνον.

[5] Gregorius Naz. t. II, p. 156 : Ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων Ἢ κάπνον, ἢ ὄνειρον, ἢ ἄνθος χλόης.

[6] Cum cubi basis non sit ἀσύστατος, fortasse scripsit τροχός, metaphora in istis hyperbolis solita, quam illustravi ad Anecd. Nova, p. 386. Alex. Sutsus Διογενικῇ ζωῇ : Ἂς γυρνᾷ ἡ Τύχη λέγω τὸν τροχόν της ὅπως θέλῃ. Sed convenit τροχοῦ metaphora, non ipsum nomen, et pro κύϐος propono probabilius κύκλος. — A, ἀσύστατον βίον.

[7] Edd., κτίσιν κρ. ἐνδίκῳ λόγῳ. Codices sequor.

[8] Allat. et Fabr. σιγᾷ. A, σίγα. B, σῖγα. W. σίγα, nec monuit.

Ἡ γὰρ ταπεινὴ καὶ πατουμένη κόνις,
κἂν ἐκριπισθῇ καὶ πρὸς αἰθέρα δράμῃ[1],
ἀλλ' οὖν πάλιν κάτεισιν εἰς γῆν ὡς[2] κόνις,
ὅταν ὁ κλωστὴρ τῆς πνοῆς[3] παραδράμῃ.
Βίβλοι δὲ πᾶσαι, καὶ λόγοι καὶ σχήματα,
καὶ συλλογισμοὶ καὶ προτάσεις καὶ στάσεις[4],
εἰς οὐδὲν ἐῤῥέτωσαν, ὡς ὄναρ μόνον.
Ἡ γὰρ τελευτὴ συμπεραίνει τὸν βίον
εἰς τὴν ἀναπόδεικτον εὐετηρίαν[5].
Συ δ' ἀλλά μοι θαύμαζε[6] τῶν ἄλλων πλέον
αὐθαίρετον πενίαν, ἦθος μέτριον,
βίου τε παντὸς ἐμμελῆ μουσουργίαν,

[1] B, δράμῃ, ut Edd. A, δράμηοι, adunatis binis lectionibus, δράμη et δράμοι. — « Phrasis Psalmi 1, 4. » W. Non respiciebatur a poetastro locus Psalmi. Verbum Psalmi ἐκριπίζειν non est omnino biblicum, ut qui illo utitur δαβιδίζειν statim dicendus sit.

[2] Edd., κάτεισιν οἷάπερ κόνις. Sequor codices.

[3] AB, πνοῆς. Edd., ζωῆς. Vel in tali versificatore præferendus est semper discrepantibus libris, per legitimus, præsertim quum sententia alterutro modo bona sit.

[4] « Ad scripta Pachymeris logica et philosophica et rhetorica, quæ multa sunt, respicit, et potissimum forsitan ad ejus μελέτας εἰς τὰ προγυμνάσματα καὶ εἰς τὰς στάσεις, quas Fabricius, p. 468, [t. VII, p. 786] memorat. Rhetorum vero στάσεις sunt illi quatuor causæ juridicialis status ». W. Progymnasmata edidit Walz. v. d., μελέτας ego.

[5] « Mors concludit ad indemonstrabilem abundantiam. Quando logici hominis syllogismos et præmissas nominavit, nunc mortem non illepide conclusionem vocat et inde efficit εὐετηρίαν ἀναπόδεικτον ». W. Tum sibi de nomine εὐετηρία creat difficultatem et plurima disserit quæ omittere satius erat. Fortasse legendum ἀναπόληκτον.

[6] Edd., σὺ δ' ἀλλὰ μὴ θ. B, σὺ δ' ἀλλά μοι θ. A, σὺ δ' ἄλλά μοι θ. W. conjecit σὺ δ' ἄλλα μοῦ aut μοι. Et addidit : « certa conjectura repono μοι. Defunctus vult se laudari ab eruditione ». Equidem prætuli σὺ δ' ἀλλά, quum sit formula nota δ' ἀλλά, quam olim illustravi ad Nicetam, p. 304. Est apud Nicetam idem accentus mendum τί δ' ἄλλα, pro τί δ' ἀλλά. Videndus omnino Heindorf. ad Platonem sic loquentem Soph. § 44 : σὺ δ' ἀλλ' εἰπὲ πρῶτον. Adde Elmsleyum ad Heracl. 565, et Acharn. 1033. In Ione Euripidea, 978, νῦν δ' ἀλλά, Musgravio delente δ', et Wakefield. γ' rescribente, qui error fuit et Walcken. in Phœnissis, meliora docente Apitzio ad v. 1681. Leonidas Tarent. Anth. 9, 335 : Ὑλοφόρου τὠγάλμαθ', ὁδοιπόρε, Μικκαλίωνος. Ἑρμῆς, ἀλλ' ἴδε τὸν κρήγυον ὑλοφόρον. Planudea δ' ἀλλ' ἴδε, favente optimo codice; idque videtur servandum. Præterea malim τἀγάλμαθ', vel capiendum τὠγάλμαθ' pro duali numero τὼ ἀγάλματε, icunculæ binæ videlicet quas tenuis iste bajulus Mercurio dedicabat.

καὶ τῆς ψυχῆς τὸν φθόγγον, εἰ βούλει, ξένε[1],
δι' οὗ τὰ δεινὰ τῶν παθῶν ἦγον[2] θράση
λύρας μουσικῆς ἐκμιμούμενος[3] τόνους ».
Ὡς εὖγέ σοι γένοιτο[4] καὶ τῶν νῦν λόγων
Τῷ μυσταγωγῷ τῶν σοφῶν παιδευμάτων.
Οὐ γὰρ σιωπᾷς, ἀλλὰ κἀνταῦθα πλέον
τῆς ἀρετῆς τὸ χρῆμα δεικνύεις ὅσον·
ὥςτε σχεδὸν ζῇς, καὶ δοκεῖς τι συγγράφειν,
οἰκῶν, σοφιστά, τὴν στοὰν τὴν ἐσχάτην
καὶ τὴν περισπούδαστον ἀποδημίαν[5],
ἢ τὴν πρὶν Ἀθήνῃσιν ἀκαδημίαν.
Ἐγὼ δὲ νῦν, μάλιστα νῦν μαθὼν[6] ἔχω
ὅτι δίκαιος, ἂν τελευτῆσαι φθάσῃ,
ἔσται πρὸς ἀνάπαυσιν, ὃ Γραφὴ λέγει[7],
καὶ ζῇ καθαρὸν καὶ παθῶν ξένον βίον,
εἰς φῶς μετελθὼν εὐτυχῶς ἐξ ἑσπέρας.

[1] Conjecit Wernsdorf. ξένον. Optime se habet ξένε. Alloquitur mortuus laudatorem suum benevolum.

[2] Edd., ἦγε. Conjecit W. ἦχα aut ἦξα ab ἄγνυμι seu ἄγω « frango ». Codd., ἦγον, « frangebam, fregi », vel potius « ducebam », ut Orpheus ille, qui « animos ferarum et saxa sequentia duxit ».

[3] « De metaphora scientiæ musicæ ad concinnitatem vitæ videas Himerium Ecl. 17, 4 ». W. Adde n. ad Choricium, p. 330.

[4] Ὡς εὖ γέ σοι] vide p. 113, n. 4. Ante hunc versum lemma : ἐπίλογος βραχύς.

[5] « Quum Pachymerem ait incolere « extremam Porticum » alludi ad Zenonis Porticum intelligo; cum vero eum ait « expetitam peregrinationem » incolere, nil intelligo. Sed si reponas ἀκαδημίαν, et simul mente teneas τὸ μᾶλλον, quod in adjectivo περισπούδαστος latet, tunc intelligo allusionem ad Platonis scholam, cui cœleste gymnasium anteferatur ». W. A, ἀποδημίαν, et ferme ἀσποδ. Ex B nihil habeo enotatum, ut crediderim et ibi esse ἀποδ. Quum statim nominet Philes τὴν Ἀθήνῃσιν Ἀκαδημίαν, non vero simile et hic nomen repeti. Ferme suspicor versum periisse.

[6] Edd., Ἔγωγε δὲ μάλιστα νῦν. A, ἐγὼ δὲ νῦν μάλ. μαθ. B, ἐγὼ δὲ νῦν μάλ. νῦν. Hoc prætuli. Repetitio non est insuavis.

[7] Allat., γραφῇ. Fabr. et W. γραφή, tacite. Codd., γραφή. « Alludit ad Hebr. 4; 3, et Is. 57, 1; et ꝟ 100 ad Ephes. 5, 8 ». W. Isaiæ verbis ab ipso Wernsdorfio excitatis utar, qui superius ἔσται ab ejus vana suspicione legentis ἐστι vindicem. Sic autem Isaias : ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο.... ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ.

ΙΕΡΟΚΛΕΟΥΣ ΚΑΙ ΦΙΛΑΓΡΙΟΥ

ΦΙΛΟΓΕΛΩΣ

ΦΙΛΟΓΕΛΩΣ

ΕΚ ΤΩΝ

ΙΕΡΟΚΛΕΟΥΣ ΚΑΙ ΦΙΛΑΓΡΙΟΥ

ΓΡΑΜΜΑΤΙΚΩΝ[1].

α′. Σχολαστικὸς[2] ἀργυροκόπῳ ἐπέταξε λύχνον ποιῆσαι. Τοῦ δὲ ἐξετάσαντος πηλίκον ποιήσει, ἀπεκρίνατο· « Ὡς πρὸς ὀκτὼ ἀνθρώπους[3] ».

[1] Hoc est lemma codicis Parisini, notandi deinceps littera A. Monacensis codex, olim Augustanus, notandus littera M : Ἐκ τοῦ Ἱ. κ. Φιλ. γραμματικοῦ. Præstat lectio cod. A, ut jam non cogitetur amplius de Hierocle illo philosopho, cujus epithetum in lemmate editionum, Ἱεροκλέους φιλοσόφου Ἀστεῖα, dudum viris doctis suspectum, a nemine uno deletum fuisse demiror. In M est alterum lemma : ἐκ τοῦ φιλογέλους (sic) περὶ σχολαστικῶν. Inde patet libri istius φιλόγελως inscripti excerpta tantum ad nos pervenisse; patet etiam ex simili lemmate in A historiolis præfixo de avaris : ἐκ τοῦ φιλογέλου· consentiente M. Scripsi sine solœcismo : ἐκ τοῦ Φιλόγελω. Jac. Pontanus, qui Latinam conversionem, Progymnasmatis suis Rhetoricis insertam, ad Græca codicis Augustani instituit, id habet lemma : « Ex Hierocle et Philagrio grammatico scholasticorum, sive litteris studentium, et aliorum ridicule dicta et facta » ; addens idque merito « et aliorum », quum auctores τοῦ Φιλόγελω multorum meminerint præter scholasticos. Vetus poeta comicus Philistio libello cuidam suo eidem nomen præscripserat, Suida teste : Φιλιστίων Προυσαεύς, ἢ.... Σαρδιανός.... οὗτός ἐστιν ὁ γράψας τὸν Φιλόγελων.... Νικαεὺς δὲ μᾶλλον ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα· Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον Γέλωτι κεράσας Νικαεὺς Φιλιστίων. Auctius disticho legitur in Anth. 7, 55. Ibi non meminerunt interpretes variantis lectionis μίξας, pro κεράσας, qua est usus Hesychius Illustris, p. 40.

[2] Græce inedita historiola. Est prima et in M. ut et Pontano. — Σχολαστικός] « scholasticus, sensu malo hoc loco accipitur, ut hominem imprudentem, ineptum et plumbeum, quales schola sæpe non corrigere potest, significet ». Schier. ad Facetiam proximam. Plurima dabit editor Lugdunensis, descripta in Londinensi a. 1673 et Needhamia. Addesis de nomine σχολαστικός Corayum Præf. ad Hierocl. p. κγ′..., et quos allegavi notarum initio ad Theophylactum Simoc. scholasticum.

[3] Inseruit conversioni Pontanus pro scholio : « si de pane interrogatus sic

β'. Σχολαστικὸς[1] κολυμβῶν παρὰ μικρὸν ἐπνίγη[2]· ὤμοσε δὲ εἰς ὕδωρ μὴ εἰςελθεῖν, ἐὰν μὴ μάθῃ πρῶτον καλῶς[3] κολυμβᾷν.

γ'. Σχολαστικῷ τις ἰατρῷ[4] προςελθὼν εἶπεν· « Ἰατρέ, ὅταν ἀναστῶ ἐκ τοῦ ὕπνου, ἡμιώριον ἐσκότωμαι, καὶ εἶθ' οὕτως ἀποκαθίσταμαι ». Καὶ ὁ ἰατρός· « Μετὰ τὸ ἡμιώριον ἐγείρου ».

δ'. Σχολαστικοῦ[5] ἵππον πιπράσκοντος, ἠρώτησέ τις εἰ πρωτοβόλος ἐστί. Τοῦ δὲ εἰπόντος δευτεροβόλον[6] εἶναι, εἶπε « Πῶς »;

respondisset pistori, recte respondisset ».

[1] Est in M. et Pont. 2; in edd. et Rhœrio 1. Imitatus est Moneta (in Menagianis, t. I, p. 129, vel Opp. t. I, p. 408) versibus hisce non illepidis : « D'un qui pensa se noyer. — Au mois de juin, se baignant dans la Seine, Certain badaud y tomba dans un creux. Quelques nageurs se donnèrent la peine De l'en tirer; c'en étoit fait sans eux. Entre leurs bras porté sur le rivage, Il rappela ses esprits doucement, Tant qu'à la fin, ayant repris courage, « Beau sire Dieu, cria-t-il hautement, De me baigner si désormais l'envie Me revenoit, daignez me la changer; Onque dans l'eau n'entrerai de ma vie, Qu'auparavant je ne sache nager ».

[2] Edd., κολυμβᾷν βουλόμενος. M., ἐπνίγει, permutatis de more vocalibus η ει.

[3] Edd., ὤμοσε οὖν μὴ ἅψασθαι ὕδατος, excepta Corayana, in qua ἅψεσθαι, corrigente viro d., quod ὤμοσε μὴ ἅψασθαι significet « juravit non tetigisse se », non autem « juravit se non tacturum ». Sed illa Corayi opinio probabilior esse videtur quam verior. Firmat aoristum ἅψασθαι, aoristus codicum A, M, quem repertum a se Corayus fortasse mutavisset in εἰςελεύσεσθαι, temere, ni fallor. Etenim sæpissime Græci scriptores et vetusti et optimi aoristo utuntur, sententia futurum tempus postulante. Hanc syntaxin tractare memini de verbis ἐλπίζειν, κελεύειν, aliis ad Aristæn. p. 496, ad Anecd. Gr. t. IV, p. 267. Ipsius verbi ὀμνύναι exempla exhibet Lobeck. Parergis Phrynichi, p. 750, qua de re tota multus est et egregius. Aristænetus, 2, 16 : ἐπομωσαμένη τὴν ἄτοπον ταύτην διαλῦσαι φιλίαν. Theocritus Id. 27, 34 : Ὄμνυε μή, μετὰ λέκτρα λιπὼν ἀέκουσαν ἀπηνθῆν. Quæ lectio loci dubii optima est.

[4] Inserui καλῶς ex M. Pontanus : « ni prius bene natare didicisset ».

[5] Græce inedita historiola. Est tertia in M et Pontano. M, σχολαστικός τις ἰατρῷ. Quam scripturam P. convertit. Infra in cod. A, inter §§ mihi ροε' ροϛ', hæcce est historiola : Κυμαίῳ ἰατρῷ σχολαστικὸς προςελθών, εἶπε· « Σοφιστά, ὅταν ἐκ τοῦ ὕπνου ἀναστῶ, ἐπὶ ἡμιώριον διΰπνισον. Notat Μηνᾶς esse mutilam et ad præsentem § remittit lectorem.

[6] Est Edd. et Rh. 2; M et P. 4. Conf. similis historiola § ρνε'.

[7] M, ἵππου· AM, πρωτόβολός et δευτερόβολον. Sequor Edd. In historiola ρνε', quæ similis est, δευτερόβολος exhibet codex. — « Hoc est, num primos dentes emitteret; βόλος enim Aristoteli [H. A. 6, 22, p. 394 Cam. et alibi] est dentitio ». Pont. Erravit. Si Aristotelis non meminisset, correcto *amitteret*, nihil erat reprehendendum. Sed βόλος non est, quod putavit, dentium e gingivarum alveolis emissio, imo est prola-

Ὁ δὲ ἀπεκρίνατο· « Ἅπαξ ἐμὲ καταβέβληκε, καὶ ἅπαξ τὸν πατέρα μου[1] ».

ε'. Σχολαστικῷ τις[2] ἀπαντήσας, ἔφη· « Κύριε σχολαστικέ, καθ' ὕπνους σε ἰδὼν προςηγόρευσα ». Ὁ δέ[3]· « Μὰ τοὺς θεούς », ἔφη, « ἄσχολος ὤν, οὐ προςεῖχον ».

ϛ'. Σχολαστικός[4], ἰδὼν τὸν κατὰ συνήθειαν αὐτοῦ ἰατρὸν ἐρχόμενον[5], περιεστέλλετο αὐτῷ ὀφθῆναι[6]. Ἐρωτηθεὶς δὲ παρά

psio et ejectio. Auctor latinæ editionum conversionis, ne lectoribus qui græce nescirent sententiæ lusus periret, composita nova fecit, « protojaculus, secundojaculus », in eo falsus, quod in nota *βόλον* esse dentitionem dixerit seu dentium emissionem. Bene Corayus : *πρωτοβόλος ἵππος ὁ τοὺς πρώτους, καὶ δευτεροβόλος ὁ τοὺς δευτέρους ἀποβαλὼν ὀδόντας*. Conf. narratio λζ'. Addit Pontanus lectorum diffidens sagacitati : « Jocus est in ambiguo. *Βόλος* a *βάλλω*, quod cum *πρῶτον* et *δεύτερον* junctum, alium atque alium sensum efficit. Respondens quasi a *βάλλω* pro *jacio*, interrogans a *βάλλω* pro *emitto* [imo *amitto, demitto*] *πρωτοβόλον* accepit ».

[1] Edd., Rh. : *φήσαντος.... ἔφη· πῶς οἶδας; ὁ δὲ εἶπεν· ἅπαξ ἐβόλευσεν ἐμὲ καὶ τὸν πατέρα μου*. M., *ἀπεκρίνατο, ὅτι ἅπαξ ἐμὲ ἔβαλε κάτω καὶ ἅπαξ τ. π. μ.*

[2] M. et P. 5. — Edd., Rh. 3; ubi : *σχολαστικὸς φίλῳ συναντήσας εἶπε· Καθ' ὕπνους σε ἰδὼν προςηγόρευσα. Ὁ δέ· Σύγγνωθί μοι, ὅτι οὐ προςέσχον*. M., *καθ' ὕπνους σε εἶδον· ὁ δέ, μὰ τ. θ. εἶπεν, ἀσχολῶν οὐ προςέχων*. Pontanus tacite corrigebat, qui vertit : « .... te vidi et compellavi.... Per deos, inquit, occupatus non attendi ».

[3] In M. et P. 6. In Edd. et Rh. 6; ubi : *σχολαστικὸς ἰατρῷ συναντήσας· Συγχώρησόν μοι, εἶπε, καὶ μή μοι μέμψῃ ὅτι οὐκ ἐνόσησα*. Conferam etiam Edd. et Rh. hist. 14, qua A caret : *σχολαστικὸς ἰατρῷ συναντήσας ὑπὸ τοῖχον* (sic Coray. e conjectura pro vulgata *ὑπὸ τοίχου*· est *τοῖχον* in Voss. cod. ap. Rh.) *ἐκρύβη. Τινὸς δὲ πυθομένου τὴν αἰτίαν, ἔφη· Καιρὸν ἔχω μὴ ἀσθενήσας* (Voss. *μὴ ἀσθενῆσαι*, quod sensu caret), *καὶ αἰσχύνομαι εἰς ὄψιν ἐλθεῖν τοῦ ἰατροῦ*. In vernaculas facetiarum collectiones hæc narratiuncula recepta est.

[4] Pontanus : « conspicatus medicum pro consuetudine venientem ». Male; nam *ὁ κατὰ συνήθειαν ἰατρός* est medicus ordinarius, « son médecin, son médecin ordinaire ». Vide Add.

[5] Pontanus : « comperuit se ne videretur ». Scriptum voluit, « cooperuit se ». Sed vel sic latina græcis verbis non respondent. Oportuit saltem, *περιεστέλλετο τοῦ μὴ ὀφθῆναι*. Sed *περιεστέλλετο* mutandum videtur in *ὑπεστέλλετο*. Est enim *ὑποστέλλεσθαι*, commode interpretante Rhœrio ad Porphyr. Abst. I, 57 : « per metum aliquid dissimulare, propter metum aliquid refugere ». Inde verterim : « pudore refugiebat ab illo conspici ». Contrario modo *περὶ* pro *ὑπὸ* scribendum conjicio in scholio ad Plutum 799 : *ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως δι' ὀβολοῦ καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος*. Apte corrigebat Hemsterh. *διὰ βόλον καρύων*· sed et addiderim, *περιστελλομένων*, scilicet, « aliis poetis velantibus, celantibus, protegentibus dramatis ineptam compositionem.

τινος αὐτοῦ ἑταίρου διὰ τί τοῦτο ποιεῖ, ἀπεκρίνατο· « Πολὺς χρόνος ἐξ οὗ οὐκ ἐνόσησα, καὶ αὐτὸν ἐντρέπομαι[1] ».

ζ'. Σχολαστικῷ[2] τὴν σταφυλὴν τμηθέντι παρήγγειλεν ὁ ἰατρὸς[3] μὴ λαλεῖν. Ὁ δὲ τῷ δούλῳ αὐτοῦ ἐπέταξεν[4] ἀντασπάζεσθαι ἀντ' αὐτοῦ τοὺς προςαγορεύοντας. Εἶτα αὐτὸς πρὸς ἕκαστον ἔλεγε· « Μὴ πρὸς ὕβριν αὐτὸ δέξῃ, εἰ ὁ δοῦλός μου ἀντ' ἐμοῦ σε ἀσπάζεται· ἐκέλευσε γάρ με ὁ ἰατρὸς μὴ λαλεῖν ».

η'. Σχολαστικὸς[5] θέλων πιάσαι μῦν[6] τὸν τὰ βιβλία αὐτοῦ τρώγοντα, κρέας δακὼν ἐν τῇ σκοτίᾳ ἐκάθητο[7].

[1] M, αὐτὸ ποιεῖ, ἀπεκρίθη· π. χρ. ἐστὶν ἀφ' οὗ ο. ἐν. κ. ἐντρ. αὐτόν.

[2] Est in M. et P. 7. Abest ab Edd. et Rh.

[3] A, ἰητρός. M, ἰατρός.

[4] A, ἐπέταξε. M, ἐπέταξεν. Iambicus versus Anth. 15, 19, 3, sic incipit recte : ἐκάλεσε πλῆθος. Ibi annotata fuit Palatina scriptura ἐκάλεσεν. Equidem reperi ἐκάλεσε. Ne minima quidem reor omittenda.

[5] Est in M et P. 8 ; in Edd. et Rh. 7.

[6] Edd., μῦν ἐθέλων πιάσαι. Rh., μ. θέλων π. Verbum πιάζω fuse tractat Rhœrius. Exstat et § κη'. Non fuit veteribus eisque bonis scriptoribus ignotum. Videsis meam ad Theocritea, 4, 35, ταῦρον πιάξας τᾶς ὁπλᾶς, notam in ed. altera. Usus est et composito ἀμφεπίαξε Theocritus Epigr. 6. Passim reperitur in recentiorum libris. Theodorus Prodr. Satira Κατὰ Ἡγουμένων, in Abbates, ✠ 585 : Εἰ δ' ἀῤῥωστήσει μοναχός, ἢ πόνος τὸν κρατήσει· cum variante ἂν πιάσῃ. Corayus, doctus et laboriosus Theodori interpres, de hoc vocabulo consulendus Atact. t. I, p. 140. Andreopulus Syntipa, p. 73 : ὁ τῆς νυκτὸς φύλαξ λεγόμενος ἐμὲ πιάσας.... ἔσυρέ με. Symeon Sethi Ichnel. p. 14 : τῶν δὲ παιδογόνων αὐτοῦ μορίων τοῖς τοῦ ξύλου ῥήγμασι συμπιασθέντων. Nunc χυδαϊκῶς dicunt πιάνω. Al. Sutsus Satira : Ὅσοι ποτὲ δὲν ἔμαθαν πῶς πιάνουν τὸ κονδύλι. Christopulus : Μίαν ὁ Ἔρωτας μικρὴ Σαϊτίτζα του, πικρή, Σχουριασμέν' εἰς τὴ φαρέτρα, Τὴν εὐγάνει σιγανά, Καὶ τὴν πιάνει, κ' ἀρχινᾷ Καὶ τὴν τρίβ' εἰς μία πέτρα. Inveni quidem editum ἐβγάνει, sed malui ἀρχαιογραφεῖν, quod melius, nec sonum immutat. Lectores propter eos qui neotericarum illarum formularum sunt imperitiores, monebo σαϊτίτζαν σχουριασμένην sagittulam esse ferrugine tinctam, ab σκωρία. Sæpius ω abit in ου. Auctor Ciris 245 : « juro.... Omnia me potius digna atque indigna laborum Millia visuram, quam te tam tristibus istis Sordibus, et scoria patiar tabescere tali ». Clamant critici nomen esse sordidum et ex fæce plebis, quod quit negari. Objiciunt, idque gravius, primam in « scoria » produci ; sed potuit vocabuli rari pronunciatio esse dubia, vel synizesis fieri ut in « parjetibus ». Servetur « scoria » vel « scorja » et intelligatur translate de ferrugineo vultus colore, de tincto viola pallore amantium.

[7] Edd. Rh., κρ. δακὼν ἐναντία ἐκάθισε. M, σκοτείᾳ. A, σκοτίᾳ. Thomas. Mag. : σκοτία οὐκ ἐν χρήσει. Est apud Michæam, 3, 6 : σκοτία ὑμῖν ἔσται ἐκ μαντείας. Est in Phœnissis quidem, sed loco dubio. Anonymus Rhœrii : « Voss. ἠρέμα

θʹ. Σχολαστικὸς[1] θέλων τὸν ὄνον αὐτοῦ διδάξαι μὴ τρώγειν[2], οὐ παρέβαλεν[3] αὐτῷ τροφάς. Ἀποθανόντος δὲ τοῦ ὄνου ἀπὸ λιμοῦ, ἔλεγε· « Μεγάλα ἐζημιώθην· ὅτε γὰρ ἔμαθε[4] μὴ τρώγειν, τότε ἀπέθανε ».

ιʹ. Σχολαστικὸς[5] ἵππον πιπράσκων ἠρωτήθη μὴ δειλὸς[6] εἴη. Ὁ δὲ εἶπεν· « Οὔ, μὰ τὴν τοῦ πατρός μου σωτηρίαν[7]· ἐν τῷ σταύλῳ[8] γὰρ μόνος ἕστηκεν ».

ιαʹ. Σχολαστικὸς θέλων ἰδεῖν[9] εἰ πρέποι αὐτῷ κοιμᾶσθαι, καμμύσας ἐνωπτρίζετο[10].

ιϐʹ. Σχολαστικῷ[11] ἀποδημοῦντι φίλος αὐτοῦ[12] ἔλεγεν· « Ἀξιῶ σε δύο παῖδας ἀγοράσαι μοι ἐκ πεντεκαίδεκα ἐτῶν ». Ὁ δὲ εἶπεν· « Ἐὰν τοιούτους μὴ εὕρω, ἀγοράσω σοι ἕνα τριάκοντα ἐτῶν ».

ιγʹ. Σχολαστικοὶ δύο[13] πατραλοῖαι ἐδυςφόρουν πρὸς ἀλλήλους

δακὼν ἐν σκοτιᾷ ». Vossianum apographum, avulso folio primo, nunc illa historiola caret. Est σκοτία et § ριζʹ.

[1] Est in M et P, 9; in Edd. et Rh. 8.

[2] M, αὐτοῦ τὸν ὄνον. Edd. Rh.: ἵππον αὐτοῦ δ. μ. τρ. πολλά. Anonymus Rhœrii : « Voss. διδάσκειν ». Qui anonymus consentiente Rh., πολλά jungendum putat, non verbo τρώγειν, sed sequenti sententiæ, in sensu abverbii πολλάκις. Male omnino. Pontanus : « ne multum comederet ». Non repererat tamen πολλὰ in Augustano. Sequebatur versionem Lugdunensem.

[3] Est παρέϐυκεν in Edd. antiquis; παρέϐαλεν in Lipsiensi a. 1789, citante Corayo ipso, qui maluit scribere e conjectura sua παρέθηκεν. Lectionem Lipsiensis editionis, quam habent Voss. et Rh., probavitque Wesseling. apud Rh., confirmant A M.

[4] Edd. et Rh., τοῦ ἵππου τῷ λιμῷ.... μέγα. Pontanus : « magnam jacturam [feci]; quando enim didicit non multum comedere ».... Voss. ap. anonymum Rh.: καλῶς ἔμαθε.

[5] Abest ab Edd. Est in M. et P, 10. Similis est historiola ρνζʹ

[6] M, δῆλος, permutatis η et ει.

[7] Μὰ τ. πατρός μου σωτηρίαν] formula jurandi christiana. Cf. §§ μζʹ, ρνζʹ.

[8] Vocabulum est recentioris linguæ σταῦλος, quod et στάϐλος scribitur, nec male, quum sit latinum *stabulum*.

[9] Est in M et P, 11; 10 in Edd., ubi σχολαστικὸς θέλων. Insertum fuit εἰδέναι e conjectura. In Rh. est 10, qui e Vossiano dedit ἰδεῖν, quod reperi in A M.

[10] Edd., πρέποι. Cf. § ιδʹ. A M, πρέπει. M, καμύσας· Cf. § ρκδʹ. Edd., ἐσοπτρίζετο, quod mendum servavit Corayus, id non librario, sed auctori tribuens, severe nimis et injuste. M, ἐνοπτρίζετο. A augmentum habet.

[11] In M. et P, 12. Abest ab Edd.

[12] A, αὐτῷ. M, αὐτοῦ.

[13] Est in M et P, 12. Abest ab Edd. Conf. similia § ρνϐʹ, cum nota.

ἐπὶ τῷ τοὺς πατέρας αὐτῶν ζῆν. Τοῦ δὲ ἑνὸς εἰπόντος· « Θέλεις οὖν; ἀποπνίξει ἕκαστος ἡμῶν τὸν ἴδιον[1] ». « Μὴ γένοιτο », Εἶπεν ὁ ἄλλος, « ἵνα μὴ πατραλοῖαι ἀκούσωμεν. Ἀλλ', εἰ βούλει, σὺ τὸν ἐμὸν σφάξον, κἀγὼ τὸν σόν ».

ιδ'. Σχολαστικὸς[2] οἰκίαν πριάμενος, εἶτα διὰ τῆς θυρίδος παρακύψας, ἠρώτα τοὺς παρερχομένους[3] εἰ πρέποι αὐτῷ.

ιε'. Σχολαστικὸς[4] καθ' ὕπνους ἧλον πεπατηκέναι δόξας, τὸν πόδα περιέδησεν. Ἑταῖρος δὲ αὐτοῦ πυθόμενος τὴν αἰτίαν, καὶ γνούς, « Δικαίως » ἔφη, « μωροὶ καλούμεθα. Διὰ τί γὰρ ἀνυπόδητος κοιμᾶσαι »;

ιϛ'. Σχολαστικὸς[5] βιβλίον αὐτοῦ ἐπιζητῶν ἐπὶ πολλὰς ἡμέρας, καὶ μὴ εὑρίσκων, ὡς κατὰ τύχην θρίδακας[6] ἤσθιεν, ἐπιστραφεὶς

[1] M, θ. οὖν ἀποπνίξαι ἑκ.... ἴδιον; ·

[2] In Edd. Rh. 11; abest a M et Pont.

[3] Edd. Rh., καὶ τῆς θυρίδος τροκύψας. Codex Voss. inserit διά. Anonymus apud Rhœrium apposuit Prov. 7, 6: ἀπὸ θυρίδος παρακύπτουσα. Conf. §§ λγ', σμϐ'. Mox Edd. Rh., παριόντας et πρέπει. Cf. § ια'. Rhœrius meminit non importune Salmasii ad Tertull. de Pallio, c. 3, eos refutantis qui « vestimenta inhabitantur » vestem quasi domum esse interpretantur et sic vestem quasi domum inhabitari volunt. « Bella illa interpretatio » Salmasius ait, « mihi in memoriam suave ac lepidum stupiduli nescio cujus, de quo est apud Hieroclem. Is quum domum recens emptam haberet, de fenestra ejus domus prospectans, prætereuntes interrogabat an satis se deceret. Domum ille plane, quasi vestem, habitari credebat ». Potuit quidem stupidulus scholasticus sic ineptire; sed et potuit ingeniosus homo ac festivus sic desipere jocosius, rideret ut ipse et çeteros hilararet.

[4] Est in M et P, 14; 12 in Edd. ubi: σχολαστικὸς κατ' ὄναρ ἰδων ἧλον πεπατηκέναι, καὶ δόξας ἀλγεῖν τὸν πόδα, περιεδήσατο· ἕτερος δὲ μαθὼν τὴν αἰτίαν, ἔφη· διὰ τί γὰρ ἀνυπόδητος κοιμῆσαι; Invenerat adscriptum editor Lugdunensis καθεύδεις, manu recente et Sylburgii forsan; ipse proponebat κεκοίμησαι, et quod miror, κοιμάεις, hocque præcipue. Conjecit et edidit Corayus κοιμᾶσαι, nesciens sic jam conjecisse Needham. sic jam edidisse Rhœrium e Vossiano codice. Et A, κοιμᾶσαι. M, κοιμᾶσε, ex permutatis de more αι et ε. Monet Corayus κοιμᾶσαι pro κοιμᾷ pertinere ad inclinatam græcitatem, ut ἀκροᾶσαι pro ἀκροᾷ, ὀδυνᾶσαι pro ὀδυνᾷ. Exstat κοιμᾶσαι rursus § ριζ'; κοιμᾷ § ροϐ'.

[5] Est 15 in M et P. Abest ab Edd. et Rh.

[6] A, θρίδακας. M, μαρούλια, et sic inferius. Notum vel ex Cangio μαρούλιον esse nomen recentius pro antiquo θρίδαξ. Poterit conferri mea nota ad Hierophilum de Alimentis, p. 229, et Anonymus, Psellus forsan, in meis Anecd. Gr. t. III, p. 420. Ζαλύκη Dictionario Gallico Græco « laitue » dicitur μαρούλι. Corayus in Atactis τὸ μαρουλάκι esse Cochleariam Drabam auctore tradit Stackhusio; qua de synonymia dubitari potest.

ἐπί τινος γωνίας, εἶδε[1] κείμενον τὸ βιβλίον. Ὕστερον δὲ φίλῳ ἀπαντήσας ὀδυρομένῳ ὡς τὴν στολὴν τῶν ἱματίων[2] αὐτοῦ ἀπολέσαντι[3], « Μὴ δυςφόρει » ἔφη· « ἀλλὰ θρίδακας ἀγοράσας, καί, ἐσθίων αὐτάς[4], πρὸς τὴν γωνίαν ἐπιστραφείς, πρόςχες, καὶ εὑρήσεις αὐτά ».

ιζ'. Σχολαστικῷ[5] ἑταῖρος ἀποδημῶν ἔγραψεν ἵνα αὐτῷ βιβλία ἀγοράσῃ[6]. Ὁ δὲ ἀμελήσας, ἐπανελθόντι αὐτῷ ἀπαντήσας[7], « Τὴν περὶ τῶν βιβλίων ἐπιστολήν, » εἶπεν, « ἣν οὐκ ἐδεξάμην, ἀπέστείλας[8] ».

[1] A, εἶδε. M, εἰ δέ. Sæpe sunt a librariis male divisæ syllabæ, male adunatæ. Sibyllina Oracula, 5, 209 : ἡνίκα... ἥλιος... περιπάμπολον ἡγεμονεύσῃ. Videtur scribendum. περίπαν πόλον. Dici potest περίπαν, ut ἐπίπαν, παράπαν. Natum est παμ pro παν ex pronuncjatione litteræ ny ante pi.

[2] Vertit Pontanus : « vestimentorum ornatum ». Videtur esse periphrasis pro ἱμάτια. Eunap. p. 85 : τὴν στολὴν τῆς ἐσθῆτος.

[3] M, ἀπωλέσαντα.

[4] M, μαρούλια... αὐτά. A, θρίδακας... αὐτά. Scripsi αὐτάς. Sed fere suspicor descriptorem, ad χυδαικόν nomen μαρούλια offendentem, correxisse θρίδακας, et pronomen intactum male reliquisse. Id sibi licentiæ sumpsisse inferius erit animadvertendo locus.

[5] Est 15 in M. et P; 27 in Edd. et Rh.

[6] A, ἀγοράσῃ. M, ἀγοράσει.

[7] M, sine ἀπαντήσας.

[8] Cod. A, ἀπέστειλας, et sic in alia ejusdem historiolæ recensione quæ in eodem codice, post § mihi μδ', est collocata, et cujus varias lectiones hasce excerpere Μηνᾶς satis habuit : βιβλία πρίηται· ὁ δὲ ὀλιγωρήσας ἐπανέλθοντι.... τὴν ἐπιστολήν, εἶπεν, ἣν περὶ τῶν βιβλίων ἀπέστειλας οὐκ ἐδεξάμην. Sæpius repeririri puto ἐπιστέλλειν ἐπιστολήν, sed et ἀποστέλλειν apte dicitur; quidni? Non uno loco in libro Maccabæorum primo ita scriptum est : c. 12, 19 : καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλεν. Cf. 14, 19. Sed et ἀπέστειλας legitur in editionum recensione, quæ sic habet : σχολαστικῷ φίλος ἔγραψεν εἰς Ἑλλάδα ὄντι βιβλία αὐτῷ ἀγοράσαι. Τοῦ δὲ ἀμελήσαντος, ὡς μετὰ χρόνον τῷ φίλῳ συνοψίσθη, εἶπε· τὴν ἐπιστολήν, ἣν περὶ βιβλίων ἀπέστειλάς μοι, οὐκ ἐκομισάμην. Anonymus Rhœrii ait esse in Vossiano ἀν Ἑλλάδα ὄντι, quod non mutat. Equidem in apographo Vossiano reperi nitidissime scriptum ἐν Ἑλλάδα, cum lectione marginali, eaque pessima, ἀν'. Esse εἰς Ἑλλάδα pro ἐν Ἑλλάδι τοῦ παρακμάζοντος ἑλληνισμοῦ monet Corayus. Sic infra § σνδ', εἰς χειμῶνα ναυαγῶν. Sed et talia exempla reperire est apud scriptores accuratissimos. Lucianus Asino c. 1 : ἄνδρα οἰκοῦντα ἐς τὰ Ὕπατα. Ibi Solanus : « siccine solent Græci » ? non solebant quidem, sed nonnunquam id negligentiæ sibi concessisse videntur. Hodie autem illa syntaxi plerumque utuntur. Παν. Σοῦτσος Leandro : ἦτον μετ' ἐμοῦ εἰς πλησιόχωρον τριανταφυλλῶνα. Rursus : διὰ τί, φίλε, λυπεῖσαι; διότι με βλέπεις εἰς τὰ χείλη τοῦ τάφου. Addit Anonymus esse in Vossiano τῶν βιβλίων et ἐκόμισαν. Addo ipse in apographo Vossiano abesse ὄντι, esse εἶπεν, et τῶν, et ἐκομισάμην. Pro συνοψίσθη,

ιη'. Σχολαστικῷ τις[1] ἀπαντήσας εἶπεν· « Ὃν ἐπώλησάς μοι δοῦλον[2], ἀπέθανε ». « Μὰ τοὺς θεούς », ἔφη, « παρ' ἐμοὶ ὅτε ἦν, οὐδὲν τοιοῦτον[3] ἐποίησε ».

ιθ', Σχολαστικὸς[4] ἰδὼν πολλοὺς στρουθοὺς ἐπὶ δένδρου ἑστῶτας, ἁπλώσας τὸν κόλπον, ἔσειε τὸ[5] δένδρον, ὡς ὑποδεξόμενος[6] τοὺς στρουθούς.

κ'. Σχολαστικοὶ[7] δύο ἀπὸ δείπνου ἀλλήλους ἀποκαθιστῶντες[8] κατὰ τιμήν, οὐκ ἐκοιμήθησαν.

κα'. Σχολαστικὸς[9] καθευδῆσαι βουλόμενος, μὴ ἔχων προςκεφάλαιον, ἐκέλευσε τῷ δούλῳ κεράμιον ὑποθεῖναι[10]. Τοῦ δὲ εἰπόντος ὅτι « Σκληρόν ἐστι », πτερῶν γεμισθῆναι ἐκέλευσεν.

κϐ'. Σχολαστικὸς[11] ἀπαντήσας τινὶ φίλῳ αὐτοῦ, εἶπεν· « Ἤκουσα

conjecturam Schierii συνώφθη receperunt Rhœrius et Corayus, temere nimis. Sed errorem Rhœrius agnovit, et συνοψίσθη codicis confirmavit ex Cangii Glossario, relicto tamen mendo syllabæ secundæ, quæ cum augmento fuit scribenda, συνωψίσθη. Nec monuit Rh. inaccuratum fuisse Cangium, cui συνοψίζειν est « in conspectum alicujus venire », quum sit « in conspectum alicujus et præsentiam aliquem sistere ».

[1] Deest editis. Est 17 in M; 18 in P.

[2] M, ὁ δοῦλος ὃν ἐπώλησάς μοι. Syntaxis quam ex A exhibeo exquisitior est, nec non frequens. Sophocles Trach. 272 : τάςδε δ' ἅςπερ εἰςορᾷς.... Ἥκουσι πρὸς σέ. Ibi Apitzii Adversaria. Virgilius Æn. 1, 573 : « Urbem quam statuo vestra est ». Notissimus Terentii locus Eun. 4, 3, 2 : « Eunuchum quem dedisti nobis, quas turbas dedit »! Quintilianus Declam. 246 : « hominem quem non peregrinatio detinuit,... quid acti sit,... commilitones mei narraverunt ». Ibi Burmannus, qui miscet aliena. Cicero Tusc. 2, 16 : « militiam vero.... ». Ibi Kuehner. Et utilis erit consulentibus Davisii nota ad Tusculanas Ciceronis 1, 24.

[3] M, τοιοῦτον οὐδέν.

[4] Est 16 in Edd. et Rh.; 18 in Voss.; 17 in Pont.; 18 in M.

[5] M, ἔσειε καὶ τό.

[6] M, ἀποδεξόμενος. Et est ὑποδ. in Editt., quarum hæc est recensio : σχολαστικὸς ἰδὼν στρουθία ἐπὶ δένδρου, λάθρα ὑπεισελθὼν ὑφαπλώσατο τὸν κόλπον, καὶ ἔσειε τὸ δένδρον, ὡς ὑποδεξόμενος τὰ στρουθία. Voss. στρουθούς et in fine στρουθία.... et ὑφαπλώσας κόλπον. Anonymus Rhœrii proponit inserendum καί ante ὑφαπλ., et citat e Voss. τὸν κ. Abest τόν ex apographo. Corayus notavit augmentum absens in ὑφαπλ., nec addit, mendum auctori ipsi tribuens.

[7] Est 19 in M et P. Abest ex Edd.

[8] M, ἀλλήλως ἀποκαθιστῶντας. Pontanus : « se invicem domum comitantes »; « se reconduisant réciproquement, se remettant tour à tour l'un chez l'autre ».

[9] Est 20 in M; 21 in Pont. Abest ex Edd.

[10] M, ὑποθῆναι.... ἐκέλευσε.

[11] Est 21 in M; 22 in Pont.; 21 in Apogr. Voss.; 18 in Edd. et Rh.

ὅτι ἀπέθανες ». Ὁ δὲ ἀπεκρίνατο· « Ἀλλ' ὁρᾷς με ζῶντα[1] ». Καὶ ὁ σχολαστικός· « Καὶ μὴν ὁ εἰπών μοι κατὰ πολὺ σοῦ ἀξιοπιστότερος ἦν[2] ».

κγ'. Σχολαστικὸς[3] κατὰ πρώτην ἄνοιξιν τοῦ βαλανείου εἰςελθών, καὶ μηδένα εὑρὼν ἔσω, λέγει πρὸς τὸν δοῦλον αὐτοῦ· « Ἐξ ὧν βλέπω, μὴ οὐ λούει τὸ βαλανεῖον[4] »;

κδ'. Σχολαστικὸς[5] μαχόμενος τῷ πατρὶ λέγει πρὸς αὐτόν· « Κακὲ δοῦλε, οὐχ ὁρᾷς ὅσα[6] με ἐζημίωσας; εἰ γὰρ σὺ μὴ ἐγεννήθης, ἐγὼ ἂν τὸν παππόν μου ἐκληρονόμησα ».

κε'. Σχολαστικὸς[7] ἐν τῷ πλέειν, χειμῶνος σφοδροῦ ὄντος, καὶ τῶν οἰκετῶν[8] κλαιόντων· « Μὴ κλαίετε », ἔφη· « πάντας γὰρ ὑμᾶς[9] ἐν διαθήκαις ἐλευθέρους ἀφῆκα ».

κς'. Σχολαστικὸς[10] ἐρευνῶν, ποῦ ὀφείλει ἑαυτῷ κτήσασθαι[11]

[1] Edd., σχολαστικὸς σχολαστικῷ συναντήσας εἶπεν· « Ἔμαθον ὅτι ἀπέθανες ». Κἀκεῖνος, « Ἀλλ' ὁρᾷς με ἔτι » (Voss. non ἔτι) ἔφη, « ζῶντα ».

[2] M, καταπολύ σου. Edd., πολλῷ σου ἀξ. ὑπάρχει. Dignus est qui cum scholastico isto Græco conferatur ineptulus homo de quo in gallico quodam ineptiarum libello narratur exclamasse, quum de morte amici inaudivisset : « je ne crois pas trop qu'il soit mort, puisqu'il ne m'en a pas prévenu ; car il a toujours été singulièrement exact à me faire savoir tout ce qui pouvait lui arriver ».

[3] Abest ab Edd. Est 22 in M, 23 in Pont. Conf. § ρλ'.

[4] M, μηδ' ἕνα bene quidem. Pontanus, « neminem », vi scripturæ Augustanæ non reddita. Tum habet « ad pedissequos conversus », etsi reperierit τὸν δοῦλον. M, μὴ οὐ λύει τὸ βαλάνειον; caret A signo interrogandi.

[5] Abest ab Edd. Est 23 in M; 24 in P.

[6] M, οἷα.

[7] Est 24 in M, 26 in P.; 27 in Apogr. Voss. Est 22 in Edd. et Rh., hisce verbis : σχολαστικὸς ναυαγεῖν μέλλων πινακίδας ᾔτει ἵνα διαθήκας γράψῃ (sic Corayus pro vulgata γράφῃ· et Voss. γράψῃ· cf. § λ'). Τοὺς δὲ οἰκέτας ὁρῶν ἀλγοῦντας διὰ τὸν κίνδυνον (sic Corayus se scripsisse monet pro vulgato διὰ τοῦ κινδύνου, nescius Rhœrium jam ita correxisse. Et est accusativus in Voss.), ἔφη· « Μὴ λυπεῖσθε· ἐλευθερῶ γὰρ ὑμᾶς ». Historiolam imitatus est Moneta Opp. t. I, p. 424, paraphrasi longiuscula.

[8] M, ὄντος σφοδροῦ κ. τ. ἱκετῶν. Similis sonus vocalium ι οι permutationem nominum ἱκέτης οἰκέτης peperit. Vide n. ad Anecd. Gr. mea, t. IV, p. 431.

[9] M, ἡμᾶς.

[10] Est 25 in M; 27 in P. Abest ab Edd.

[11] M, ὀφει lambda superimposito. A, ὀφείλει. M, κτήσασθαι. A, κτίσασθαι· permutatis de more vocalibus η ι. Pseudo-Callisthenes, 2, 43, p. 93 : τοὺς ἱπποκεν-

οἴκημα, ἤγουν μνῆμα[1], εἰπόντων δὲ τινῶν[2] ὅτι καλὸν εἴη ὧδέ που, ἔφη· « Ἀλλὰ νοσώδης ὁ τόπος[3] ».

κζ'. Σχολαστικὸς[4] νοσῶν συνετάξατο τῷ ἰατρῷ, εἰ θεραπευθείη, μισθὸν δώσειν. Ὡς οὖν οἶνον ἐν τῷ πυρέσσειν[5] πίνοντι αὐτῷ ἐπετίμα ἡ γυνή, « Σὺ δὲ ὑγιάναντα βούλει με » ἔφη[6], « ἀναγκασθῆναι τῷ ἰατρῷ τὸν μισθὸν δώσειν[7] »;

κη'. Σχολαστικοῦ[8] τὸν ἀντίχειρα[9] κύων ἔδακεν. Ὁ δὲ εἶπεν· « Εἰ τὸ ἱμάτιον ἐπίασεν[10], ἐσχισμένον ἂν ἦν[11] ».

κθ'. Διδύμων[12] ἀδελφῶν ὁ ἕτερος ἐτελεύτησε, Σχολαστικὸς οὖν προσελθὼν τῷ ζῶντι εἶπε· « Σὺ ἀπέθανες, ἢ ὁ ἀδελφός σου[13] »;

λ'. Σχολαστικός[14], ναυαγεῖν μέλλων, ᾔτει[15] πινακίδας, ἵνα διαθήκην γράψῃ.

ταύρους ἐπολεμίσαμεν. Editores vv. dd. credo potuisse rescribere secure ἐπολεμήσαμεν, quum sæpius meliore illo verbo fuerit auctor usus; exempli causa est πολεμῆσαι 1, 2, 3; ?, 3; πολεμήσουσι 1, 31; ἐπολέμησεν 1, 46.

[1] Sic A, M. Nomen οἴκημα pro sepulcro est rarum adeo, ut librarius necessarium esse putaverit scholium inserere, ἤγουν μνῆμα. Id enim emblema librario, vel lectori cuidam, tribuendum videtur. Herodoti, 2, 86, οἴκημα θηκαῖον comparandum est.

[2] A, δέ τινων. M, δὲ τινῶν.

[3] Scholasticus alius, artis arbiter severus, quum laudasset § ογ' Scriboniæ sepulcri splendorem ac magnificentiam, objecit in loco insalubri fuisse ædificatum.

[4] Est 26 in M, 27 in P. Abest ex Edd.

[5] M, δόσειν.... πυρέσειν.

[6] M sine ἔφη. M, μιστόν. A, ἰητρῷ.

[7] In A historiola πα' fuit a Μηνᾶ omissa, quod eadem huicce esset. Servavit tantum scripturæ varietatem: εἰ θεραπεύει.... σὺ δὲ βούλει με ὑγ. ἔ. ἀν. θᾶττον τῷ ἰ. τ. μ. ἐκτίσαι.

[8] Est in M 27; in P. 25. Abest ab Edd.

[9] M, τὸν ἀντίχειρον.

[10] Ἐπίασεν] vide p. 266, n. 6.

[11] M, ἂν εἴη.

[12] In M 28, in P. 29; in Edd. et Rh. 2; in Apogr. Voss. 27. Sic autem habet lectio edita: διδ. ἀδ. εἷς ἐτελεύτησε (Voss. ἐτελεύτησεν). Σχολ. οὖν ἀπαντήσας τῷ ξ. ἠρώτα· « Σύ.... σοῦ »; Post διδύμων Corayus proposuit inserendum ὁμοίων, quod non videtur necessarium.

[13] Apponam non illepidam nec dissimilem ex Tallemantio historiolam: « on demandoit à un Saintongeois: « Est ce toi ou ton frère qui est mort »? « Ce n'est pas moi, dit-il, mais j'ai été bien plus malade que lui »

[14] In M 29; in P. 31. Est iterum in A post § ϟϐ', mihi § ϟ', sed non iterum a Μηνᾶ descripta, qui meminit tantum variantis διαθήκας.

[15] M, ἤτοι, permutatis vocalibus ει ει. Et sic bis § λγ'.

λα'. Σχολαστικός[1], διαπεράσαι βουλόμενος, ἀνέβη εἰς τὸ πλοῖον τῷ ἵππῳ ἐποχούμενος[2]. Πυθομένου δέ τινος διὰ τί οὐ κάτεισι[3], « Σπουδάζω » ἔφη.

λβ'. Σχολαστικὸς[4] ἐπὶ δεῖπνον κληθείς, οὐκ ἤσθιεν. Ἐρωτήσαντος δέ τινος τῶν κεκλημένων, « Διὰ τί οὐκ ἐσθίεις[5] »; ἔφη· « Ἵνα μὴ τοῦ φαγεῖν ἕνεκα δόξω παρεῖναι ».

λγ'. Σχολαστικοῦ[6] υἱὸς ἐσφαίριζε. Πεσούσης οὖν εἰς φρέαρ τῆς σφαίρας, παρακύψας, καὶ ἰδὼν τὴν ἑαυτοῦ σκιάν, ᾔτει τὴν σφαῖραν. Εἶτα πρὸς τὸν πατέρα κατηγόρει, ὡς μὴ ἀπολαβὼν αὐτήν. Ὁ δὲ παρακύψας εἰς τὸ φρέαρ, καὶ ἰδὼν τὴν ἑαυτοῦ σκιάν, ᾔτει τὴν σφαῖραν· « Οἰκοδέσποτα » φησίν, « ἀπόδος τῷ παιδὶ τὴν σφαῖραν ».

λδ'. Σχολαστικὸς[7] νοσοῦντα ἑταῖρον ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς νόσου. Τοῦ δὲ μὴ ἀποκρινομένου, ὀργισθείς, « Ἐλπίζω » εἶπε « κἀγὼ νοσῆσαι, καὶ οὐκ ἀποκρινοῦμαί σοι ».

λε'. Σχολαστικὸς[8] κλεψιμαῖα ἀμφῶτα[9] πριάμενος, ἵνα μὴ γνωσθῶσιν, ἐπίσσωσεν αὐτά.

λς'. Σχολαστικὸς[10] τῶν ἀπαντώντων τὰ ἱμάτια ἐτιμᾶτο[11]. Τοῦ

[1] Est 30 in M et P.; 28 in Apogr. Voss.; 23 in Edd. et Rh., ubi : *σχολ. ποταμὸν βουλ. περάσαι, ἀνῆλθεν εἰς τὸ πλοῖον ἔφιππος. Πυθ. δέ τ. τὴν αἰτίαν, ἔφη σπουδάζειν.*

[2] M, *μετὰ τοῦ ἵππου ἐποχ.* In A historiolam ϟδ' propter similitudinem Μηνᾶς omisit, servata varietate scripturæ : *μετὰ ἵππου, ἐπ.... σπεύδειν ἔφη.*

[3] Voss., *διὰ τί οὐ κατέβης;*

[4] In M 31; in P 32. Abest ab Edd.

[5] Est in A § ρ' historiola similis a Μηνᾷ non descripta, qui servavit varietatem : *ἐρομένου οὖν τινος τῶν κεκλ. δ. τί οὐκ ἐσθίοι, ἵνα μή.* M, *ἐρωτήσαντος τῶν κεκλ.* Videtur *τινος* a librario omissum. Posset tamen vel consulto ipse auctor sic scripsisse. Cf. Gros. Olio p. 122.

[6] Est 32 in M, 34 in P. Abest ab Edd.

[7] Est 33 in M, 35 in P.; 4, in Edd. et Rh., ubi : *σχολ. νοσοῦντα ἐπισκ. ἠ. π. τ. ὑγιείας· ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. Ὀργ. οὖν ἐξήλεγξεν· Ἐλπ. κἀμὲ νοσ. καὶ ἐλθόντι σοι μὴ ἀποκριθῆναι.* Rhœrius citat e codice : *ὡς ἠρώτησε.... ὀργ. ἐξήλ.... κἀγὼ νοσῆσαι.* M, *ἐπισκεπτόμενον.*

[8] Est 34 in M. Deest Edd., et Pontano etiam.

[9] A, M, *ἀμφῶτα.* Conjicit Μηνᾶς, ad similem historiolam § ρνη', pro *ἀμφῶτα* rescribendum esse *ἄμφια*, probabiliter quidem. Mox M, *ἐπίσωσεν.*

[10] In M est 35; 37 in P. Abest ab Edd.

[11] Pontanus vertit « honorabat ». Sed

δὲ πατρὸς αὐτοῦ παρά τινῶν[1] τοῦτο ἀκούσαντος, καὶ ἐπιτιμῶντος αὐτῷ· « Πάτερ », εἶπεν, « ὑπὸ διαβολῆς[2] πέπεισαι τοῦτο, καὶ ἴσως οὐδ' ὑπ' ἀνθρώπου ». Τοῦ δὲ εἰπόντος, « Ὁ δεῖνά μοι εἴρηκε », « Καὶ σύ » ἔφη, « ἐκείνῳ προςέχεις, ὃς οὐδὲ πεντήκοντα δραχμῶν ἱμάτιον ἔχει »!

λζ'. Σχολαστικὸς[3] ἵππον ἐπίπρασκεν. Ἐλθόντος δέ τινος καὶ καταμαθόντος αὐτοῦ τὸν βόλον, εἶπε πρὸς αὐτόν· « Τί τοὺς ὀδόντας αὐτοῦ καταμανθάνεις; Εἴθε ὡς τρώγει, οὕτω καὶ περιεπάτει »!

λη'. Σχολαστικὸς[4], πρεσβύτου πατρὸς σφόδρα νοσοῦντος, τοὺς ἑταίρους ἠξίωσε στεφάνους φέρειν ἐπ' ἐκφορᾷ[5]. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ βέλτιον αὐτοῦ σχόντος, ὡς ἠγανάκτουν οἱ ἑταῖροι, « Κἀγώ » ἔφη, « αἰσχύνομαι, ζημιουμένων[6] ὑμῶν. Αὔριον οὖν φέρετε τοὺς στεφάνους· τοῦτον γάρ, ὡς ἂν ἔχῃ, ἐξοίσω ».

λθ'. Σχολαστικοὶ[7] δύο ὁμοῦ ἐβάδιζον. Ἰδὼν οὖν ὁ ἕτερος αὐτῶν μέλαιναν ὄρνιν, « Ἀδελφέ », φησίν, « ἴσως ταύτης ὁ ἀλεκτρυὼν ἀπέθανε ».

μ'. Σχολαστικὸς[8] μικρὸν υἱὸν ἀπολέσας, θεασάμενος πολλοὺς

invenerat ἐτιμᾶτο, non ἐτίμα. Valet ἐτιμᾶτο, « æstimabat, pretio conjectura constituto ».

[1] M, παρά τινος. A, παρά τινων.

[2] M, εἶπε· πάτερ, ὑποδιαβολῆς.

[3] Est 36 in M, 38 in P.; 5 in Edd. et Rh., ubi : σχολ... καὶ μανθάνοντος τὸν β. εἶπε· Τί τ. ὀ. α. τηρεῖς; εἶδε (sic Lond. a. 1673, cum versione « vide », εἰδὲ in Needh., Rh., Cor. Hic proponit aoristum ἰδέ) ὡς τρ. καὶ περιπατεῖ. Rhœrius invenit εὐθέως τρ. κ. περιεπάτει. A, M, εἴθε. M, οὕτως κ. Sensus erit meæ recensionis : « utinam ut edit, ita etiam ambularet » ! Nec aliter intellexit Pontanus, qui superius circa nomen βόλον erravit, ut erraverat § δ'. Vertit enim : « considerante quantum dentes prodiissent ». Vertendum : « de dentium ejectione explorante ».

[4] Abest ex Edd., ex M, et P.

[5] De coronarum usu in exequiis locos dabit Pascalius quærentibus.

[6] Ζημιουμένων, emptis scilicet coronis jam inutilibus. Vernacule : « j'ai honte de vous avoir fait faire une dépense inutile ».

[7] Est 37 in M, 39 in P.; 35 in Rh., apud quem sic : σχολ. δ. ἐβ. ἰδὼν δὲ αὐτῶν ὁ εἷς μέλ. ὄ. εἶπεν, ἀδελφέ, ἴ. τ. ὁ ἀλέκτωρ ἀπέθανε· διὰ τοῦτο μέλανα (Voss. μέλαινα) ἐνεδύσατο. M, sine ὁμοῦ. M, ἀπέθανεν.

[8] In M 38; in P. 41; 31 in Apogr. Voss. In Edd. et Rh. 25, ubi : σχολαστικοῦ παιδίου ἀπέθανεν. Ἰδὼν δέ (Voss.

ἐπὶ τὸ κῆδος[1] ἀπαντήσαντας, διὰ τὴν ἀπουσίαν αὐτοῦ[2], ἔλεγεν· « Αἰδοῦμαι μικρὸν παιδίον εἰς τοσοῦτον ὄχλον ἐκφέρων ».

μα'. Σχολαστικὸς[3] οἰκίαν πωλῶν, λίθον ἀπ' αὐτῆς[4] εἰς δεῖγμα[5] περιέφερε.

μϐ'. Σχολαστικῶν[6] δύο ὁδευόντων, « ἅτερος, τῆς γαστρὸς ἀναγκαζούσης, μικρὸν ἀπελείφθη. Εὑρὼν δὲ ἐν τῷ μιλίῳ ἐπιγεγραμμένον παρὰ τοῦ ἑτέρου, « Κατάλαβέ με »....

μγ'. Σχολαστικὸς[7] ἀκούσας τινῶν εἰπόντων ὅτι[8], « Ὁ πώγων σου ἤδη ἔρχεται », ἀπελθὼν εἰς τὴν πύλην, ἐξεδέχετο αὐτόν. Ἕτερος δὲ τὴν πρόφασιν ἐρωτήσας[9], καὶ γνούς, « Εἰκότως » εἶπε, « μωροὶ νομιζόμεθα[10]. Πόθεν γὰρ οἶδας εἰ διὰ ἑτέρας πύλης οὐκ[11] ἔρχεται »;

οὖν) πλῆθος λαοῦ συνελθεῖν (Cor. συνελθόν, conjectura inutili) ἔλεγεν· Αἰσχύνομαι εἰς τοσοῦτον ὄχλον μικρὸν παιδίον προφέρειν.

[1] M, ἐπὶ τὴν κηδείαν.

[2] Verba διὰ τὴν ἀπουσίαν αὐτοῦ, quæ sunt difficilia, præteriit Pontanus. Fortasse rescribendum, περιουσίαν, « propter magnum ejus in civitate momentum »; vel παρουσίαν, « propter ejus præsentiam », quod ipse scilicet adesset, atque ut ipsi honorem debitum tribuerent ».

[3] Est 39 in M; 42 in P.; 9 in Edd. et Rh. Conferatur historiola similis de Cumæo § ρνς'.

[4] Hieroclem legisse putandus est Dominicus, sannio ille celebris, qui, in comœdia quadam possessoris partes implens domum venditantis, certiorem ut faceret emptorem non ipsi a se insidias fieri, neque ante pretium avellier quam mercem qualis sit cerneret oculis ipse suis, grande rudus e pera depromebat, ædificii specimen, Cotolendio teste in Arliquinianis, p. 5. Conferatur Devillius Præfatione Bievrianorum, p. 13.

[5] Pervulgatum est δεῖγμα de specimine. Athenæus, 12, 79, agens ex Clearcho de usu flores ac fructus manibus ferendi, a natura ait per illam ex florum ac fructuum suavitate delectationem homines significari qui sint pulcritudinis cupidi; διὰ τοῦτο οὖν οἱονεὶ δεῖγμα τῆς ὄψεως τὰ ὡραῖα μετὰ χεῖρας ἔχουσι. Nomen ὄψεως displicuit Jacobsio, qui proposuit ὀρέξεως ac τέρψεως, Schweighæusero qui φύσεως. Atqui dixit quidem Isocrates Demon. § 3: δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν. Sed si ὄψεως mutandum, ac mutandum opinor, malim legere ἕξεως. Libanius, t. IV, p. 628: μὴ σύ γε ταῦτα, ὦ παῖ, τὰ ἐκ τοῦ πολέμου δείγματα, ἀλλά μοι τὸ ἥδιστον ἐκεῖνο. Pro δείγματα, est in cod. 3017, δείματα, quod est præferendum.

[6] Abest ex Edd., M et P. Historiola mutila est in fine, quam integriorem legesis § ρλϐ'.

[7] Est 40 in M, 43 in P. Abest ab Edd.

[8] M, παρά τινων ὅτι.

[9] M, ἑτέρου δὲ τ. πρ. ἐρωτήσαντος.

[10] Conf. §§ ιε', νϐ'.

[11] M, sine οὐκ.

μδ'. Σχολαστικός[1], μετὰ τοῦ πατρὸς καθεύδων, ἀνιστάμενος ἐπὶ τῆς κλίνης νυκτὸς ἔτρωγε σταφυλὰς ὑπεράνω κρεμαμένας. Τοῦ δὲ πατρὸς αὐτοῦ ὑπὸ χύτραν λύχνον κρύψαντος, εἶτα, ὅτε ἀνέστη, τὸ φῶς ἄφνω δείξαντος, ὁ δὲ ὀρθὸς ἑστὼς ἔρεγχε, καθεύδειν προςποιούμενος

με'. Σχολαστικὸς[2] νυκτὸς ἐπανέστη τῇ μάμμῃ αὐτοῦ. Πληγὰς δὲ διὰ τοῦτο ὑπὸ τοῦ πατρὸς λαβών, « Σύ », εἶπε, « τοσοῦτος χρόνος ἐστίν, ἐξ οὗ τὴν μητέρα μου ὀχεύεις, μηδὲν ὑπ' ἐμοῦ παθών, καὶ νῦν ὀργίζῃ ἐπὶ τῇ μητρί σου, ἅπαξ εὑρών με σὺν αὐτῇ ».

μς'. Σχολαστικῷ[3] πραγματευτὴς[4] ἀπήγγειλεν ὅτι[5] τὸ χωρίον αὐτοῦ ὁ ποταμὸς ἔλαβεν[6]. Ὁ δὲ ἀνακραγών, ἀπεκρίνατο λέγων· « Βιάζεται ἡμᾶς[7] ».

μζ'. Σχολαστικὸς[8] διὰ χρόνου εἰς τὸν ἀγρὸν[9] παραγενόμενος, ἐθεάσατο τὰ θρέμματα ἐξιόντα ἐπὶ βόσκησιν. Καὶ ὡς εἴωθε βληχόμενα[10] ἰδών, ἠρώτα τὴν αἰτίαν. Τοῦ δὲ οἰκονόμου προς-

[1] In M est 41, in P. 44; 36 in Apogr. Voss., et apud Rhœrium, qui : σχολ. μ. τ. π. κοιμώμενος τῇ νυκτί, ἀπὸ τ. κλ. ἀνιστ. τὰς σταφ. ἔτρ. ἐπάνω κρεμ. τ. δὲ π. σκανδαλισθέντος καὶ ὑπὸ χ. λαμπάδα κρύψ. ἐν τῷ ἐκείνου τῇ νυκτὶ ἀναστῆναι πρὸς τὸ ἔθος, ὁ π. ἄφνω τὸ φῶς ἔδειξεν· κἀκεῖνος ἑστὼς καμμύων ἔτρωγε κοιμᾶσθαι προςπ. — M, ὀρθῶς.

[2] In M 43. Omisit Pontanus. Est 29 in Rh., ubi : σχολ. νυκτὶ.... λαβὼν εἶπε. Σὺ τοσοῦτον τὴν μητέρα.... καὶ νῦν.... ἅπαξ με λαβών.

[3] In M 44; 45 in P.; 14 in Edd. et Rh.

[4] Lond. a. 1673, Needh. Cor. ἔμπορος. Rh. e Voss. πραγματευτής. Hoc nomine usus est Corayus in Γραικικῇ μεταφράσει, editum ἔμπορος nomen antiquum vulgari interpretans.

[5] M, ὅτου.

[6] Lond., ὅτι ὁ ποταμὸς ἔλασε τὸν ἀγρόν σου. Sic Needh. et Cor. scripto ἤλασε.

[7] Edd., κἀκεῖνος ἔφη· Καὶ τί λέγω; Rh. sic, cum lectione λεγῶ; et hacce nota : « Scio quid pro illa lectione τί λέγω vel λεγῶ disputari possit; vel sic tamen vix litterulæ mutatione mallem τί λήγω; ». Et Corayo suspecta sunt verba καὶ τί λέγω; quæ tamen probabilissime convertit : καὶ τί ἂν εἴπω πρὸς τοῦτο; Vernacule aptissime diceremus : « et que dire à cela? et que dirai-je à ça »?

[8] Est 45 in M, 46 in P. Abest ex Edd.

[9] M, εἰς τὸν ἀγρόν, quod substituendum visum est lectioni A, εἰς τὴν ἀγοράν. Non nova est nominum ἀγρός et ἀγορά confusio.

[10] M, γλιχόμενα. Vertit Pontanus : « avide pabula carpentes ». Unice vera est scriptura A, βληχόμενα. Permutatio solita vocalium η ι fecit ut oscitans li-

παίξαντος, καὶ εἰπόντος « Ἀσπάζονταί σε », « Τὴν ἐμήν σοι σωτηρίαν[1] », φησίν, « ἐμοῦ ἕνεκα ἀργίαν αὐτοῖς δός, καὶ τρεῖς ἡμέρας μὴ ἐξαγάγῃς[2] αὐτὰ εἰς νομήν ».

μη'. Σχολαστικὸς[3] καινὰ[4] ὑποδήματα ὑπεδήσατο. Τριζόντων[5] οὖν αὐτῶν, ἐπισχών, « Μὴ τρίζετε », εἶπεν, « ἐπεὶ τὰ σκέλη ὑμῶν κλάσετε[6] ».

μθ'. Σχολαστικὸς[7] τὴν σελήνην ἰδών, ἐπυνθάνετο τοῦ πατρὸς εἰ καὶ ἐν ταῖς ἄλλαις πόλεσι τοιαῦται σελῆναι εἰσί.

ν'. Σχολαστικὸς[8] δανειστὴς ναυκλήρῳ[9] χρεώστῃ ἐνετείλατο σορὸν[10] αὐτῷ κομίσαι, καὶ δύο παιδίσκας τοῖς ὀκταέτεσι παιδίοις αὐτοῦ, δικαίου μέτρου ὡς εἰς αὔξησιν.

brarius βλιχόμενα scriberet; et correxit alius mendum augens γλιχόμενα. Himerius Orat. 21, 8 : ὅταν κοιμήσας τὴν φλόγα χοροῖς ἐναθύρῃ καὶ μέλεσι. Conjecit Reiskius κοιμίσας, quod est melius et codice confirmatum.

[1] Eadem formula § 10

[2] M, αὐτῇ.... ἐξαγαγεῖς, permutatis vocalibus η ει. Leges Rhotaris, § 9, p. 54 : ἐάν τι ἑτέρῳ ὀφθαλμὸν ἐκβαλεῖ· et § 12 : ἐάν τις ἑτέρῳ ὀδόντας ἐκβαλεῖ. Impeditum accentu fuisse se ait Zacharias v. d. quominus conjunctivum reponeret. Debuisse puto meliorem lectionem imitari, ἐάν τις ὀδόντα μυλίτην ἕνα ἢ πλείους ἐκβάλῃ, quæ legitur § 13. Et passim est in codice ἐὰν πλήξῃ, ἐὰν ἐκκόψῃ. Scripto male ἐκβάλει, supervenit qui accentum male mutaret, non diphthongum.

[3] Est 46 in M. Abest a P. et Edd.

[4] M, κενᾶ. Permutatio solita vocalium αι ε. Sic mox M, τρίζεται. Scholiastes Greg. Naz. in Catalogo Clarkii Gaisfordiano, p. 45 : θεοὶ πιθηκόμορφοι καὶ ἐλλουροειδεῖς οὓς ἑαυτοῖς οἱ Αἰγύπτιοι ὑπεστήσαντο. Imo, αἰλουροειδεῖς.

[5] Philostratus Epist. 21 : ὅτι τρύζοι αὐτῇ τὸ ὑπόδημα. Ibi Jacobs. malebat fere τρίζοι, cui opinioni favet hic locus.

[6] M, ἡμῶν κλάσητε. Quid velit scholastici ad calceos stridentes oratio non intelligo. Ac suspicor non intellectam fuisse Pontano, qui a convertenda historiola ob id abstinuerit.

[7] Est 47 in M et P.; 17 in Apogr. Voss.; 30 in Rh. ubi : σχολ. ἐν τῇ πόλει ὢν καὶ τὴν σ. ἰ. πυνθάνετο (sic et Voss. sine augmento) τ. π. εἰ καὶ αἱ ἄλλαι πόλεις ἔχουσι τοιαύτην σελήνην.

[8] Est 48 in M et P. Abest ab Edd.

[9] M, ναυκλήρῳ, quod recepi pro lectione A, ναυτίλῳ.

[10] M, σωρόν.... δικαίου μέτρον. Apponam Pontani latina, unde, si fieri possit, proficiet lector; equidem hæreo : « scholasticus fœnerator cum nauclero deberet (sed est χρεώστης qui debet, non cui debetur; debitor, non creditor), jussit eum sortem recipere (σωρός, quod P. invenit, non est sors, et recipere postulat κομίσασθαι), et ancillulas quas octennibus filiis suis daret uxores, ut justæ mensuræ auctarium videlicet ». Græca ut a me sunt ex A edita significant scholasticum nauclero cuidam debitori suo mandasse proficiscenti, ut

να΄. Σχολαστικὸς[1] ἰδὼν ἐν τῷ ἀγρῷ αὐτοῦ φρέαρ βαθύ, ἠρώτα εἰ καλὸν ἦν τὸ ὕδωρ. Τῶν δὲ γεωργῶν εἰπόντων ὅτι « Καλόν· καὶ γὰρ οἱ γονεῖς σου ἐντεῦθεν ἔπινον », « Καὶ πηλίκους » φησίν, « εἶχον τραχήλους, ἵνα ἀπὸ[2] τοσούτου βάθους πίνειν ἐδύναντο »!

νβ΄. Σχολαστικὸς[3] εἰς λάκκον[4] πεσὼν συνεχῶς ἐβόα ἀνακαλῶν ἑαυτῷ βοηθούς. Ὡς δ' οὐδεὶς ὑπήκουε, λέγει πρὸς ἑαυτόν· « Μωρός εἰμι, ἐὰν μὴ ἀνελθὼν πάντας μαστιγώσω, ἵνα οὕτω γοῦν μοι ὑπακούσωσι, καὶ κλίμακα κομίσωσι[5] »

νγ΄. Σχολαστικὸς[6] συνδειπνῶν τῷ πατρί, παρακεκλιμένης θριδακίνης μεγάλης καὶ ἐχούσης πολλοὺς θύρσους καλούς, « Ὦ πάτερ », ἔφη, « φάγε τὰ τέκνα, καὶ ἡμεῖς τὴν μητέρα[7] ».

νδ΄. Σχολαστικὸς[8] γράφων πρὸς τὸν πατέρα ἀπὸ τῶν Ἀθηνῶν, καὶ ἐναβρυνόμενος[9] ὅτι πεπαίδευται, προσέθηκεν· « Εὔχομαι δέ σε εὑρεῖν κεφαλικὴν φεύγοντα[10] δίκην, ἵνα σοι δείξω τὸν ῥήτορα ».

sibi sandapilam afferret, et filiolis suis octennibus virgunculas duas, easque justæ staturæ, ut quæ crescere possit. Jocus esse videtur, si quis sit jocus, in deridiculo mandatorum.

[1] Est 49 in M et P.; 19 in Apogr. Voss.; 17 in Edd. et Rh. ubi : σχολ. ἐν τῷ ἰδίῳ ἀγρῷ ἐξιών, ἠρώτα πιεῖν ὕδωρ, εἰ καλὸν ἐν τῷ αὐτόθι φρέατι· τῶν δὲ φησάντων ὅτι καλόν· καὶ γὰρ οἱ γονεῖς αὐτοῦ (Voss. καὶ γὰρ καὶ γονεῖς σου) ἐξ αὐτοῦ ἔπινον· καὶ πηλίκους, ἔφη, εἶχον τραχήλους (Voss. κ. πηλίκον, ἔφη, εἶχον τράχηλον. Rhœr. ait esse, καὶ γὰρ πηλίκον, quod in Apogr. non video), ὅτι εἰς τοσοῦτον βάθος πίνειν ἠδύναντο. Anonymus Rhœrii ait codicem male habere ἠδύν. pro ἐδύν., Rhœrius vero habere ἐδύν. non ἠδύν. In Apographo est dittographia.

[2] M, ἵν' ἀπό. Fort. οἳ ἀπό.

[3] Est 50 in M et P.; 20 in Apogr. Voss., et Rh. Abest ab Edd.

[4] M., βάθος. Rh. σχολ. εἰς λύκον (sic Voss. Rhœrius vertit « in lupum ») ἐμπεσὼν συν. ἔκραξε (Voss. ἔκραζε) βοήθειαν ζητῶν· ὡς δὲ οὐδεὶς ὑπήκουεν, ἔφη· μωρὸς ε. ἐὰν μὴ ἀν. π. μαστιγώσω (Voss. τύψω), ἵνα καὶ οὕτως δραμόντες κλίμακά μοι κομίζωσιν.

[5] A, αὐτό. M, αὐτῷ.... κομίσωσιν. Recepi οὕτω pro αὐτό vel αὐτῷ ex Apographo Vossiano.

[6] Est 51 in M et P. Abest ab Edd. et Rh.

[7] M, μήτραν. Fortasse voluit scriptum μητέραν a nominativo ἡ μητέρα, quæ nominis forma nunc est in usu. Nominativos θυγατέρα, Δήμητρα attigi ad Plan. Metam. p. 398. Est Δήμητρα in Theodori Prodr. Rhodanthe, p. 161; εἰς τρύγαν ibid. p. 174. Vide Gaulmin ad Theod. p. 502. Similia plurima nunc omitto.

[8] Est 52 in M; 33 in P. Abest ab Edd.

[9] M, ἐν ἀμβρυνόμενος. Vide p. 298, n. 10.

[10] M, ἔχοντα.

νε'. Σχολαστικὸς[1] εὐτράπελος, ἀπορῶν δαπανημάτων, τὰ βιβλία αὐτοῦ[2] ἐπίπρασκε· καί, γράφων πρὸς τὸν πατέρα, ἔλεγε· « Σύγχαιρε ἡμῖν, πάτερ[3]· ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει ».

νϛ'. Σχολαστικὸς[4] καὶ φαλακρὸς καὶ κουρεὺς συνοδεύοντες, καὶ ἔν τινι ἐρημίᾳ μείναντες, συνέθεντο πρὸς τέσσαρας ὥρας ἀγρυπνῆσαι, καὶ τὰ σκεύη ἕκαστος τηρῆσαι. Ὡς δὲ ἔλαχε τῷ κουρεῖ πρώτῳ φυλάξαι, μετεωρισθῆναι[5] θέλων, τὸν σχολαστικὸν καθεύδοντα ἔξυρε[6], καί, τῶν ὡρῶν πληρωθεισῶν[7], διύπνισεν. Ὁ δὲ σχολαστικός, ψήχων[8] ὡς ἀπὸ ὕπνου τὴν κεφαλήν, καὶ εὑρὼν ἑαυτὸν ψιλόν[9], « Μέγα κάθαρμα » φησίν, « ὁ κουρεύς· πλανηθεὶς γὰρ ἀντ' ἐμοῦ τὸν φαλακρὸν ἐξύπνισε[10] ».

νζ'. Σχολαστικῷ[11] ἐκ δούλης τεκνώσαντι ὁ πατὴρ συνεβούλευε τὸ παιδίον ἀποκτεῖναι. Ὁ δέ « Πρῶτον » ἔφη, « σὺ τὰ τέκνα[12] σου κατόρυξον, καὶ οὕτως ἐμοὶ συμβούλευε τὸν ἐμὸν ἀνελεῖν ».

νι'. Σχολαστικοῦ εἰς βαλανεῖον εἰσελθόντος[13], ὁ παραχύτης[14]

[1] Est 53 in M, 52 in P.; 29 in Apogr. Voss.; 24 in Edd. et Rh., ubi : σχολ. ἀπορῶν (Voss. σχ. ἀμαθὴς ἀπ.).... ἡμῖν, πάτερ· ἤδη....

[2] M, βιβλία ἑαυτοῦ.

[3] A, M, sine πάτερ, quod ex Edd. recipere placuit.

[4] Est 54 in M; 53 in P.; 22 in Apogr. Voss.; 28 in Rh. et Edd.

[5] Edd., συνοδ. συνέθ. πρ. τ. ὥρ. βιγιλεῦσαι (Voss. βιγλάσαι. De verbo barbaro βιγιλεύειν, a latino « vigilare » formato vid. Corayi nota). Ἔλαχεν οὖν πρῶτον (Voss. sine πρῶτον) τῷ κ. ὁ δὲ μετεωριζόμενος.... Versio Latina « sublevans dormientem scholasticum, rasit » est pessima. Μετεωριζόμενος significat « jocans, per jocum »; μετεωρισθῆναι θέλων, « jocari, facetum quid facere volens ». Id verbum explicat docte Corayus in nota, et in At. t. IV, p. 322; quem vide et in Thes. Didot. In Ζαλύκη Dictionario Gallico Græco reperio : « Plaisanter, μετωρεύομαι ».

[6] Edd. vett. ἐξύφισε. Pro quo in aliis et Corayana rescriptum ἐξύρησε. Est in Rh. et Voss. ἐξύρισεν, forma recentiore. A, ἔξυρε. M, ἔξυρεν. Activa forma ξύρω non caret exemplis.

[7] A, M, πληρωθησῶν. Voss. et M, διύπνησεν.

[8] M, ψύχων. Edd., ὁ δὲ κνηθόμενος ἀφ' ὕπνου (Voss. κνιθ. ἀπὸ τοῦ ὕπνου).

[9] Ed., εὑρὼν αὐτὴν ψιλήν, ἔφη· μέγα καθ.

[10] M, ἐξύπνισεν. Edd., ἀντί (Apographum Voss. ἀντ') ἐ. τ. φ. διύπνισεν (Voss. διύπνησεν).

[11] Abest ex M et P., et Edd.

[12] Sic codex. Post τὰ τέκνα exspectabatur neutrum τό. Potuit scholasticus cogitare de παιδί, de υἱῷ.

[13] Est 55 in M. Abest a P. et ab Editionibus. M, σχολαστικὸς εἰς β. εἰςελθών. Nominativi absoluti exempla passim obvia sunt.

[14] M, ὁ παρ. A sine ὁ. Mox M, θερμὸν πρ. ψ. ἀνθρ.

θερμὸν τοῖς ποσὶ προςέχεεν. Ὁ δὲ « Κάθαρμα », εἶπε, « ψυχρῷ ἀνθρώπῳ θερμὸν προσχεῖς »;

νθ'. Σχολαστικὸς[1] ἀκούσας τινὸς ὅτι καλὴν ὄρνιν ἕωλον[2] σιτευτὴν ἐδείπνησε, προςελθὼν τῷ σιτευρίῳ[3] ἔλεγεν· « Ἕωλόν μοι ὄρνιν θῦσον ».

ξ'. Σχολαστικὸς[4] ἀπὸ πολλῶν μιλίων χωρίον ἔχων, ἵν' αὐτὸ ἐγγύτερον ποιήσῃ[5], ἑπτὰ μίλια κατέβαλε[6].

ξα'. Σχολαστικὸς[7] χαμαιδιδάσκαλος[8] ἄφνω ἀποβλέψας εἰς τὴν γωνίαν ἐβόησε· « Διονύσιος ἐν τῇ γωνίᾳ ἀτακτεῖ[9] ». Εἰπόντος δέ τινος ὅτι « οὔπω πάρεστιν », ὁ δὲ ἔφη· « ὅταν ἔλθῃ[10] ».

ξβ'. Σχολαστικὸς[11] τῇ ἑτηρίδι[12], ἣ διὰ χιλίων ἐτῶν ἄγεται ἐν Ῥώμῃ, ἡττηθέντα ἀθλητὴν καὶ δακρύοντα ἰδών, παραμυθούμενος, « Μὴ λυποῦ »· ἔφη, « τὴν γὰρ ἄλλην χιλιετηρίδα σὺ νικήσεις[13] ».

ξγ'. Σχολαστικὸς[14] συνεκάθητο ἡγεμόνι δεξιοπήρῳ[15]. Εἰς ἑώραν[16]

[1] Est 56 in M, 36 in P. Abest ab Edd.

[2] M, ἕαλον, sed statim ἕωλον.

[3] A, σιτευρίῳ. M, σιτευτωρίῳ. Pontanus : « ad saginatorem accedens ». Corrigere voluit σιτευτῇ. Sed locus designari videtur, saginarium scilicet, alibi dictum σιτιστήριον. Et imperativus θῦσον (pravo accentu A, M, θύσον) directus est ad saginatorem.

[4] Est 57 in M, 20 in P. Abest ab Edd.

[5] M, αὐτὸς.... ποιήσει.

[6] M, κατέβαλεν. Pontanus : « ut eam [villam] propinquiorem faceret, septem millia nummum decrevit ». Sed sententiam non cepit. Sunt μίλια lapides milliarii, quos disjecit scholasticus, opinatus, scilicet disjectis milliariis septem, septem passuum millia viæ longiori detraxisse.

[7] Est in M 58. Abest ab Edd. et Pontano.

[8] M, χαμαὶ διδάσκαλος.

[9] M, γωνίαν ἀτακτεῖ, mediis omissis. Quæ lacuna in causa fuisse videtur, cur a conversione narratiunculæ Pontanus abstineret.

[10] M, ἔλθοι. Simile dictum consiliarii cujusdam audivi relatum a Genevensibus. Magni Consilii præses Robertum quemdam allocutus : « M. Robert, votre avis. — Je suis de l'avis de M. Le Fort. — Mais M. Le Fort n'y est pas. — Eh bien! quand il y sera.

[11] Abest ab M et P. et Edd.

[12] Sic codex.

[13] A, νικήσῃς.

[14] Est 59 in M. Abest a Pont. et Editionibus.

[15] M, ἡγεμῶνι. Est δεξιόπηρος oculo dextro luscus.

[16] M, εἰς ὥραν. A, εἰς ἑώραν. Est ἑώρα, vel αἰώρα, quæ scriptura præstat, sed et prior toleratur, vitis ex arboribus suspensa.

οὖν ἐξελθόντος αὐτοῦ, καὶ ἐπαινοῦντος ἐν τοῖς ἀριστεροῖς μέρεσιν ἀμπέλους, « Ὅταν ἐπανερχώμεθα[1] », φησί, « καὶ τὰ ἄλλα μέρη ἀρέσει σοι ».

ξδ'. Σχολαστικὸς[2] βράκας[3] ἀγοράσας, ἐπεὶ δὲ στενὰς οὔσας μόγις ὑπεδύσατο, ἐδρωπακίσατο[4].

ξε'. Σχολαστικοῦ[5] υἱός, ὑπὸ τοῦ πατρὸς εἰς πόλεμον ἐκπεμπόμενος, ὑπέσχετο κεφαλὴν ἑνὸς τῶν ἐχθρῶν ἔχων ἐλεύσεσθαι[6]. Ὁ δὲ ἔφη· « Κἂν χωρίς σε κεφαλῆς ἐλθόντα ἴδω, εὐφρανθήσομαι ».

ξϛ'. Σχολαστικὸς[7] ἐν ποταμῷ θεασάμενος ἁλιάδα σίτου μεστὴν καὶ βεβαρημένην, « Ἐὰν μικρόν » εἶπεν, « ὁ ποταμὸς αὐξήσῃ[8], βυθισθήσεται[9] ».

ξζ'. Σχολαστικὸς[10] ἐξ ἀποδημίας ἐξερχόμενος[11], τῷ πενθερῷ ἀπαντήσας, πυνθανομένου ἐκείνου πῶς πράττοι[12] αὐτοῦ ὁ συμφοιτητής· ὁ δέ « Πάνυ » ἔφη, « αὐτῷ καλῶς ἐστὶ νῦν, καὶ εὐθυμεῖ· τὸν γὰρ πενθερὸν αὐτοῦ[13] κατώρυξε ».

ξη'. Σχολαστικὸς[14] γράψας διαθήκην ὑπέρ τινος[15], δημοσίᾳ προανεγίνωσκε. Τοῦ δὲ συνηγορουμένου[16] εἰπόντος ὅτι ἄτοπον ποιεῖ

[1] M, ἐπαρχόμεθα, φ. καὶ τ' ἄλλα μ. ἀ. σοι; Ambulacrum arboribus prætextum fuit, quæ vites sustinebant. Dextrum latus, quod δεξιόπηρος nunc non videt, videbit in regressu.

[2] Abest ab M, P. et Edd. Cf. § ρνη'.

[3] Βράκας, latine « bracas ».

[4] A, ἐδροπακίσατο. Bracas picabat, opinatus scilicet se sic eas facere læves.

[5] Est 60 in M. Abest ex P. Est 32 in Apogr. Voss.; 26 in Edd. et Rh., ubi : σχολ.... ὑπέσχετο (Voss. σχ. υἱὸς εἰς πόλ. ὑπὸ τ. π. αὐτοῦ ἀποπεμπ. ὑπ.) ἑνὸς τ. ἐχθρ. κεφ. ἀγαγεῖν (Voss. ἀνάγειν). Ὁ δὲ ἔφη· Εὔχομαι καὶ χωρὶς κεφαλῆς σε ἐλθόντα (Voss. σου ἐλθόντα, non σοῦ ἐλθόντος, quod citat Anon. Rhœrii), μόνον ὑγιῆ ὄντα (Voss. ὑγιαίνοντα) ἰδεῖν καὶ εὐφρανθήσομαι (Voss. εὐφρανθῆναι).

[6] M, ἔχων ὀλέσθαι.

[7] Est 61 in M, 54 in P. Abest ab Edd.

[8] M, ἁλιᾶ.... βεβαρυμένην.... αὐξήσει.

[9] Similis narratio in Appendice Edgeworthiana de qua ad § ρνζ': « Un homme voyait un bateau si chargé que les bords en étaient à fleur d'eau. « Ma foi! » dit-il, « si la rivière était plus haute, le bateau irait à fond ».

[10] In M 62; 55 in P. Abest ab Edd.

[11] Fortasse ἀνερχόμενος.

[12] M, πράττει.

[13] M, ἑαυτοῦ.

[14] In M 63. Abest a P. et ceteris fontibus.

[15] A M, διαθήκην ὑπό τινος. Conjeci opportune Μηνᾶς, δίκην ὑπέρ τινος.

[16] A, συνηγορομένου.

τὰ ἀπόῤῥητα τῆς δίκης τοῖς ἀντιδίκοις φανερὰ ποιῶν· « Κάθαρμα », εἶπε, « μὴ γάρ τι τῶν συνεκτικῶν[1] λέγω »;

ξθ'. Σχολαστικὸς[2] ἀποθανόντος συμφοιτητοῦ ἐπεσκέπτετο τοὺς γονέας. Τοῦ δὲ πατρὸς αὐτοῦ ὀδυρομένου, καὶ λέγοντος, « Τέκνον, ἠπόρησάς με[3] », τῆς δὲ μητρὸς λεγούσης, « Τέκνον, ἐτύφλωσάς με », ὁ σχολαστικὸς πρὸς τοὺς ἑταίρους[4] εἶπεν· « Εἰ ταῦτα αὐτῷ πέπρακται, ἐχρῆν αυτὸν καὶ ζῶντα κλαυθῆναι[5] ».

ο'. Σχολαστικὸς[6] νοσοῦντα φίλον ἀπῆλθεν ἐπισκεψόμενος[7]. Τῆς γυναικὸς δ' αὐτοῦ εἰπούσης ὅτι ἐκεῖνος ἤδη ἔξω ἐστίν[8], « Ἐὰν οὖν ἐπανέλθῃ », φησίν, « ἐρεῖς παραγεγενῆσθαί με ».

οα'. Σχολαστικὸς[9] ὑπόδειγμα λαβὼν μήκους καὶ πλάτους ἐπὶ τῷ ἀκρόπτυχα[10] εἰσκομίσαι, ζητήσας ἐπυνθάνετο ποῖόν ἐστι τὸ μῆκος καὶ ποῖον τὸ πλάτος.

οβ'. Σχολαστικὸς[11] ἐν γάμοις ἑστιαθείς, εἶτα ἀναχωρῶν, « Εὔχομαι » εἶπεν « εὐτυχῶς καὶ ἀεὶ ταῦτα ὑμᾶς ποιεῖν ».

ογ'. Ὁ αὐτὸς[12] τὸ Σκρηβωνίας μνῆμα καλὸν ἔφη καὶ πολυτελὲς εἶναι, ἀλλ' ἐπινόσῳ[13] τόπῳ ᾠκοδομῆσθαι.

οδ'. Σχολαστικῷ[14] λεπτὸν ἵππον ἔχοντι προσελθών τις « Ὁ ἵππος » ἔφη, « εἰς ᾅδου ὁρᾷ »· καὶ ὁ σχολαστικός· « Κἀγὼ βλέπω ».

οε'. Σχολαστικὸς[15] νοσῶν, εἶτα πεινῶν, ὡς οὐδέπω τετάρτην ὥραν ἀπηγγέλη[16], ἀπιστῶν, πρὸς ἑαυτὸν τὸ ὡρολόγιον[17] ἐκέλευσε κομισθῆναι.

[1] Συνεκτικῶν, id est ἰσχυρῶν. Vide Ernesti Lexicon Technologicum.

[2] In M 64; 56 in P.

[3] AM, ἠπόρησάς με. Sensum esse activum Μηνᾶς ait. Et sic intellexit Pontanus : « ad inopiam redegisti me ». Puto legendum ἐπηρώσας με.

[4] M, ἑτέρους.

[5] Fortasse, καυθῆναι.

[6] In M 65. Abest a P. et cæteris.

[7] M, ἐπισκέψασθαι.

[8] Scilicet « jam est domo elatus ad sepulturam ». Sed putat scholasticus amicum jam restitutum domo abesse.

[9] Abest ab M, et P. et cæteris.

[10] Quid sit ἀκρόπτυξ ignoro.

[11] Abest ab M, et P. et cæteris.

[12] Abest ab M, et P. et cæteris.

[13] Deest ἐν, puto : ἐν ἐπινόσῳ. Cf. § ογ'.

[14] Abest ab M, et P. et cæteris.

[15] In M 66; 57 in P. Abest ab Edd.

[16] M, ἀπηγγέλει.

[17] Horologium scilicet solarium.

οϛʹ. Σχολαστικῷ[1] εἰς τὸ Σαραπεῖον ἀνελθόντι θαλὸν ὁ ἱερεὺς διδούς, « Ἵλεώς σοι » εἶπεν, « ὁ κύριος ». Ἵλεως » ἔφη, « ὁ κύριος τῷ χοιρίῳ[2] μου· ἐγὼ γὰρ ἐλεύθερός εἰμι ».

οζʹ. Σχολαστικὸς[3] ἐκκομίσας τὸν υἱόν, ἀπαντήσας τῷ διδασκάλῳ αὐτοῦ, « Σύγγνωθι », ἔφη, ὅτι οὐκ ἦλθεν ὁ υἱός μου εἰς τὴν σχολήν· ἀπέθανε γάρ ».

οηʹ. Σχολαστικὸς[4] εἰκόνας ἀρχαῖα ζωγραφήματα ἐχούσας ἀπὸ Κορίνθου λαβών, καὶ εἰς ναῦς ἐμβαλών, τοῖς ναυκλήροις εἶπεν· « Ἐὰν ταύτας ἀπολέσητε, καινὰς ὑμᾶς ἀπαιτήσω[5] ».

οθʹ. Σχολαστικῷ[6] ὑπερζέουσαν κύλικα ὁ οἰνοχόος ὤρεξεν. Ὁ δὲ ἐπὶ τῆς τραπέζης αὐτὴν θείς, « Οὕτω μένῃ », ἔφη, « μέχρις ὁ παιδαγωγός σου ἐλθὼν εὕρῃ αὐτὴν ζέουσαν ».

πʹ. Σχολαστικοῦ[7] πλέοντος, ἐκινδύνευεν ὑπὸ χειμῶνος τὸ πλοῖον. Τῶν δὲ συμπλεόντων ἀποῤῥιπτούντων ἐκ τῶν σκευῶν ἵνα κουφισθῇ τὸ πλοῖον, κἀκείνῳ τὸ αὐτὸ[8] ποιεῖν παραινούντων, ὁ δὲ ἔχων χειρόγραφον ἑκατὸν πεντήκοντα μυριάδων, τὰς πεντήκοντα ἀπαλείψας[9], « Ἴδε[10] » φησίν « ὅσοις κύμασιν ἐπεκούφισα[11] τὴν ναῦν ».

[1] Abest ab M, et P. et cæteris.

[2] A, χαρίῳ, vel χηρίῳ. Scripsi χοιρίῳ. Indignatus scholasticus sibi, qui sit liber homo, loqui de domino potuisse sacerdotem, respondit : « imo sit porcello meo propitius » ! « qu'il soit, s'il le veut bien, propice à notre cochon! moi je n'ai pas de maître, je suis libre ».

[3] In M 67, 58 in P. Abest ab Edd. Conf. § σνεʹ.

[4] Abest ab M et P., et cæteris.

[5] Est conferendus cum scholastico Mummius ille Achaicus, qui, teste V. Paterculo, 1, 13, « tam rudis fuit ut, capta Corintho, cum maximorum artificum perfectas manibus tabulas ac statuas in Italiam portandas locaret, juberet prædici conducentibus, si eas perdidissent, novas esse redditudos ».

[6] Abest ab M, et P., et cæteris.

[7] Est 68 in M, 59 in P.; abest a cæteris.

[8] M, ἀποριπτούντων.... τῷ αὐτῷ.

[9] M, ὑπαλείψας.

[10] Ἴδε est directum ad plures, ut sæpius ἄγε, εἰπέ, ἴθι, φέρε, ἔα. Symeon Sethi Ichnel. p. 230 : ἴδε πῶς τὰ τοῦ βίου ἐξετράπη ἡμῖν.

[11] A, ἐπεκούρισα. M, ἐπικουφίσω. Pontanus : « Ex quantis navem levavi » ! omisso κύμασιν, ad quod nomen hærebat fortasse, et præteritum reperto futuro substituens. Bene habet κύμασιν, quod, ni fallor, in χρήμασιν mente mutabat Pontanus, non improbabiliter quidem, sed citra necessitatem. Imminuto enim in nave submersa bonorum mobilium pondere, minuitur simul depressio navis, quam recepti fluctus

πα'. Σχολαστικὸς[1] ἐν πλοίῳ χειμαζομένων[2] καὶ κλαιόντων τῶν συμπλεόντων, « Τί γάρ » ἔφη « μικρολόγοι ἐστέ; ἐγὼ δέ, δέκα Ἀττικὰς πλείονας δούς, κινδύνῳ τοῦ κυβερνήτου πλέω ».

πβ'. Σχολαστικῷ[3] ἀναβαίνοντι ἐπὶ τεῖχος ἐν μάχῃ χύτραν τις μεστὴν κοπρίων ἐπέβαλεν. Ὁ δὲ βοῶν, « Οὐ θέλεις » εἶπε « καθαρῶς[4] πυκτεῦσαι ».

πγ'. Σχολαστικός[5], ὡς ἐν τῷ Ῥήνῳ ποταμῷ ναῦς ἐπώκειλεν, ὑπὸ τὸ κατάστρωμα τῆς νεὼς ὑποβάς, ἀνωθεῖσθαι[6] ἐνόμιζεν αὐτὴν εἰς τὸ ἄνω, οὐ συνιεὶς ὅτι, ταῖς ποσὶν αὐτὴν ὑπερείδων[7], μᾶλλον εἰς τὸ βάθος κατῆγε.

πδ'. Ὁ αὐτὸς[8] τοῖς στρατιώταις « Αὔριον » εἶπε, « μακρὰν ὁδὸν ὁδοιπορῆσαι ἀναγκαῖον· σήμερον οὖν πλεονάκις καθέσθητε[9] ».

πε'. Σχολαστικὸς[10] εἰς οἰκίαν καινὴν[11] μετοικισθείς, καὶ τὰ πρὸ τοῦ πύλωνος καβηρᾶς[12] ἐπέγραψεν· « Ὃς ἂν ὧδε κόπρια βάλῃ[13], ἀπόλλυσιν αὐτά ».

πϛ'. Σχολαστικὸν[14] ὁ πατὴρ ἀπολέσαντα δηνάριον ἐβούλετο τυπτῆσαι[15]. Ὁ δὲ « Μὴ ὀργίζου », ἔφη· « κἀγὼ ἐκ τῶν ἐμῶν ἀγοράσω τὸ δηνάριον ».

minus degravant. Et secure poterat futurum tempus servare interpres. — Similem historiolam describam e Gallico facetiarum libello : « Voici une terrible tempête ; déchargeons le vaisseau ; que chacun jette à la mer ce qu'il a de plus pesant. Un mari y jeta sa femme ».

[1] In M 69, 60 in P. Abest a cæteris.

[2] M, χειμαζόμενος. Pontanus : « vectoribus tempestate jactatis ». Corrigebat χειμαζομένων. Tum M, ἐσταί et κυβερνίτου.

[3] Abest ab M et P., et cæteris.

[4] Καθαρῶς de pugilatu vel alio certamine est pro ἀκριβῶς, νομίμως. Inest simul lusus, quum propter jactus fœditatem de munditie cogitetur.

[5] In M 70. Abest a P. et cæteris.

[6] M, ἐπώκιλεν. AM, ἐπὶ τὸ κ. Monuit Μηνᾶς de scribendo ὑπό. M, ὑπὸ βασῶν ὠθεῖσθαι.

[7] M, συνεὶς.... ὑπερεῖδον.

[8] In M 71 ; 62 in P., qui incipit « Scholasticus ». Non poterat convertere scriptam lectionem ὁ αὐτός, quum præcedentem omisisset narrationem. Conf. § ρλδ'.

[9] M, καθέσθηται.

[10] In M 72. Abest a Pontano et cæteris libris.

[11] M, κενήν. Sic jam peccavit § μη'.

[12] Sic AM, καβηρᾶς. An καμάρας?

[13] M, βάλλει.

[14] In M 73. Abest a Pontano et cæteris libris.

[15] M, τυπῆσαι. Statim ἀγοράζω.

πζ'. Σχολαστικὸς[1] ἀπὸ τῆς οἰκίας σεκούτωρος[2] σχῆμα λαβὼν ἔπαιζεν. Ἄφνω δέ τινος ἀπαγγείλαντος αὐτῷ τὴν παρουσίαν τοῦ πατρός, ῥίψας τὸ ὅπλον, ἔλυε τὴν κνημῖδα. Φθάσαντος δὲ τοῦ πατρὸς αὐτοῦ ἐπιστῆναι, ἔχων τὴν περικεφαλαίαν, βιβλίον ἀνεγίνωσκε.

πη'. Σχολαστικὸς[3] ἐπανερχόμενος ὅθεν ἀπεδήμησεν, καὶ ἀναβαίνων ὑψηλὴν ἀνάβασιν, ἐθαύμαζε λέγων· « Ἐνταῦθα ὅτε πρῶτον ὡς ἐπαρκεῖν ὥδευον[4], κατάβασις ἦν· καὶ πῶς οὖν ταχέως ἠλλάγη, καὶ ἀνάβασις γέγονε »;

πθ'. Σχολαστικὸς[5] πλέων ἐπύθετο[6] τοῦ κυβερνήτου πόστη εἴη ὥρα[7]· τοῦ δὲ μὴ γινώσκειν φήσαντος, ἠρώτησε πόσος εἴη[8] χρόνος ἀφ' οὗ τὴν ναῦν κυβερνᾷ· τοῦ δὲ τρία ἔτη φήσαντος, « Πῶς οὖν ἐγὼ » ἔφη, « πρὸ ἓξ μηνῶν οἰκίαν πριάμενος, ὅταν εἰς τὴν αὐλὴν κατέλθῃ ὁ ἥλιος, τῆς ὥρας στοχάζομαι, σὺ δὲ ἀπὸ τοῦ πλοίου τεκμήρασθαι οὐ δύνασαι, τοσούτῳ χρόνῳ αὐτὸ κυβερνῶν[9] »;

ϙ'. Σχολαστικὸς[1] σοφιστὴς ἀξιούμενος τῶν ἀποθνησκόντων

[1] Abest ab M, et cæteris.

[2] A, ἐπὶ τ. ο. σεκούτερος. Scripsi ἀπό et σεκούτωρος ex productione latina; est enim latinum nomen « secutor » græcis repræsentatum litteris. Quo usus est et Artemidorus, 2, 32 : εἰ δὲ σεκούτορι. Et ibi malim σεκούτωρι, ut et σεκούτωρος, σεκουτώρων in Dione Cassio. In Andreopuli Syntipa, p. 183, debuissem eligere scripturam σπεκουλάτωρι.

[3] In M 74; 63 in P. Abest a cæteris.

[4] A, ὡς παρκεῖν ὥδευον. M, ὡς ἐπαρκεῖν ὁδεύων. Recepi ἐπαρκεῖν verbum bene Græcum, sed cujus sensum nunc vix capio. Pontanus homo doctus hærebat ipse, qui vertit, « cum prius hac iter facerem », locum difficilem silentio præter vectus. Fort. leg., ὅτε πρ. παρεκεῖ ὥδ., deleto ἐνταῦθα synonymo.

[5] In M 75; 61 in P. Abest a cæteris.

[6] M, ἐπείθετο. Sic confusa tempora ἐπυθόμην ἐπειθόμην in Juliani Epistola prima, alibi πέπεισμαι πέπυσμαι, πειθόμενος πυθόμενος. Quod monstravi ad Philostr. Epist. p. 76, ad Eunap. p. 579.

[7] M, πῶς, τῇ ὥρᾳ. Pontanus locum corrigens tacite : « quota hora esset ».

[8] M sine εἴη. Ejusdem verbi tempus deest Platonico Sisypho, p. 233 : σκεπτέον ἡμῖν ἐστι νῦν ἤδη τί ἐμποδὼν τοῖς ζητοῦσι. Reperi in cod. 3009, τί ἐστιν ἐμποδών. Corradus duplex ἐστι invenisse videtur : « nobis considerandum est quid esse quærentibus impedimento possit ». Obiter alium locum tangam Sisyphi, p. 231 : ἐγὼ γὰρ οὐ περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους ἂν δυναίμην ποιήσασθαι πρὸς σέ.... ἀλλὰ περὶ αὐτοῦ τοῦ βουλεύεσθαι ὅ τι ἐστὶν ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. Idem codex, ἐγὼ γὰρ οὔπω περὶ.... ἀλλὰ περὶ αὐτοῦ τοῦ βουλεύεσθαι πρῶτον ὅ τι ἐστί.... Corradus has varietates non novit.

[9] M, φωνήσαντος.... κατέλθοι.... τὴν ὥραν στοχ.... κυβερνᾷν.

[10] In M 76; 40 in P. Abest a cæteris.

ἐπιταφίους λέγειν, ἑνὸς ἔτι ζῶντος ἔγραψεν ἐπιτάφιον, ὃς ἐνεκάλει αὐτῷ ἐπὶ τούτῳ. Ὁ δέ « Ἂν οὖν ὑμεῖς » φησί, μὴ προλέγητε ὅταν ἀποθνήσκητε, ἐγὼ ἐξ αὐτοσχεδίου λέγων[1] βούλεσθε ἵν' ἀσχημονήσω »;

ϟα'. Σχολαστικὸς[2] συμφοιτητὰς ἐπὶ δεῖπνον καλέσας, ἐπαινεσάντων αὐτῶν[3] ὑὸς κεφαλήν, καὶ ἀξιωσάντων καὶ τῇ ὑστεραίᾳ παρ' αὐτῷ ἑστιαθῆναι, ἀπελθὼν πρὸς τὸν μάγειρον, « Δός μοι » ἔφη, « ἀπὸ τοῦ χοίρου κεφαλὴν ἑτέραν· ἡ γὰρ χθὲς ἡμῖν πάνυ ἤρεσε[4] ».

ϟϐ'. Σχολαστικὸς[5] ἠρώτα τὸν πατέρα ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ.

ϟγ'. Σχολαστικὸς[6] μαθὼν περὶ κλίμακός τινος ὅτι ἀναβαινόντων ἔχει βαθμοὺς εἴκοσιν[7], ἐπύθετο εἰ καὶ καταβαινόντων τοσοῦτοι εἰσί.

ϟδ'. Σχολαστικός[8], διαλεγομένων τινῶν περὶ ἀπεψίας, ἔλεγε μηδεπώποτε ἠπεπτηκέναι. Τῶν δὲ πυνθανομένων εἰ μηδέποτε ἠρεύξατο πικρὸν ἢ ἀηδές, « Τοῦτο » εἶπε, « ποιῶ καθ' ἑκάστην ἡμέραν[9] ».

ϟε'. Σχολαστικῷ[10] υἱὸς ἐγεννήθη. Πυνθανομένων δὲ τινῶν αὐτοῦ ποῖον ὄνομα αὐτῷ θήσεται, « Τὸ ἐμόν » ἔφη « ἕξει ὄνομα, κἀγὼ τέως οὕτω μενῶ ».

ϟϛ'. Σχολαστικοὶ[11] δύο δειλοί, ὁ μὲν ἔκρυψεν αὑτὸν εἰς φρέαρ[12], ὁ δὲ εἰς καλαμῶνα. Χαλασάντων κράνος τῶν στρατιωτῶν ἐπὶ τὸ ὕδωρ ἀρύσασθαι, νομίσας στρατιώτην κατιέναι, ἱκετεύων ἐλήφθη.

[1] M, ἐνεκάλει αὐτόν ... ὁ δέ, ἀνθρώπους ὑμεῖς.... ἀποθνήσκετε, ἐγὼ ἐξαυτοσχεδίου λέγω. Pontanus e verbis hisce corruptis non extricare se potuit.

[2] In M 77; 64 in P. Abest a cæteris.

[3] A, αὐτῷ. M, αὐτῶν.

[4] M, ἤρεσεν.

[5] In M 78: 65 in P. Abest a cæteris. Conf. § ρλϛ'.

[6] In M 79; 66 in P. Abest a cæteris libris.

[7] M, εἴκοσι.

[8] Abest ab M, P., et cæteris.

[9] Ergo ἠπεπτήκει, quod negabat.

[10] Abest a M et P., et cæteris.

[11] In M 80, 67 in P. Abest a cæteris.

[12] M, σχολαστικοὶ δειλοὶ ὁ μ. ἔκρ. εἰς φρ. ἑαυτόν.

Ὡς δὲ ἔφασαν οἱ στρατιῶται ὅτι, εἰ[1] ἐσιώπησε, παρῆλθον ἂν αὐτόν, ὁ ἐν τῷ καλαμῶνι κρυβόμενος, « Οὐκοῦν » εἶπεν, « ἐμὲ παρέλθετε[2]· σιωπῶ γάρ ».

ϟζʹ. Σχολαστικός[3], γυναικὸς αὐτοῦ ἀποθανούσης, σορὸν ἠγόραζε, καὶ περὶ τῆς τιμῆς ἐζυγομάχει. Τοῦ δὲ πωλοῦντος ὀμόσαντος μὴ ἔλαττον πέντε μυριάδων πωλήσειν, ὁ δὲ « Ἐπειδή » ἔφη, « προςείληψαι τῷ ὅρκῳ, λάβε μὲν τὰς πέντε μυριάδας, εἰς προςθήκην δέ μοι μικρὸν σορίδιον δός, ἵνα, ἐάν μου χρεία παιδίῳ γένηται, ἕτοιμον ᾖ ».

ϟηʹ. Σχολαστικῷ[4] ἑταῖρος ἀπαντήσας, « Συγχαίρω σοι » εἶπεν, « ὅτι σοι παιδίον ἐγεννήθη ». Ὁ δὲ ἀπεκρίνατο· « Ταῦτα ὑμεῖς οἱ φίλοι ποιεῖτε ».

ϟθʹ. Σχολαστικῷ τις λέγει· « Χρῆσόν μοι βίῤῥον[5] μέχρις ἀγροῦ ». Ὁ δὲ « Μέχρι σφυροῦ » εἶπεν « ἔχω· μέχρι δὲ ἀγροῦ οὐκ ἔχω ».

ρʹ. Σχολαστικὸς[6] ἐπ' ὀχήματος ὥδευεν. Ἐπεὶ δὲ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ὑπέλυσεν αὐτὰς ὁ ἡνίοχος, ἵνα μικρὸν ἀναλάβωσι. Λυθεῖσαι[7] οὖν ἔφυγον. Καὶ ὁ σχολαστικὸς πρὸς τὸν ἡνίοχον « Κάθαρμα », εἶπεν, « ὁρᾷς ὅτι αἱ ἡμίονοι τρέχουσι, τὸ δὲ ὄχημά ἐστιν αἴτιον, τὸ δραμεῖν μὴ δυνάμενον ».

ραʹ. Σχολαστικὸς[8] ἀδελφοὺς διδύμους ἰδών, θαυμαζόντων τινῶν τὴν ὁμοιότητα αὐτῶν, « Οὐχ οὗτος » φησίν, « ὅμοιός ἐστιν οὕτως ἐκείνῳ, ὡς ἐκεῖνος τούτῳ[9] ».

[1] M sine εἰ.

[2] M, ὁ δὲ ἐν τῷ.... οὐκ οὖν εἶπεν ἐμὲ παρέλθατε.

[3] Abest ab M et P., et cæteris.

[4] Abest ab M, Pont., et cæteris. Cf. § ρλζʹ.

[5] Βίῤῥος est latinum « birrus ». M, σχολαστικός τις λ. χρ. μοι μῦρον. Permutatio solita litterarum β μ, vocalium ι υ, peperit mendum ridiculum μύρον pro βίῤῥον.

[6] Est 82 in M. Abest a P. et cæteris. Cf. § ρκηʹ.

[7] M, ἀναλάβωσιν· λυθῆσαι.

[8] Abest ab M et P., et cæteris.

[9] A, τοῦτο.

ρϐʹ. Σχολαστικῷ[1] τις λέγει « Δημέα, τρίτην ἡμέραν σε ἐνθάδε ἐν ὕπνοις εἶδον ». Ὁ δὲ « ψευδῇ[2] », εἶπεν· « ἐν ἀγρῷ γὰρ ἤμην ».

ργʹ. Σχολαστικὸς[3] μετὰ δύο ἑταίρων διελέγετο. Τοῦ ἑνὸς οὖν εἰπόντος ὅτι, « Μὴ δίκαιόν ἐστι πρόϐατον σφάζεσθαι· γάλα γὰρ καὶ ἔριον ἀφθόνως φέρει »· καὶ τοῦ ἄλλου εἰπόντος ὅτι, « Μηδὲ βοῦν προςήκει ἀναιρεῖσθαι, γάλα παρέχουσαν καὶ ἀροτριῶσαν »· ὁ σχολαστικὸς ἔφη μηδὲ χοῖρον δίκαιον εἶναι ἀναιρεῖσθαι, ἧπαρ παρέχουσαν[4] καὶ οὖθαρ καὶ βούλϐαν[5].

ΕΚ ΤΟΥ ΦΙΛΟΓΕΛΩ[6].

ρδʹ. Φιλάργυρος[7] διαθήκας γράφων ἑαυτὸν κληρονόμον ἔταξε.

ρεʹ. Φιλάργυρος[8] ἐρωτώμενος διὰ τί ἄλλο οὐθὲν εἰ μὴ μόνον ἐλαίας ἐσθίει, ἔφη· « Ἵνα τὸ μὲν ἔξωθεν ἀντὶ ὄψου ἔχω, τὸ δὲ ὀστοῦν ἀντὶ ξύλου· φαγὼν δέ, εἰς τὴν ἑαυτοῦ κεφαλὴν σπογγισάμενος, λουτροῦ οὐκ ἐπιδέομαι ».

ρϛʹ. Πεπανόπτωχος[9] εἰωθὼς τὴν φίλην αὐτοῦ[10] ἐξαπατᾷν ὡς εὐγενής τε[11] ὢν καὶ πλούσιος, εἰς τοὺς γείτονας σιτευόμενος, ὡς

[1] In M 83; 68 in P. Abest a cæteris.

[2] M, ψεύδει.... Conf. § ρϟγʹ.

[3] Abest ab M et P., et cæteris. Conf. § ρκθʹ.

[4] A, παρέχοντα, et sic § ρκθʹ. Scripsi re jubente παρέχουσαν. Nominis forma χοῖρος masculina, articulo absente, in causa librario fuit participium scribendi masculinum.

[5] A, βουλϐάν. Retraxi accentum. Est latinum « vulva ».

[6] AM, ἐκ τοῦ φιλογέλου. Pontanus : « De Philogelo aut Philagrio fortasse ». Putabat esse φιλογέλου mendum calami pro Φιλαγρίου, loco non intellecto. Est Φιλόγελως libri nomen unde historiolæ istæ sunt excerptæ. Vide p. 263, n. 1.

[7] In M 84; 73 in P. Abest a cæteris. Gallice historiolam vertit, qui eam ex Pontano cognitam potuit habere « pater » ille academicus de quo ad § ρνζʹ, Appendicis Edgeworthiani libri, p. 196.

[8] Abest ab M et P., et cæteris.

[9] In M 85. Abest a P., et reliquis.

[10] AM, εἰωθός. A, αὑτοῦ. M, αὐτοῦ. M, ἐξαπατῶν.

[11] M sine τε. Memini Athenæi, 15, 12, ubi λῃστρικῷ τε βίῳ χρωμένους, particula τε non exspectata nec utili. Fortasse legendum λῃστρικῷ τῷ β. χρ. Alciphro, 3, 49 : ἣν μή τε δεξιὸν ἡ τύχη βουλεύσηται. Particula τε et hic displicet. Inveni bonam lectionem in codice μή γε. Addita particula τε versum sanabit breviorem in inscriptione Appendici inserta Anth. p. 826 : Ἐν δὲ τεθνειῶσιν ὁμηγύριές γε πέλουσιν Δοιαί. Proposuerunt vv. d. ἐν δή, ἐν δ' αὖ, pessimum illud, hoc pro loco longius. Nam in ipso marmore, ut patet tabulam inspicienti

εἶδεν ἄφνω τὴν φίλην[1], στραφεὶς ἐφώνει· « Πέμψον δέ μοι καὶ τὸ φιϐλατώριον[2] ».

ρζ΄. Ἄλλος[3] ὁμοίως μεγαλαυχούμενος τελείως τε πενητεύων[4], καὶ κατὰ τύχην νοσήσας, τῆς δὲ φίλης αὐτοῦ αἰφνίδιον ἐπελθούσης[5], καὶ εὑρούσης αὐτὸν ἐπὶ ψιάθου κείμενον, ἐντραπεὶς ᾐτιᾶτο[6] τοὺς ἰατροὺς λέγων· « Οἱ καλοὶ ἰατροὶ καὶ δόκιμοι τῆς πόλεως ἐκέλευσάν με ψιαθισθῆναι[7] ».

ρη΄. Ἀλαζὼν[8] ἐν ἀγορᾷ παῖδα ἑαυτοῦ θεασάμενος ἐκ τοῦ ἀγροῦ νεωστὶ ἐληλυθότα, εἶπε· « Τί ποιοῦσι τὰ πρόϐατα »; Ὁ δὲ εἶπε· « Τὸ μὲν καθεύδει, τὸ δὲ[9] ἵσταται ».

ρθ΄. Μωρὸς[10] ἀκούσας ὅτι ἐν ᾅδου δίκαια τὰ κριτήρια, πρᾶγμα ἔχων, ἀπήγξατο.

ΑΒΔΗΡΙΤΑΙ[11].

ρι΄. Ἐν Ἀϐδήροις[12] διῃρεῖτο ἡ πόλις εἰς δύο μέρη, οἵ τε πρὸς

accurate delineatam, litteræ ΕΝΔΕΤΕΘΝ sunt et confertæ et nitidissimæ. Deest tamen syllaba, sed quam potuit lapicida facillime prætervidere. Propono, ἐν δέ τε τεθνειῶσιν.

[1] M, τοὺς φίλους.

[2] Latinum « fibula » peperit adjectivum « fibulatorius » et per syncopen « fiblatorius ». Inde φιϐλατώριος. « Mitte meum mihi pallium illud aureis ornatum fibulis ».

[3] In M 86; 74 in P. Abest a rèliquis.

[4] A, πενιτεύων. M, πενητεύων.

[5] A, ἐπελθούσης. M, ἐπεισελθούσης.

[6] A, ᾐτιῶτο. M, ᾐτιᾶτο.

[7] A, sine με, quod M dedit. Fingit se, medicis primariis jubentibus, in storea jacere, et, fidem ut sibi conciliet verbum, si diis placet, medicum fabricatur ψιαθισθῆναι, « storeascere ». Habent enim belluli isti Æsculapii novorum nova vocabula remediorum.

[8] In M 89. Abest a P. et reliquis.

[9] Lepide significat servulus τὰ πρόϐατα, oves, ovium gregem illum duobus constare capitibus, τὸ μέν, τὸ δέ. Sic in Floriani fabula Dom. Quixotus, e caballario erratico pastor factus, emptis a lanione ovibus duabus, ibat « Dispersant son troupeau sur les rives du Tage ». Acumen periit in M, ubi τὰ μέν, τὰ δέ.

[10] Abest ab M et P., et reliquis.

[11] Lemmate M caret. Fuerunt Abderitæ stoliditatis notissimi. Theodulus in meis Anecdotis Gr. junxit Abderitas ac Maronitas. Vide ibi n. t. II, p. 206, et Ruhnk. ad Tim. V. Αἰξωνεύεσθαι. Hippocrates Epist. ad Damagetum extrema: μελαγχολᾷς οὖν, ὦ Δημόκριτε· κινδυνεύω καὶ αὐτὸς Ἀϐδηρίτης εἶναι. Ibi Bompart.

[12] In M 88; 75 in P. Abest a reliquis. — A, αὐδήροις. M, Ἀϐδήροις. Permutatæ sunt, ut solet, litteræ β υ, quorum est similis sonus. In Theoduli loco, cujus modo memini codices exhibent αὐδηρίταις. Vide Anecd. mea Gr. t. II, p. 482. In sequentibus §§ A recte Ἀϐδ.

ἀνατολὰς οἰκοῦντες καὶ οἱ πρὸς δύσιν. Πολεμίων οὖν ἄφνω τὴν πόλιν ἐφορμησάντων[1], καὶ πάντων θορυβουμένων, οἱ πρὸς τὸ ἀνατολικὸν οἰκοῦντες μέρος[2] πρὸς ἀλλήλους ἔλεγον· « Ἡμεῖς μὴ θορυβηθῶμεν· οἱ γὰρ πολέμιοι ἐπὶ τὰς δυτικὰς[3] εἰσέρχονται πύλας ».

ρια'. Ἐν Ἀβδήροις[4] ὄνος λαθὼν εἰς τὸ γυμνάσιον εἰσῆλθε, καὶ τὸ ἔλαιον[5] ἐξέχεεν. Οἱ δὲ συνελθόντες, καὶ μεταπεμψάμενοι πάντας τοὺς ἐν τῇ πόλει ὄνους καὶ εἰς ἕνα συναγαγόντες τόπον, πρὸς τὸ ἀσφαλίσασθαι, ἐνώπιον αὐτῶν τὸν ὄνον ἐμαστίγωσαν[6].

ριβ'. Ἀβδηρίτης[7] ἀπάγξασθαι βουλόμενος, καὶ τοῦ σχοινίου διαῤῥαγέντος, τὴν κεφαλὴν ἐπλήγη. Λαβὼν οὖν[8] ἔμπλαστρον παρὰ τοῦ ἰατροῦ καὶ θεὶς κατὰ τοῦ τραύματος, ἀπελθὼν πάλιν ἀπήγξατο.

ριγ'. Ἀβδηρίτης[9] εὐνοῦχον ἰδὼν κηλήτην[10] ἀπὸ ἐμβάσεως ἐξιόντα, εἶπεν· « Ἀποκένωσον· ἐπὶ τῷ παραχύτῃ λέγω[11] ».

ριδ'. Ἀβδηρίτης[12], εὐνοῦχον ἰδών, ἐπύθετο αὐτὸν[13] πόσα παιδία ἔχοι. Ἑτέρου δὲ εἰπόντος τὸν ὄρχεις μὴ ἔχοντα μὴ δύνασθαι τεκνογονῆσαι, ὑπολαβὼν ἔφη· « Πολλοὺς οὖν ἀνάγκη υἱωνοὺς ἔχειν ».

ριε'. Ἀβδηρίτης[14], εὐνοῦχον ἰδὼν γυναικὶ προσομιλοῦντα[15], ἠρώτα ἄλλον εἰ ἄρα γυνὴ αὐτοῦ ἐστί. Τοῦ δὲ εἰπόντος εὐνοῦχον γυναῖκα ἔχειν μὴ δύνασθαι, « Οὐκοῦν, ἔφη, θυγάτηρ[16] αὐτοῦ ἐστί ».

[1] Sic A. M, ἐφορμισάντων.

[2] M, μέρος οἰκοῦντες.

[3] M, δυσικάς.

[4] In M 89; 76 in P. Abest a reliquis.

[5] Addit Pontanus pro scholio: « oleum, quo palæstritæ et luctatores corpora perungebant ».

[6] Nonnulla suppliciorum, capitalium quoque, ab animalibus sumptorum, exempla possem conferre; sed non sunt ad manum; illa autem quærere non est pretium operæ. Interim cf. Polissoniana, p. 101.

[7] In M 90; 76 in P. Abest a reliquis.

[8] A sine οὖν.

[9] Abest ab M, P., et reliquis.

[10] A, κηλίτην. Id mendum redibit.

[11] Timebat videlicet Abderites ne herniosus aquam inquinavisset, atque jubet illam effundi. Præpositio ἐπί non exspectabatur; delenda fortasse, nata ex varietate ἐπιχύτῃ, παραχ.

[12] Abest ab M et P., et reliquis.

[13] A, αὐτόν. Mox τεκνογοννῆσαι.

[14] In M 91; 78 in P. Abest a cæteris.

[15] A, ὁμιλοῦντα.

[16] M sine θυγάτηρ. Cujus nominis omissio Pontanum valde conturbavit,

ρις'. Ἀβδηρίτης[1] εὐνοῦχος δυστυχήσας κήλην ἐποίησε[2].

ριζ'. Ἀβδηρίτης[3] μετὰ κηλήτου κοιμώμενος, καὶ τῇ νυκτὶ πρὸς ἑαυτὸν ἀναστάς, ἐν τῷ ἐπαναστρέφειν, σκοτίας οὔσης, ἄκων τὴν κήλην ἐπάτησε. Τοῦ δὲ κηλήτου κατακράξαντος, αὐτῷ ἔφη· « Διὰ τί γὰρ κατακέφαλα κοιμᾶσαι[4] »;

ριη'. Ἀβδηρίτης[5] περιπατῶν εἶδε κηλήτην οὐροῦντα, καὶ εἶπεν· « Οὗτος ἕως ἑσπέρας οὐ μὴ ἐξουρήσῃ[6] ».

ριθ'. Ἀβδηρίτης[7] ἰδὼν κηλήτην ἀπὸ κολύμβου[8] ἐξιόντα, μόλις δὲ περιπατοῦντα, πρὸς αὐτὸν εἶπε· « Τί γὰρ ἀπλήστως ἐγόμωσαι[9], μὴ δυνάμενος γενναίως βαστάσαι[10] »;

ρκ'. Ἀβδηρίτης[11] ἀκούσας ὅτι κρόμμυα καὶ βολβοὶ φυσῶσιν, ἐν τῷ πλέειν αὐτόν, γαλήνης οὔσης πολλῆς, σάκκον πλήσας, ἀπὸ τῆς πρύμνης ἐκρέμασε[12].

multasque per ambages sententiam verborum αὐτοῦ ἐστί quæsivit, nec invenit.

[1] Exstat in uno A. Verbis leviter mutatis iterum legitur § σνϐ'.

[2] Præ summo infortunio Abderites iste fit herniosus, quod permirum est, si locum intelligo. Κήλην ποιεῖν, ut dicitur vernacule « faire une maladie ». Quæ dicendi formula non inter nostri sermonis elegantias numeratur. Diderot. Epistola quadam : « en allant, j'ai fait deux maladies,.... deux inflammations d'entrailles ». *Demoustier* Mulieribus : « Cependant je vous vois la figure pâlie, Et vous avez au moins fait une maladie ». Atque sic locutus est Russæus Genevensis alicubi. Conf. § σ'.

[3] Exstat in uno A.

[4] De κοιμᾶσαι vide p. 268, n. 4.

[5] Exstat in uno A.

[6] Credebat homo stolidus, et oculis immodestioribus, herniæ prægrandem tumorem esse vesicam, quæ præ humoris saccati abundantia turgebat eratque prominentior.

[7] Exstat in uno A.

[8] Videtur esse κολύμβου idem ac κολυμβήθρας. Conferenda verba ἀπὸ ἐμβάσεως in historiola § ριγ'.

[9] Sic A. Fortasse ἐγομώσω, vel γεγόμωσαι.

[10] Βαστάσαι eodem sensu quo dicunt sæpius φέρειν de vino, ut et Latini « ferre ». Darius Hystaspis inscribendum sepulcro curaverat, teste Athenæo, 10, 45 : ἠδυνάμην καὶ οἶνον πίνειν πολύν, καὶ τοῦτον φέρειν καλῶς. Cyrus etiam Junior aiebat se πλείονα πίνειν ἄκρατον καὶ φέρειν βέλτιον Artaxerxe fratre, ap. Plut. Apophth. et V. Artax. 6, ubi Bæhrii Observatio. Seneca Epist. 36 : « bene aliquis illam fert (felicitatem scilicet); sic quomodo vinum ». Eunapius Sopolide : οὐδὲ τὴν πεπιεσμένην ῥανίδα τὴν Κασταλίαν φέροντες. Ibi mea adnotatio p. XLVIII.

[11] Exstat in uno A.

[12] Parilis insulsitas joci in libello abbatis *Cherrier*, Polissonianis, p. 49. Non describam. Indicavisse satis est, nimium quoque. Conf. et § ρμα'.

ρκαʹ. Ἀβδηρίτης[1] ἰδὼν δρομέα ἐσταυρωμένον, εἶπε· « Μὰ τοὺς θεούς, οὗτος οὐκ ἔτι τρέχει, ἀλλὰ πέταται[2] ».

ρκβʹ. Ἀβδηρίτης[3] λεκάνην ἐπώλει μὴ ἔχουσαν ὠτία. Τινὸς δὲ ἐρωτήσαντος διὰ τί αὐτῆς ἦρε τὰ ὠτία, ἀπεκρίνατο[4], « ἵνα μή, ἀκούσασα ὅτι πωλεῖται, φύγῃ ».

ρκγʹ. Ἀβδηρίτης[5] τὸν πατέρα τελευτήσαντα κατὰ τὸν νόμον καύσας, δραμὼν εἰς τὴν οἰκίαν, πρὸς τὴν μητέρα αὐτοῦ νοσοῦσαν εἶπεν· « Ὀλίγα ἔτι περιττεύει ξύλα· εἰ οὖν βούλει καὶ δύνασαι[6], τοῖς αὐτοῖς κατακαύθητι ».

ρκδʹ. Ἀβδηρίτης[7] κατ' ὄναρ[8] χοιρίδιον ἐπώλει καὶ ἐζήτει δηνάρια ἑκατόν. Διδόντος δέ τινος πεντήκοντα, μὴ βουλόμενος λαβεῖν, διύπνισε[9]. Καμμύσας[10] οὖν, καὶ τὴν χεῖρα προτείνας, εἶπε· « Δὸς κἂν τὰ πεντήκοντα ».

ρκεʹ. Ἀβδηρίτου[11] στρουθίον ἀπέθανε. Μετὰ οὖν χρόνον ἰδὼν στρουθοκάμηλον[12], εἶπεν· « Εἰ ἔζη τὸ στρουθίον μου, ἤδη ἂν τηλικοῦτον ὑπῆρχε ».

ρκϛʹ. Ἀβδηρίτης[13] εἰς Ῥόδον ἀποδημήσας, ὡς ἐκ τοῦ ὀνόματος τοὺς τοίχους ὠσμᾶτο[14].

ρκζʹ. Ἀβδηρίτης[15] ὀνάριόν τινι χρεωστῶν, καὶ μὴ ἔχων, παρεκάλει ἵνα ἀντ' αὐτοῦ δύο ἡμιόνους παράσχῃ.

[1] In M 92; 75 in P. Abest a reliquis.

[2] M, ἐστρωμένον. Bene divinabat Pontanus, qui vertit, « suspensum ». M, πέτετε. Et bene Pontanus : « volat ».

[3] In M 93; 80 in P. Abest a reliquis.

[4] M, ὠτία ἀπεκρίνατο, mediis omissis. Pontanus sententiam perspexit.

[5] Exstat in uno A.

[6] A, ἐὰν ο. βούλῃ κ. δύνασαι, solœce. Correxi, εἰ ο. βούλει, quum εἰ et ἐάν permutentur § ρκεʹ.

[7] In M 94; 81 in P. Abest a reliquis.

[8] M, κατόναρ.

[9] M, δι' ὕπνησε. Est neutrum.

[10] Καμμύσας] vide § ιαʹ.

[11] In M 95; 82 in P. Abest a reliquis libris.

[12] « Struthiocamelus, avis genus a passere et camelo appellatum, quasi passer magnitudine camelum æquans, de quo Plinius, l. 10, c. 1. Alias Struthio ». Pont. Qui στρουθοκάμηλος dicunt, habent recentiores et aliud compositum quod mihi quidem placet magis, καμηλοπούλιον. Similior est enim avi in genere quam passeri στρουθοκάμηλος.

[13] In M 96; 83 in P. Abest a reliquis libris.

[14] AM, ὀσμᾶτο.

[15] Exstat in uno A. Cf. §§ ιβʹ, σκβʹ.

ΣΙΔΩΝΙΟΙ[1].

ρκη'. Σιδώνιος[2] ἔπαρχος ἐπ' ὀχήματος ὥδευεν. Ἐπειδὴ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ἀπέλυσεν αὐτὰς ὁ ἡνίοχος, ἵνα μικρὸν βοσκηθεῖσαι ἀναλάβωνται. Λυθεῖσαι οὖν ἔφυγον. Καὶ ὁ ἔπαρχος πρὸς τὸν ἡνίοχον ἔφη· « Ὁρᾷς, κάθαρμα, ὅτι αἱ μὲν ἡμίονοι τρέχουσι, τόδε ὄχημα δραμεῖν μὴ δυνάμενον ἵσταται ».

ρκθ'. Σιδώνιος[3] ῥήτωρ μετὰ δύο[4] ἑταίρων διελέγετο. Τοῦ δὲ ἑνὸς λέγοντος ὅτι οὐκ ἦν δίκαιον πρόβατα σφάζεσθαι διὰ τὸ φέρειν γάλα καὶ ἔριον, καὶ τοῦ ἄλλου εἰπόντος ὅτι μηδὲ βοῦν ἀναιρεῖσθαι γάλα παρέχουσαν καὶ ἀροτριῶσαν[5], ὁ ῥήτωρ ἔφη μηδὲ χοῖρον εἶναι δίκαιον σφάζεσθαι, ἧπαρ παρέχουσαν[6] καὶ οὖθαρ καὶ νεφρία.

ρλ'. Σιδώνιος[7] σοφιστὴς κατὰ πρώτην ἄνοιξιν τοῦ βαλανείου λουόμενος, καὶ μηδένα ἔσωθεν εὑρών, λέγει πρὸς τοὺς δύο οἰκέτας· « Καθὼς βλέπω, οὐ λούει ».

[1] Codd. Σιδόνιοι, et sic infra. Malui μεγαλογραφεῖν, quamvis potuit ipse auctor brevi littera uti. Μικρογραφίᾳ utar nomen ΕΠΩΝΙΧΟΥ tangens in inscriptione quam protulit Letronnius Ægyptiacus, t. II, p. 163. Propono corrigendum ΕΤΕΟΝΙΚΟΥ, quod nomen est notissimum. Litteræ ΤΕΩ ac cæteræ, fractæ et edaci tempore corrosæ, ductus reliquerunt tenues ac dubios, unde divinatione alius aliam eruit syllabam. Quod conjicio non caret probabilitate quadam.

[2] Exstat in uno A. Conf. § ρ'.

[3] Exstat in uno A. Conf. § ργ'.

[4] A, δύω, sic §§ μθ', ργ'. Aptius passim forma δύο utitur. Tales varietates pronunciatio peperit et oscitantia scribentis. Incidi forte cum maxime in Variantes lectiones Callistratei Memnonis, olim a me excerptas e cod. 1038. In flectendo nomine Μέμνων librarius passim penultimam produxit, Μέμνωνος, Μέμνωνι, Μέμνωνα. Plurimi tamen poetarum loci syllabæ quantitatem brevem ostendebant. Sed nominato hac Callistrati Statua utilius quid annotare liceat : ἐκείνῳ δὲ τῷ Μέμνονος λίθῳ καὶ ἡδονὴν παρέδωκεν ἡ φύσις, καὶ πέτραν ἀνέμιξεν ἀλγεινῷ, καὶ μόνην ταύτην ἐπιστάμεθα τὴν τέχνην νοήματα λίθῳ καὶ φωνὴν ἐνθεῖσαν. Objiciunt rhetori viri dd., nec sine verborum asperitate, sententiis usum fuisse pugnantibus, qui naturæ miraculum tribuat, quod statim artis opus esse dicat. Sed mihi rhetor fuisse ingeniosior videtur, non absurdus. Pronomen ταύτην quid significare voluerit omnino aperit. *Ars illa unica* est omnino ipsa *natura*.

[5] A, παρέχοντα καὶ ἀροτριῶντα. Correxi ex § ργ'.

[6] Et hic παρέχουσαν scripsi pro παρέχοντα codicis. Formæ masculinæ nominum βοῦς χοῖρος errorem pepererunt.

[7] Exstat in uno A. Conf. § κγ'.

ρλα'. Σιδώνιος[1] σχολαστικὸς ἀπὸ πολλῶν μιλίων[2] χωρίον ἔχων, καὶ θέλων αὐτὸ ἐγγύτερον ποιῆσαι, ἑπτὰ κίονας μιλίων κατέστρεψε.

ρλϐ'. Σιδώνιος[3] πραγματευτὴς μετὰ ἑτέρου ὥδευε. Τῆς δὲ γαστρὸς ἀναγκαζούσης μικρὸν ἀπολειφθῆναι[4], προσαπέμεινεν. Ὁ δὲ συνοδοιπόρος ἀφῆκεν αὐτόν, γράψας ἔν τινι κίονι τῶν μιλίων· « Τάχυνον, φθάσον με[5] ». Ὁ δέ, ὡς ἀνέγνω, ἐπέγραψε κάτωθεν· « Καὶ αὐτὸς μεῖνόν με[6] ».

ρλγ'. Σιδωνίῳ[7] ἁλιεῖ λέγει τις· « Ἔχει τὸ κυρτίν[8] σου παγούρους ». Ὁ δὲ μανεὶς ἀπεκρίνατο· « Ἔχει τὸ στῆθός σου καρκίνους[9] ».

ρλδ'. Σιδώνιος[10] ἑκατόνταρχος τοῖς στρατιώταις ἔλεγε· « Σήμερον πολλὰ καθίσατε[11]· αὔριον γὰρ πολλὰ μέλλετε ὁδοιπορεῖν ».

ρλε'. Σιδωνίῳ[12] κηρουλαρίῳ λέγει τις· « Ἔχεις, κῦρι[13], ἀποκαύματα »; Ὁ δὲ ὀργισθεὶς ἀπεκρίνατο· « Ἔχεις, κῦρι, ἀνθρακώματα[14] »;

[1] Exstat in uno A. Conferatur historiola ξ'.

[2] A, μιλλίων.

[3] In M 97 ; 84 in P. Cf. § μϐ'. Abest a reliquis.

[4] M, ἀποληφθῆναι.

[5] M, πρόφθασόν με.

[6] M, μείνομεν.

[7] Exstat in uno A.

[8] Est κυρτίν pro κυρτίον. Sic decurtant nunc plerumque nomina neutra. Videbimus § σμδ' ψωμὶν pro ψωμίον, Lexicon botanicum recentius in meis An. Gr. t. II, p. 408, βοτάνιν, pro βοτάνιον exhibet. Μετάξην, imo μετάξιν reperi in hisce versiculis εἰς ἀπαίδευτον: Ἀδύνατον τὸ πρόβατον γιὰ νὰ γεννήσῃ (cod. γενήσῃ) σκύλον· Μηδέποτε κουφοξυλιὰ μπορεῖ νὰ κάμῃ μῆλον· Χοίρου μαλλὸν ἀδύνατον διὰ νὰ γενῇ μετάξιν· Μηδὲ χωριάτης ἄνθρωπος νἄχῃ τιμὴν καὶ τάξιν. Est κουφοξυλιά sambucus arbor. Pariter reperias in Andreopuli hominis recentioris Syntipa περιστέριν, τραπέζιν, χωράφιν. Vide Letronnium v. d. Ægypt. Inscr. t. II, p. 99.

[9] Πάγουρος cancer est parvus ac vilis, καρκῖνος alius cancer specie diversa. Sed est etiam καρκῖνος medicis carcinoma. Inde responsi acumen. « Rete quidem meum viles habet paguros; tuum autem pectus cancros etiam habet, carcinomata verius ». — Cf. § σλη'.

[10] Exstat in uno A. Conf. § πδ'.

[11] A, καθήσατε.

[12] Exstat in uno A.

[13] Κῦρις, κύρης, recentiores usurpant pro κύριος. Conf. §§ σλη', σλθ', σνα'.

[14] Sunt ἀποκαύματα cutis ex igne adustiones, « brûlures »; ἀνθρακώματα carbunculi, anthraces, ulceris genus, « charbons ». — « Exprobras mihi quod sit digitorum cutis igne leviter ustulata, quum tibi pestilentis horreat pectus carbunculis (fœdis scilicet vitiis) »! Hanc esse puto loci sententiam.

ρλϛʹ. Σιδώνιος[1] γραμματικὸς ἠρώτα τὸν διδάσκαλον· « Ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ. « Ὁ δὲ εἶπεν. « Οἶνον λέγεις ἢ ἔλαιον »;

ρλζʹ. Σιδωνίῳ[2] μαγείρῳ[3] λέγει τις· « Δάνεισόν μοι μάχαιραν ἕως Σμύρνης ». Ο δὲ ἔφη· « Οὐκ ἔχω μάχαιραν ἕως ἐκεῖ φθάζουσαν[4] ».

ρληʹ. Σιδώνιος[5] κεντουρίων ἰδὼν ζευγηλάτην διὰ τῆς ἀγορᾶς ἅμαξαν φέροντα[6] ἐκέλευσεν αὐτὸν τυφθῆναι. Τοῦ δὲ εἰπόντος ὅτι « Ῥωμαῖός εἰμι, καὶ οὐ θέμις τύπτεσθαί με διὰ τὸν νόμον », τοὺς βόας ἐκέλευσεν ὁ κεντουρίων μαστιγωθῆναι.

ρλθʹ. Σιδώνιος[7] ἰατρὸς λεγάτον ἀπὸ ἀῤῥώστου αὐτοῦ[8] χιλίας δραχμάς, μετὰ τὸ ἀποθανεῖν αὐτόν, κομισάμενος, ἐκφερομένου δὲ αὐτοῦ, τῇ κηδείᾳ[9] ἀκολουθῶν ἐνεκάλει[10] ὡς ὀλίγον αὐτῷ[11] λεγάτον κατέλιπεν. Ἐπεὶ οὖν καὶ ὁ υἱὸς τοῦ τελευτήσαντος, νόσῳ ἐμπαρείς[12], παρεκάλει αὐτὸν ἐπισκεπτόμενον ἀνταγωνίσασθαι τῇ νόσῳ, ὁ ἰατρὸς ἔφη· « Ἐὰν πεντακισχιλίας δραχμὰς εἰς λεγάτον καταλείψῃς, ἐγώ σε ἰατρεύσω, ὡς τὸν πατέρα σου[13] ».

ΕΥΤΡΑΠΕΛΟΙ[14].

ρμʹ. Εὐτράπελος[15], ἰδὼν γραμματοδιδάσκαλον ἀφυῆ διδάσκοντα, προςελθὼν ἠρώτα διὰ τί κιθαρίζειν οὐ διδάσκει. Τοῦ δὲ εἰπόντος ὅτι « Οὐκ ἐπίσταμαι », εἶπε· « Πῶς οὖν γράμματα διδάσκεις, μὴ ἐπιστάμενος[16] »;

[1] Exstat in uno A. Cf. § ϟεʹ.

[2] In M 98; 85 in P. Abest a reliquis. Cf. § ϟθʹ.

[3] M, Σιδονίῳ μάγειρος.

[4] AM, φθάζουσαν.

[5] Exstat in uno A.

[6] Est φέρειν pro ἄγειν. Nicephorus Greg. Hist. 6, 9, 4 : ἧκει φέρων ὁμήρους. Auctor Vitæ Nili Jun. p. 98 : ἔρχεταί τις φέρων.... μεθ' ἑαυτοῦ τὸν υἱὸν αὐτοῦ. Vide n. ad Andreopuli Syntipam, p. 181.

[7] In M 99; 86 in P. Abest a cæteris.

[8] M, ὑπό. Fortasse αὐτοῦ. Ἄῤῥωστος αὐτοῦ· sic vernacule « de son malade ». Pontanus : « a patiente suo, ut vocant ».

[9] M, κηδίᾳ.

[10] A sine ἐνεκάλει, quod obtulit M.

[11] M, αὐτό.

[12] M, εἰς νόσον ἐμπαρείς.

[13] M, καταλείψεις, ἐγώ σε ὡς τὸν π. σ. ἰατρ.

[14] M caret lemmate.

[15] In M 100; 87 in P. Abest a cæteris.

[16] M, οὐκ ἐπιστ. Diogenes Cynicus

ρμα'. Εὐτράπελος[1] κυβερνήτης ἐρωτηθεὶς τί φυσᾷ, εἶπεν· « Ἔτνος καὶ κρόμμυα.

ρμβ'. Εὐτράπελον[2] ὀφθαλμιῶντα ἰατρὸς κλέπτης δανείσας λύχνον ἔκλεψε. Μιᾷ οὖν τῶν ἡμερῶν[3] ἠρώτα αὐτόν· « Πῶς ἔχεις τοὺς ὀφθαλμούς »; Καὶ ὁ εὐτράπελος ἔφη· « ἀφ' οὗ μοι ἐδάνεισας τὸν λύχνον, οὐ βλέπω αὐτόν[4] ».

ρμγ'. Εὐτραπέλῳ[5] ἰατρῷ λέγει τις· « Ἐὰν κτήσῃ θερμὸν ἀγγεῖον, θερμόν σε οὐ λείψει ».

ρμδ'. Εὐτράπελος[6] ἀργὸν δρομέα ἰδών, εἶπεν· « Οἶδα τίνος χρήζει ὁ κύριός μου οὗτος ». Τοῦ δὲ ἀγωνοθέτου ἐρωτήσαντος « Τί ἐστίν »; εἶπεν· « Ἵππου χρήζει· ἄλλως γὰρ τοὺς ἀνταγωνιστὰς καταλαβεῖν οὐ δύναται ».

ρμε'. Εὐτράπελος[7] κάπηλος εὑρὼν ταξεώτην[8] ἐπὶ τῇ γυναικὶ αὐτοῦ, εἶπεν· « Ηὗρον ὃ οὐκ ἐζήτουν ».

hanc de se narrat historiolam epistola pseudonyma sexta earum quas edidi inter Notit. Mann. t. X, p. 243.

[1] Exstat in uno A. Conf. § ρκ'.

[2] Exstat in uno A.

[3] Formula est linguæ recentioris μιᾷ τῶν ἡμερῶν, præeunte Luca Evangelista, et cum præpositione ἐν μιᾷ τῶν ἡμερῶν, etiam ἐν μιᾷ brevissime. Joannes Monachus Vita Barlaami in Anecd. Gr. meis, t. IV, p. 31 : ἐν μιᾷ λέγει αὐτῷ ὁ υἱός. Ibi nota, coll. p. 474. Corayus, latens sub litteris Z. Λ., usus est accusativo, μίαν τῶν ἡμερῶν, μίαν τῶν νυκτῶν. Iskenderis Σαδίκῃ p. 38 : μίαν ἡμέραν ἠθέλησε κι' αὐτὸς νὰ προκαλέσῃ εἰς συμπόσιον κυράν τινα. Veteres quoque sic εἷς et « unus » posuerunt pro τὶς et « aliquis ». Exempla olim collecta a me sunt ad Philostrati Heroica, p. 434, quorum non sunt extra controversiam omnia. Adde Bernhard. ad Dionys. p. 899 ; Wagner. ad Messalam, p. 69 ; Avellinum ad Captivorum versum 3, 1, 22 : « Dico unum ridiculum dictum de dictis melioribus » ; qua Captivorum recensione docta et laboriosa prælusit vir eruditissimus tot egregiis libris, quibus antiquitatis studia illustravit ac promovit.

[4] Potest conferri Æsopia Fabula Anus et Medici.

[5] Abest ab M et P., et Edd. Est 60 in Apogr. Voss. et Rh., ubi : εὐτράπελός τις ἰατρῷ λέγει· Πολλοὺς ἄνθρακας ἔχω. Κἀκεῖνος ἔφη. Ἐὰν χαλκεῖον ἔχεις (leg. ἔχῃς), θερμὸν οὔποτε λείψει. Ex qua narratione potest intelligi quid fuerit omissum in codice A, sic ferme supplendo et corrigendo : εὐτραπέλῳ ἰατρῷ λέγει τις· « Πολλοὺς ἄνθρακας ἔχω ». Κἀκεῖνος ἔφη· ἐὰν κτήσῃ χαλκεῖον ἀγγεῖον, θερμόν σε οὐ λείψει ». Æger ἄνθρακας dicebat ulcera, carbunculos, ἀνθρακώματα § ρλε'; medicus facetior de carbonibus intelligebat.

[6] Exstat in uno A.

[7] Exstat in uno A.

[8] Socrates H. Eccl. 7, 14, monachos Ægyptios rebelles narrat, quum obser-

ρμϛ'. Εὐτράπελος[1] χοῖρον κλέψας[2] ἔφευγεν[3]. Ἐπεὶ δὲ κατελαμβάνετο, θεὶς αὐτὸν χαμαί, καὶ δέρων, ἔλεγεν[4]· « Ἐκεῖ ὄρυττε, καὶ μὴ παρὰ τὰ ἐμά[5] ».

ρμζ'. Εὐτράπελος[6], ἰδὼν κακόηχον καὶ κακόφωνον κιθαρῳδόν, ἠσπάσατο λέγων· « Χαῖρε, ἀλεκτρυών ». Τοῦ δὲ πυθομένου διὰ τί αὐτὸν οὕτω[7] προσηγόρευσεν, ἔφη· « Ὅτι, ὅταν σὺ κοκκύσῃς[8], πάντες ἐγείρονται[9] ».

ρμη'. Εὐτράπελος[10] φλυάρου κουρέως ἐρωτήσαντος, « Πῶς σε κείρω »; « Σιωπῶν » ἔφη[11].

ρμθ'. Εὐτράπελος[12], ἐν βαλανείῳ ὑπό τινος ὑβρισθείς, μάρτυρας προσέφερε τοὺς παραχύτας. Τοῦ δὲ ἀντιδίκου ἀποβαλλομέ-

vassent præfectum Orestem in vehiculo procedentem, circumstantes protervis proscidisse illum conviciis, et Ammonium quemdam cæteris audaciorem præfecti crimen purgantis caput lapide percussisse. Tum lapidationis metu, Socrates ait, ὑποχωροῦσιν οἱ ταξεῶται πλὴν ὀλίγων. Valesio interpreti latino ταξεῶται sunt « apparitores ». Potuit etiam hic loci saltem vocabulo « satellites, lictores » uti. Herodianus Epim. p. 210, nomina in ώτης recensens, ταξεώτης in ordinem recepit, sed interpretatione non addita. Ceterum non silent lexica.

[1] Abest ab M et P., et Edd. Est 64 in Apogr. Voss. et Rh.

[2] A, χεῖρον κλέψας. Voss. Rh., χοῖρον κλ.

[3] Voss. Rh., ἔφυγεν.

[4] Voss. Rh., θεὶς αὐτὸν ἔτυπτε, εἰπών.

[5] Voss. Rh., ἄλλων ὤρυγε καὶ μὴ τὰ ἐμά. Historiola est subobscurior, sic fere intelligenda. Fingit fur festivus se non furari, sed procul abducere porcum, qui morbo contagioso laboret, et humi depositum impacto fuste necabat, simulque dominum qui supervenerat rogabat, ut pestilens cadaver hoc ipso loco in terram defoderet, non ab ædibus prope suis.

[6] Est in M 101, 88 in P. Abest a cæteris.

[7] M, οὕτως.

[8] M, κοκίσῃς.

[9] Ἐγείρονται] surgunt ocyus scilicet, et citharœdum parietibus canentem relinquunt.

[10] Exstat in uno A.

[11] Id responsum Archelao regi tribuit Plutarchus De garr. 18 : χαριέντως ὁ βασιλεὺς Ἀρχέλαος, ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον, καὶ πυθομένου, Πῶς σε κείρω, βασιλεῦ; Σιωπῶν, ἔφη.

[12] Abest ab M, et P., et Edd. Est 67 in Apogr. Voss.; 65 in Rh. ubi : ὕβρεως ἐν βαλανείου (V. βαλανείῳ) γενομένης, εὐτράπελος ῥήτωρ κατηγόρει, καὶ μάρτυρας ἐκάλει τοὺς περιχύτας· τῶν δὲ ἀποβαλλομένων ὡς μὴ ὄντων (sic et Voss. Puto excidisse ἀξιοπίστων, et si Rhœrius μὴ ὄντων per se stare posse affirmet), ἔφη. Εἰ μὲν ἐν τῷ Δουρίῳ ἵππῳ ἦν, παρέσχον ἂν μάρτυρας Μενέλαον κ. Ὀδ. κ. Διομ., εἰ δὲ ἐν βαλανείῳ, ἀνάγκη τοὺς περιχύτας τὸ πρ. μ. εἰδ. Nomen παραχύτης codicis A præstat τῷ περιχ. Fuit jam παραχύτης § νη'.

νου ὡς μὴ ὄντας ἀξιοπίστους, ἔφη· « Εἰ μὲν ἐν[1] τῷ Δουρείῳ ἵππῳ ὑβρίσθην, προςήγαγον ἂν μάρτυρας τοὺς περὶ Μενέλαον καὶ Ὀδυσσέα καὶ Διομήδην· ἐν δὲ τῷ βαλανείῳ τῆς ὕβρεως γενομένης, ἀνάγκη τοὺς παραχύτας τὸ πραχθὲν μᾶλλον εἰδέναι ».

ρν′. Εὐτράπελος[2], δύο ξύστρων[3] παρ' αὐτοῦ ἐκ βαλανείου ἐπιζητουμένων, ὑφ' ἑνὸς μὲν ἀγνωρίστου, ὑπὸ δὲ ἑτέρου, γνωρίμου μέν, ἀλλὰ κλέπτου, ὁ εὐτράπελος ἔφη· « Σὲ μὲν γνωρίζω, οὐ δώσω· σὲ δὲ μὴ γνωρίζων, οὐ δώσω ».

ρνα′. Εὐτράπελος[4], ἰδὼν πορνοβοσκὸν μισθοῦντα μέλαιναν ἑταιρίδα, εἶπε· « Πόσου τὴν νύκτα μισθοῖς »;

ρνβ′. Εὐτράπελοι[5] δύο πατραλοῖαι πρὸς ἀλλήλους ἐδυσφόρουν πρὸς τὸ φονεῦσαι τοὺς ἑαυτῶν γονεῖς. Ὁ δὲ ἕτερος πρὸς τὸν ἄλλον ἔφη· « Ἵνα μὴ πατροκτόνοι παρά τισι λογισθῶμεν, σὺ φόνευσον τὸν ἐμὸν πατέρα, κἀγὼ τὸν σόν· καὶ κακῆς ἐκφύγωμεν φήμης[6] ».

ρνγ′. Εὐτράπελος[7] παλαίων εἰς πηλὰ[8] ἐνέπεσε, καί, ἵνα μὴ δοκῇ ἀπάλαιστος[9] εἶναι, περιστραφεὶς καὶ δι' ὅλου πηλωθεὶς ἀνέστη ἐναβρυνόμενος[10].

ΚΥΜΑΙΟΙ[11].

ρνδ′. Ἐν Κύμῃ[12] ἐπισήμου τινὸς κηδευομένου, προςελθών τις

[1] A sine ἐν.

[2] Exstat in uno A.

[3] Sic A, ξύστρων.

[4] Abest ab M et P., et Edd. Est 65 in Apogr. Voss. et Rh., cum varietate μέλανα ἑταιρίδια.

[5] Abest ab M et P., et Edd. Est 68 in Apogr. Voss. et Rh., ubi : δύο εὐτραπέλων πρὸς ἀλλήλους δυςφορούντων ἐπὶ τὸ φονεῦσαι τοὺς ἑαυτῶν γονεῖς, ἔφη εἷς πρὸς τὸν ἕτερον· Ἐὰν αὐτόχειροι (quod Rh. tuetur; Voss. bene αὐτοχείρως) τοῦτο πράξωμεν, πατραλοίους (imo πατραλοίας Voss. πατραλόνες) λογισθῆναι ἔχομεν· ἀλλὰ σὺ μᾶλλον διαχείρισον τὸν ἐμόν, κἀγὼ τὸν σόν, καὶ κακῆς φήμης ἐκφύγωμεν (Voss. ἐκφύγομεν).

[6] Scripsit in contextu Μηνᾶς, καὶ οὐ κακῆς φεύξομεν φήμης, opportune monens se οὐ addidisse non repertum, et φεύξομεν pro φύγομεν correxisse, tum alia subjungens quæ omitto. Sumpsi Rhœrianam lectionem. Conf. similis historiola § ιγ′.

[7] Est 102 in M. Abest a P. et reliquis.

[8] Plurale neutrum πηλά recentioribus est in usu. Corayus At. t. II, p. 359 : λέγουν οἱ στερημένοι ἀπὸ ἀνατροφήν, τὰ σκατὰ ἢ τὰ πηλά του τρώγει, ἤγουν ψεύδεται, φλυαρεῖ.

[9] M, δοκεῖ ἀπάλαιστον.

[10] M, ἐν ἀμβρυνόμενος. Cf. §§ νδ′, σν′.

[11] M sine lemmate.

[12] Exstat in uno A.

ἠρώτα τοὺς ὀψικεύοντας[1]· « Τίς ὁ τεθνηκώς »; Ὁ δὲ Κυμαῖος στραφεὶς ὑπεδείκνυε λέγων· « Ἐκεῖνος ὁ ἐπὶ τῆς κλίνης ἀνακείμενος[2].

ρνε'. Κυμαίῳ[3] ἵππον πιπράσκοντι προσελθών τις ἠρώτα εἰ πρωτοβόλος[4] ὁ ἵππος. Τοῦ δὲ εἰπόντος ὅτι δευτεροβολεῖ, ἔφη· « Πῶς οἶδας »; Ὁ δὲ εἶπεν· « Ὅτι ἅπαξ ἐμὲ κάτω ἔβαλε, καὶ ἅπαξ τὸν πατέρα μου ».

ρνϛ'. Κυμαῖος[5] οἰκίαν πωλῶν, λίθον ἐξ αὐτῆς ἐκβαλὼν εἰς δεῖγμα περιέφερε.

ρνζ'. Κυμαῖος[6] ἵππον πιπράσκων ἠρωτήθη μὴ δειλὸς εἴη. Ὁ δὲ ἀπεκρίνατο· « Οὐ μὰ τὴν σωτηρίαν μου[7]· ἐν τῇ φάτνῃ γὰρ μόνος εἱστία ».

ρνη'. Κυμαῖος[8] κλεψιμαῖα ἱμάτια ἀγοράσας, διὰ τὸ μὴ γνωσθῆναι, ἐπίσσωσεν αὐτά.

ρνθ'. Κυμαῖος[9] ἅλωνα μεγάλην ποιήσας, ἔστησεν ἄντικρυς[10] τὴν γυναῖκα αὐτοῦ, καὶ ἠρώτα εἰ βλέπει αὐτόν. Τῆς δὲ εἰπούσης ὅτι μόλις αὐτὸν βλέπει, ἔφη ἐκεῖνος· « Ἀλλ' ἐγὼ εἰς καιρὸν τηλικαύτην ποιήσω ἅλωνα, ὡς[11] μήτε ἐγὼ σέ, μήτε σὺ ἐμὲ ἴδῃς ».

ρξ'. Κυμαῖος[12] ἐπιζητῶν φίλον, ἐκάλει αὐτὸν πρὸ τῆς οἰκίας

[1] Ὀψικεύειν est « obsequi » in genere, ac peculiariter hic loci obsequium præstare mortui hominis memoriæ, « aller à ses *obsèques* ».

[2] Respondit Cumæus civis, opinatus videlicet a se postulari quis e præsentibus esset mortuus.

[3] Exstat in uno A.

[4] A, πρωτόβολος. Cf. § δ' et not. p. 264.

[5] Exstat in uno A. Cf. § μα'.

[6] Exstat in uno A. Ex simili historiola § ι' profecit Francogallus scriptor qui Edgeworthæ libro de Hibernis « bulls » appendicem contribuit, p. 196. Lectorem monet editor id appendicis deberi viro litterato, qui « is now father of the French academy ». Num pater conscriptus senatus academici, vel reverendus pater academici cœnobii?

[7] Vide p. 207, n. 7.

[8] Exstat in uno A. Cf. § λε'.

[9] Est 103 in M. Abest a P. et cæteris libris.

[10] M, ἄντικρυ.

[11] M, ποιήσας ἅλωνα, ἵνα.

[12] Est 104 in M, 89 in P. Abest a cæteris.

ὀνομαστί. Ἑτέρου δὲ εἰπόντος, « Ὑψηλότερον φώνησον, ἵνα ἀκούσῃ[1] », ἀφεὶς τὸ ὄνομα ὃ ᾔδει, ἐβόα· « Ὑψηλότερε[2] ».

ρξα'. Κυμαῖος[3] δανειστοῦ οἰκίᾳ ἐπιβουλεύων, καὶ θέλων τὰ μείζονα δάνεια κλέψαι, τὰ βαρύτερα χαρτία ἐπελέγετο.

ρξβ'. Κυμαίων[4] πόλιν τειχιζόντων, εἷς τῶν πολιτῶν, Λολλιανὸς[5] καλούμενος, δύο κορτίνας[6] ἰδίοις ἐτείχισεν ἀναλώμασι. Πολεμίων δὲ ἐπιστάντων, ὀργισθέντες οἱ Κυμαῖοι συνεφώνησαν ἵνα τὸ Λολλιανοῦ τεῖχος μηδεὶς φυλάξῃ[7], ἀλλ' ἐκεῖνος μόνος.

ργγ'. Κυμαῖοι[8] προσδοκῶντες ἐξ ἀποδημίας φίλον αὐτῶν ἀξιότιμον, καὶ βουλόμενοι αὐτὸν ἐν τῷ βαλανείῳ διὰ καθαροῦ ὕδατος τιμῆσαι, μίαν ἔχοντες κολυμβήθραν, ταύτην ὕδατος θερμοῦ καθαροῦ πλήσαντες, ἐν μέσῳ αὐτῆς κάγκελλον τρητὸν[9] ἔβαλον, ὅπως τὸ ἥμισυ τοῦ ὕδατος καθαρὸν τῷ προσδοκωμένῳ τηρῆται φίλῳ.

ρξδ'. Κυμαῖος[10] ἐν τῷ κολυμβᾷν βροχῆς γενομένης, διὰ τὸ μὴ βραχῆναι, εἰς τὸ βάθος κατέδυ[11].

ρξε'. Κυμαῖος[12], θυρίδας ἀγοράζων, ἠρώτα, εἰ δύνανται[13] πρὸς μεσημβρίαν βλέπειν.

ρξς'. Κυμαῖος[14] ὄνῳ παρακαθήμενος[15] παρὰ κῆπον ὥδευεν. Ἰδὼν

[1] M, ἀκούσει.
[2] M, ὑψηλότερον. « Ὑψηλότερον accepit ut nomen proprium accusandi casu, quasi moneretur ut Ὑψηλότερον nominaret, quem vocabat et quidem vero ac proprio nomine ». Pont.
[3] Est 105 in M, 90 in P. Abest a cæteris.
[4] Est 106 in M, 91 in P. Abest a cæteris.
[5] M, Λολιανός, et mox Λολλιανοῦ.
[6] Κορτίνας, vernacule « courtines ».
[7] M, φυλάξει.
[8] Exstat in uno A.
[9] Correxit Μηνᾶς τρητόν pro scripto τρίτον.
[10] Est 107 in M, 92 in P. Abest a cæteris.
[11] M, κατέβη. Conferenda similis in Grosii « Olio » narratiuncula : « An Irishman angling in the rain, was observed to keep his line under the arch of a bridge. Upon being asked the reason, he gave the following answer : By Jasus! all the fishes will be after crouding there, in order to keep out of the wet ».
[12] Est 108 in M, 93 in P. Abest a cæteris.
[13] M, δύνωνται.
[14] Est 109 in M, 94 in P. Abest a cæteris.
[15] A, καθήμενος.

οὖν κλάδον συκῆς ἐπέχοντα[1] σύκων ὡρίμων[2] πεπληρωμένον, ἐπελάβετο τοῦ κλάδου. Τοῦ δὲ ὄνου ὑπεκδραμόντος ἀπεκρεμάσθη. Καὶ τοῦ κηπουροῦ[3] ἐρωτήσαντος τί ἐκεῖ ποιοῖ[4] κρεμάμενος, ἔλεγεν· « Ἐκ τοῦ ὄνου πέπτωκα[5] ».

ρξζ'. Κυμαῖος[6] ἰδὼν πρόβατον συμπεποδισμένον, καὶ οὕτω κειρόμενον[7], εἶπεν· « Εὐχαριστῶ τῷ κυρίῳ μου, ὅτι οὐδέ ποτέ με δήσας ἔκειρε ».

ρξη'. Κυμαῖος[8], τοῦ πατρὸς αὐτοῦ ἀποδημήσαντος, εἰς βαρὺ ἔγκλημα πεσών, θανάτῳ κατεδικάσθη. Ἀπιὼν δὲ παρεκάλει πάντας ἵνα ὁ πατὴρ μὴ γνῷ, ἐπεὶ μέλλοι αὐτῷ θανασίμους πληγὰς ἐπιφέρειν.

ρξθ'. Ὁ αὐτός[9], τινὸς εἰπόντος ὅτι « Ἐσύλησάς με », « Μὴ ὑποστρέψω[10] ἔνθεν ἄπειμι, εἰ ἐσύλησα ».

ρο'. Κυμαίου[11] τις ἐπύθετο ποῦ μένοι[12] Δρακοντίδης ὁ ῥήτωρ. « Μόνος εἰμί », εἶπεν· « Εἰ δὲ θέλεις, τήρει[13] τὸ ἐργαστήριον, κἀγὼ ἀπελθὼν δείξω σοι ».

ροα'. Κυμαῖος[14] ἐν Ἀλεξανδρείᾳ, τοῦ πατρὸς αὐτοῦ ἀποθανόντος, τὸ σῶμα τοῖς ταριχευταῖς δέδωκε. Μετὰ δὲ χρόνον ἐζήτει αὐτὸ ἀπολαβεῖν. Τοῦ δὲ ἔχοντος[15] καὶ ἄλλα σώματα, καὶ ἐρωτῶντος τί σημεῖον ἔχοι ἡ τοῦ πατρὸς αὐτοῦ θήκη, ἀπεκρίθη· « Ἔβισσεν[16] ».

ροβ'. Κυμαῖος[17] πύκτην ἰδὼν πολλὰ τραύματα ἔχοντα, ἠρώτα

[1] M, ἐπέχοντα. A, ὑπέχοντα.
[2] M, ὀρίμων.
[3] M, κηπωροῦ.
[4] M, τί ἐκ σοῦ ποιεῖ.
[5] M, ἔπεσα. Qui aoristus nunc suam habet sedem in flexione verbi πίπτω.
[6] Est 110 in M, 95 in P. Abest a cæteris.
[7] M, κηρόμενον, et infra ἔκηρε.
[8] Exstat in uno A.
[9] Exstat in uno A.
[10] Excidisse videtur ἔφη, vel εἶπεν.
[11] Est 111 in M, 96 in P. Abest a cæt.
[12] M, Κυμαῖός τις ἐπ. ποῦ μένει. A, μένοι.
[13] M, τήρῃ.
[14] Exstat in uno A.
[15] Fortasse, τοῦ δὲ ταριχευτοῦ ἔχοντος.
[16] Sic A, ἔβισσεν, idque rubricatis litteris, quibus sæpius Μηνᾶν usum fuisse animadverti in vocabulis quæ sunt, vel ipsi videbantur, suspecta.
[17] Est 112 in M, 97 in P. Abest a cæteris.

πόθεν ἔχοι ταῦτα. Τοῦ δὲ εἰπόντος « Ἐκ τοῦ μύρμηκος[1] », ἔφη· « Διὰ τί γὰρ χαμαὶ κοιμᾷ[2] »;

ρογ'. Κυμαῖος[3] μέλι ἐπίπρασκεν. Ἐλθόντος δέ τινος καὶ γευσαμένου[4], καὶ εἰπόντος ὅτι « Πάνυ καλόν », ἔφη· « Εἰ μὴ[5] γὰρ μῦς ἐνέπεσεν εἰς αὐτό, οὐκ ἂν ἐπώλουν ».

ροδ'. Κυμαῖον[6] νοσοῦντα ἀπέλπισεν ὁ ἰατρός[7]. Ὁ δὲ ὑγιάνας περιέκαμπτε τὸν ἰατρόν. Ἐρωτηθεὶς οὖν τὴν αἰτίαν, ἀπεκρίνατο· « Εἰπόντος σοῦ, ἀποθνήσκω· αἰσχύνομαι δὲ ζήσας[8] ».

ροε'. Κυμαῖος[9] ἰατρὸς ἄῤῥωστον τριταΐζοντα εἰς ἡμιτριταῖον περιστήσας, τὸ ἥμισυ τοῦ μισθοῦ ἀπῄτει[10].

ρος'. Κυμαῖος[11] ἰατρὸς ἀπεγνωσμένον[12] ἄῤῥωστον ἐνημάτισεν[13], ἐκέλευσε δὲ τὰ ἐκκεχωρημένα ἰδεῖν[14]. Τοῦ δὲ δείξαντος, καὶ

[1] Pontanus : « A Myrmece » ; et addit : « μύρμηξ etiam formica est. Jocus in ambiguo insecti et gladiatoris ». Potuit et μύρμηξ intelligi de cæstu. Cf. § σι'.

[2] Κοιμᾷ] vide p. 268, n. 4.

[3] Est 113 in M, 98 in P. Abest a cæteris.

[4] M, γευσάμενος.

[5] M sine μή.

[6] Est 114 in M, 99 in P. Abest a cæteris.

[7] M, κυμαῖον ἀπήντισεν ὁ ἰατρὸς νοσοῦντα. Pontanus « visebat », corrigens ἀπήντησεν. Ex M sumsi ὁ.

[8] Conf. § ς'. Similis pudor hominis ecclesiastici de quo hæc est in Menagianis narratio, t. IV, 13 : « Un chanoine d'Angers fut si malade que l'évêque avoit déjà disposé de son canonicat. Étant revenu de sa maladie, il fut longtemps sans voir son évêque. Ses amis lui en demandèrent la raison. Il dit : c'est que je crois que notre prélat est fâché de ce que je ne suis pas mort l'année passée. »

[9] Exstat in uno A.

[10] Quum sit febris semitertiana multo tertiana perniciosior, non debebat medicus mercedem poscere; sed, ob nomen cum ἡμι compositum, putabat, qui Cumæus erat, sibi deberi ἡμιίατρα. Pari fere modo circa numerorum rationem errabat Hibernus quidam « apud Grosium « Olio » p. 195 : « speaking of the rapacity of the clergy in exacting their tythes, he said : By Jasus! let a farmer be ever so poor, they won't fail to make him pay their full tenths, whether he can or not; nay, they would find it in their hearts, instead of the thenth, to take the twentieth, if the law would permit them ».

[11] Exstat in uno A.

[12] Ἀπεγνωσμένον] Pachymeres Andron. 5, 10 : τοῖς γὰρ ἰατροῖς ἀπέγνωστο. Noster § σμη' : μισογύναιος νοσήσας ἐν ἀπογνώσει.

[13] A, ἐνευμάτισεν. Μηνᾶς correctionem fecit ἐνεμμάτισεν. Scripi ἐνημάτισεν cum augmento.

[14] Videtur nonnihil excidisse. Fortasse : ἐκέλευσε δὲ τὰ ἐκκεχωμένα προςκομίζεσθαι· βούλεσθαι γὰρ ἰδεῖν.

εἰπόντος ὅτι ἀπέθανεν, ὁ ἰατρὸς μεθ' ὅρκου ἀπεκρίνατο οὕτως· « Εἰ μὴ ἐκλύσθη, ἐλάκησεν ἄν ».

ροζ'. Κυμαῖος[1] ἰατρὸς τέμνων τινὰ δεινῶς ἀλγοῦντα καὶ βοῶντα, ἀμβλυτέραν σμίλην μετέλαβε.

ροη'. Κυμαῖοι[2] δύο ἰσχάδων κεράμια δύο ἐπρίαντο. Τούτων δὲ ὁ ἕτερος, τὸν ἕτερον λανθάνων, οὐκ ἐκ τοῦ ἰδίου, ἀλλ' ἐκ τοῦ ἑτέρου κατήσθιεν[3]. Ὡς δὲ τοῖς ἀλλήλων κατεχρήσαντο, ἕκαστος, ἐπὶ τὸ ἴδιον ἐπιστρέψας, εὗρεν αὐτὸ κενόν. Ἀλλήλων οὖν ἐπιλαβόμενοι ἤγοντο ἐπὶ τὸν ἄρχοντα. Διαγνοὺς δὲ ὁ ἄρχων, ἐκέλευσε τὰ κενώματα ἀλλάξαι, καὶ τὰς τιμὰς ἀλλήλοις ἀποδοῦναι.

ροθ'. Ἐν Κύμῃ[4] δημαγωγὸς ἐν ἐκκλησίᾳ κατηγορηθείς, « Ἄνδρες » ἔφη, « πολῖται, οἱ μὲν κατεψευσμένοι μου τὰς διαβολάς εἰσιν οὗτοι· γένοιτο αὐτοῖς παρ' ὑμῖν καταγνωσθῆναι· εἰ δέ τι ἐγὼ τούτοις πεποίηκα, πάντων ὑμῶν καθημένων, ἐμοὶ μόνῳ τὸ θέατρον ἐπιπέσοι ».

ρπ'. Κυμαῖος[5] ἄρχων τοιαῦτα κηρύγματα ἐκήρυξεν· « Οἱ ἔφοροι μετὰ τὴν θυσίαν παραχρῆμα τὰς ἑαυτῶν βύρσας ἀναφερέτωσαν πρὸς τὸν ἱερέα. Οἱ δὲ βουλευταί, εἰσέλθετε[6] εἰς τὸ βουλευτήριον καὶ μὴ βουλεύεσθε. Οἱ δὲ μάγειροι τὰ ἴδια ὀστέα ὑπὲρ τὸ τεῖχος βαλέτωσαν. Οἱ δὲ σκυτεῖς μικροὺς καλάποδας[7] μὴ ἐχέτωσαν ».

ρπα'. Κυμαῖοι[8] εἰς ψηφοφορίαν ἀπαντήσαντες, καὶ γνόντες πολλοὺς ἐκ τῶν ἄλλων πόλεων ἀπολειφθέντας, αἰτιώμενοι τὴν ἄτραπον, « Μὴ μωροί », ἔφη « ἐὰν καὶ ἡμεῖς εἰς τὸ μέλλον οὐκ ἐρχώμεθα[9] »;

[1] Exstat in uno A.
[2] Exstat in uno A.
[3] A, κατέσθιεν.
[4] Exstat in uno A.
[5] Exstat in uno A.
[6] A, εἴθετε. Visum est corrigere εἰσέλθετε.
[7] Καλάποδας] Corayus At. 1, p. 117: καλάπους ἢ καλόπους, ἀπὸ τὸ κᾶλον, τὸ ξύλον, καὶ πούς, ἤγουν ξύλινον ποδάριον, τὸ ὁποῖον μεταχειρίζονται οἱ ὑποδηματουργοὶ ἢ σκυτοτόμοι· κτλ. quæ digrediendo lectu fecit dignissima vir egregius.
[8] Exstat in uno A.
[9] Feci interrogationem, eo sensu: « an erimus fatui, si et nos in posterum non venimus »? — A, ἐρχόμεθα.

ρπϐʹ. Κυμαῖος[1] τετρωμένην κεφαλὴν τέμνων, ὕπτιον θεὶς τὸν πάσχοντα, ὕδωρ εἰς τὸ στόμα ἐνέϐαλεν, ἵνα ἴδῃ διὰ τοῦ χειρουργήματος τὸ πότ' ἐκρεύσει[2].

ΔΥΣΚΟΛΟΙ[3].

ρπγʹ. Δυσκόλῳ[4] ἰατρῷ προσελθών τις εἶπε· « Σοφιστά[5], ἀνακεῖσθαι οὐ δύναμαι, οὔτε ἑστάναι, ἀλλ' οὐδὲ καθῆσθαι[6] ». Καὶ ὁ ἰατρὸς εἶπεν· « Οὐδέν σοι λείπει ἢ κρεμασθῆναι[7] ».

ρπδʹ. Δυσκόλῳ[8] ἰατρῷ τις λέγει· « Τί ποιήσω, ὅτι αἷμα κάθημαι[9] καὶ χολάς »; Κἀκεῖνος πρὸς αὐτὸν εἶπεν· « Ἐὰν καὶ τὰ ἔντερά σου ἐκϐάλῃς, ἐγὼ οὐ χολῶ[10] ».

ρπεʹ. Δύσκολος[11] ἰατρὸς ἑτερόφθαλμος ἠρώτα νοσοῦντα· « Πῶς ἔχεις »; Εἶπεν· « Ὡς βλέπεις ». Ὁ δὲ ἰατρὸς ἔφη· « Ἐὰν ὡς ἐγὼ βλέπω ἔχῃς, τὸ ἥμισύ σου ἀπέθανε ».

ρπϛʹ. Πρὸς[12] δύσκολον ἰατρὸς προσελθών, καὶ ἀψάμενος αὐτοῦ, εἶπε· « Κακὰ πυρέττεις[13] ». Ὁ δὲ ἀποκριθεὶς ἔφη[14]· « Εἰ δύνασαι[15] κρείττω πυρέττειν, ἰδοὺ κλίνη ἀναπεσών[16], πύρεττε ».

[1] Exstat in uno A.

[2] Sic codex.

[3] Lemma in M: περὶ δυσκόλων.

[4] Est 115 in M, in P. 100. Deest reliquis.

[5] Σοφιστά] illo nomine compellatur medicus p. 264, n. 5.

[6] A, οὐδὲ ἑστ.... καθεῖσθαι. M, οὔτε ἑ.... καθεῖσθαι. Recepi οὔτε.

[7] Pontanus, latina sua conversione male contentus, « Græce melius » inquit, et Græca apponit: οὐ κεῖσθαι δύναμαι, οὔτε ἑστάναι, ἀλλ' οὐδὲ καθῆσθαι· καὶ ὁ ἰατρός· οὐδέν σοι λοιπὸν ἢ κρεμασθῆναι. Quæ inaccuratissime descripsit. Nam M cum A omnino consentit nisi in οὔτε pro οὐδέ, ut monui.

[8] Abest ab M et P., et Edd. Est 38 in Apogr. Voss. et Rh. ubi: δυσκ. ἰ. λέγει τις· τί ἐστιν ὅτι αἷμα χέζω καὶ χολάς; Κἀκ. ἔφη· Ἐὰν κ. τ. ἔ. σου χέζῃς, ἐγὼ οὐ χολῶ.

[9] Κάθημαι, scilicet εἰς τὰς χρείας. Sed æger sic loquitur brevius. Fortasse scripsit narrator: ὅτι αἷμα ἐκϐάλλω, ὅτε κάθημαι. Probabile est verbum ἐκϐάλλω, quum respondens medicus dicat ἐκϐάλῃς. Sic in recensione Rhœriana, χέζω.... χέζῃς.

[10] Οὐ χολῶ] Rhœrius: « non irascor ». Ut lusus servetur, malim: « bilem non moveor ».

[11] Est 116 in M, 101 in P. Deest cæt.

[12] Est 117 in M, 102 in P. Deest reliquis.

[13] Gallice: « vous avez là une mauvaise fièvre ».

[14] M, εἶπεν.

[15] M, δύνασαι σύ.

[16] M, κλίνῃ ἀν. Pont., « en lectulus ».

ρπζ′. Δύσκολος[1] ἀστρολόγος παιδὸς νοσεροῦ γένεσιν[2] λέγων, πολυχρόνιον αὐτὸν[3] τῇ μητρὶ ὡς ἐπαγγειλάμενος, ᾔτει τὸν μισθόν. Τῆς δὲ εἰπούσης, « Ἐλθόντι σοι αὔριον δώσω », ἔφη· « Τί οὖν; ἐὰν τὴν νύκτα ἀποθάνῃ, καὶ ἐγὼ τὸν μισθὸν ἀπολῶ[4] »;

ρπη′. Δυσκόλου[5] κεράμιον μέλιτος ἀγοράσαντος, καὶ ὑπό τινος ἐρωτηθέντος πόσου ἀγοράσειε[6], καταστρέφων τὸ κεράμιον, ἔλεγεν· « Οὕτω μου ἐκχυθείη[7] τὸ αἷμα, ἐὰν εἴπω ὑμῖν ».

ρπθ′. Πρὸς[8] δύσκολον ἄῤῥωστον ἰατρὸς προσελθὼν προσέταξε ψιχία[9] μετὰ στρουθίου φαγεῖν. Καὶ ὁ δύσκολος εἶπε· « Πῶς δύναμαι εἰς τὸ κλουβίον[10] εἰσελθεῖν, ἵνα φάγω μετὰ τοῦ στρουθίου[11] τὰ ψιχίδια »;

[1] Abest ab M et P, et Edd. Est 39 in Apogr. Voss. et Rh., ubi : *δύσκ. ἀστρονόμος π. νοσηροῦ γένεσιν* (Voss. *γέννησιν*) *εἰπὼν πολ. ἔσεσθαι ἐπαγγελλόμενος* (Voss. *ἐπαγγειλόμενος*· voluit dare *ἐπαγγειλάμενος*, quod conjicit Anonymus Rhœrii), *ᾔτει τ. μ. τῆς δὲ μητέρος* (Voss. *μητέρος*. Sed male lectam fuisse puto vocem compendiose scriptam. Leg. *μητρός*. In Epistola Myiæ Pythagoricæ : *γενομένᾳ τοι ματρὶ παίδων τάδε παραινέω*. Inveni *ματέρι* in codice, quod negligendum. Philo De col. par. § 6 : *μόνῳ πατέρι ἢ μόνῃ μητέρι*. Compendia in causa fuisse videntur cur male vocabula legerentur, quæ ipse Philo pronuntiabat *πατρί* et *μητρί*) *εἰπούσης, Αὔριον δώσω, Τί οὖν; ἔφη· ἐὰν τῇ νυκτὶ ἀποθ., ἐγὼ τ. μ. ἀπολέσω;*

[2] A, *γέννησιν*. Prætuli *γένεσιν* ex Rh. Iterum *γέννησιν* § *σϐ′*.

[3] A, *αὐτό*. Scripsi *αὐτόν*.

[4] A, *ἀπόλλω*; Facilis fuit mutatio *ἀπολῶ*. Malim tamen *ἀπολέσω* ex Rh.

[5] Est 118 in M, 103 in P. Abest ab Edd. Est 40 in Apogr. Voss. et Rh., ubi : *δύσκολος μέλιτος κεράμιον ἀγοράσας συνεχῶς ἐρωτᾶτο* (sic et Voss. pro *ἠρ.*) *πόσου ἠγόρασε. Κατ. οὖν τὸ κερ. ἔφη· Οὕτως χυθήτω μου τὸ αἷμα, ἐὰν εἴπω ἡμῖν* (Voss. bene *ὑμῖν*).

[6] M, *ἠγόρασεν*.

[7] M, *ἐκχυθῇ*.

[8] Est 119 in M, 104 in P. Deest reliquis.

[9] M, *ψυχία*, et inferius *ψυχίδια*.

[10] M, *εἰς κλουϐίον*. Herodianus Epim. p. 72 : *κλωϐὸς καὶ κλωϐίον*. Ibi mea nota. Corayus ad Æsop. p. 440 : *κλωϐὸς ὀρνίθων οἴκημα δρυφάκτοις περιεχόμενον· ὅθεν τὸ ἐν συνηθείᾳ κλωϐίον καὶ κλουϐίον* Corayus, non jam scholiastes, sed auctor ipse, At. 2, p. *ξγ′* : *τὰ πτερωτὰ ταῦτα λόγια, εὐθὺς ἀποῦ πετάξωσιν ἀπὸ τὸ στόμα, ὡς τὰ ἀπολυόμενα ἀπὸ κλωϐίον πωλία, δὲν εἶναι πλέον εἰς τὴν ἐξουσίαν μας νὰ τὰ ἐπαναλάϐωμεν*. Adde Knoch. ad Babr. p. 122.

[11] Intelligebat medicus herbam *στρουθίον*, de qua Dioscorides, 2, 193. Num recentiorum saponaria? Adde Corayum Atactis, 4, 505. Æger autem de ave passere edenda sibi præcipi opinabatur.

ρϟ′. Δυσκόλου[1] ταβλίζοντος[2], κατεπέτασσέ τις[3] ἀργὸς καθήμενος. Ὁ δὲ θυμούμενος ἠρώτησεν αὐτόν· « Ποίας τέχνης[4]; καὶ διὰ τί ἀργεῖς »; Ἐκείνου δὲ εἰπόντος ὅτι, « Ῥάπτης μέν εἰμι, ἔργον δὲ οὐκ ἔχω », διαῤῥήξας τὸν ἑαυτοῦ χιτῶνα, καὶ ἐπιδούς, εἶπε· « Λαβὼν ἐργάζου, καὶ σιώπα ».

ρϟα′. Δύσκολόν[5] τις ἠρώτα· « Ποῦ μένεις »; Ὁ δὲ εἶπεν· « Ἐκεῖθεν μεταβαίνω ».

ρϟβ′. Δυσκόλῳ[6] τις ναυκλήρῳ ἀπαντήσας εἶπε· « Τὸ ἐπίπλουν[7] σου εἶδον ἐν Ῥόδῳ ». Κἀκεῖνος ἀπεκρίνατο· « Κἀγώ σου εἶδον τὸ ἧπαρ[8] ἐν Σικελίᾳ ».

ρϟγ′. Δύσκολόν[9] τις ἐζήτει. Ὁ δὲ ἀπεκρίνατο· « Οὐκ εἰμὶ ὧδε ». Τοῦ δὲ γελάσαντος, καὶ εἰπόντος « Ψεύδῃ[10]· τῆς γὰρ φωνῆς σου ἀκούω »· εἶπεν· « Ὦ κάθαρμα, εἰ μὲν ὁ δοῦλός μου

[1] Abest ab M et P., et Edd. Est 41 in Apogr. Voss. et Rh., ubi : δυσκ. τραυλίζοντος (Rh. « balbutiente ». Voss. ταυλίζ.) κατεπήδησέ τις· ὁ δὲ θυμωθεὶς ἠρώτησεν εἰ τέχνην οἶδε καὶ διὰ τί ἄργει (Voss. ἀργεῖ)· τοῦ δὲ φήσαντος, Ῥάπτειν οἶδα, ἔργον δὲ οὐκ ἔχω, διαῤῥήξας τὸ ἱμάτιον αὐτοῦ (imo αὑτοῦ) εἶπεν· Λάβε καὶ ἐργάζου, καὶ σιωπᾷ (Voss. σιωπᾶ. Anon. σιώπα. Rhœrius male scripsit, bene vertit « sile »).

[2] A, ταυλίζοντος. Scripsi ταβλίζοντος, eodem sono et littera legitima, cum derivetur verbum a τάβλα, quod est Latinum « tabula ». Ταβλίζειν hic loci significat « ludere tabulis ». Vide Jacobs. ad Palladam Epigr. 53, in Analectis, t. X, p. 230.

[3] Jubebat importunus ludentis spectator hunc vel illum movere calculum.

[4] Nihil deesse videtur.

[5] Exstat tantum in Apogr. Voss. et Rh. ubi est 43, cum hacce varietate : ὁ δὲ ἔφη· κἀκεῖθεν. Respondet quasi interrogatus de loco unde veniret.

[6] Exstat in uno A.

[7] Melius scriberetur τὸν ἐπίπλουν, quum τὸ ἐπίπλουν « omentum » dicatur et masculino genere. Jam lusus inter τὸν ἐπίπλουν, maritimum iter, et τὸν ἐπίπλουν, omentum, magis esset αἰνιγματώδης.

[8] Agrœtas apud Schol. Apoll. Rh. 2, 1249, poetas ait οὖθαρ καὶ ἧπαρ καλεῖν χωρίον εὔκαρπον. Quod si facetus ille homo agrum possederit in Sicilia, de quo fuerat lector monendus, erit naucleri lusus circa ἧπαρ jecur, et ἧπαρ ager fertilis. Sed nauclerus non legebat poetas.

[9] Est 120 in M, 105 in P. Abest ab Edd. Est 42 in Apogr. Voss. et Rh., ubi : δυσκόλῳ τις ἐφώνει· ὁ δὲ ἀπ. Οὐκ εἰμί (Voss οὐκ εἰμί, τῶ sic, τῶ subtus notato punctis)· τοῦ δὲ εἰπόντος ὅτι ψεῦδος· τῆς φωνῆς σου γὰρ ἀκούω, εἶπεν· Ὦ καθ., εἰ μὲν ὁ παῖς μου εἶπεν, ἐπείσθης ἄν· ἐγὼ δὲ οὐ φαίνομαί σοι ἀξιόπιστος εἶναι.

[10] M, ψεύδει. Conf. § ρϛ′.

εἶπεν, εἶχες ἂν αὐτῷ πιστεῦσαι· ἐγὼ δέ σοι[1] οὐ φαίνομαι ἀξιοπιστότερος ἐκείνου[2] »;

ρϞδ'. Δύσκολος[3] καταϐαίνων σκάλαν[4], σφαλεὶς κατέπεσε. Τοῦ δὲ οἰκοκυροῦ εἰπόντος[5]. « Τίς ἔνι ἐκεῖ »; « Ἐγὼ τοῦ ἐνοικίου μου ἐλάκησα[6]· τί πρὸς σέ »;

ρϞε'. Δυσκόλῳ[7] τις συγκλητικῷ ἔλεγε· « Μικρόν σε ποθῶ ἰδεῖν καὶ συντυχεῖν ». Ὁ δὲ ἀπεκρίνατο· « Κἀγώ σε ἰδεῖν θέλω τυφλὸν καὶ χωλόν[8] ».

ΑΦΥΕΙΣ[9].

ρϞϛ'. Ἀφυὴς[10] γραμματικὸς ἐρωτηθείς· « Πῶς δεῖ λέγειν; τοῖς δύο ἢ τοῖς δυσίν »; ὁ δὲ τὴν χεῖρα προτείνας, τοὺς δύο ὑπεδείκνυε δακτύλους[11].

ρϞζ'. Ἀφυὴς[12] γραμματικὸς ἐρωτηθείς· « Ἡ μήτηρ Πριάμου τίς ἐκαλεῖτο[13] »; ἀπορῶν ἔφη· « Ἡμεῖς κατὰ τιμὴν κυρίαν αὐτὴν καλοῦμεν ».

[1] A, σου.

[2] M, ἐκείνου εἶναι. « Videtur hujus facetiæ occasio fere desumta ex eo quod refert Cicero de Scipione Nasica et Ennio, l. 2, De orat. 68 ». ANON. Rhœrii.

[3] Abest ab Edd. Est 44 in Apogr. Voss., et Rh., ubi : δύσκολός τις ἀπὸ σκάλας κατέπεσε· τοῦ δὲ αὐθέντου εἰπόντος· Ἐκεῖ τις ἔπεσε· (Voss. ἔπεσε; et Rh. vertit : « cecidit »?) ἔφη· Ἐγὼ τοῦ ἐνοικου μένω (Voss. ευοιχιουμενου), τί πρός σε;

[4] Σκάλα Latinum est « scala ». Corayus Ἀτ. 4, p. 505 : νομίζεται κοινῶς ἡ λέξις Ῥωμαϊκὴ scala· εὑρίσκεται ὅμως τόσον συχνὰ εἰς τοὺς Ἕλληνας λεξικογράφους, ὥστε δικαιότερον ἤθελε κριθῆν ἑλληνική.

[5] A, εἰπόντος οἰκοκυροῦ. Transposui vocabula. Est οἰκοκυρός nomen recentius. Invenitur et οἰκοκύριος in Monum. Cotel. t. I, p. 147, 7. Multo melius est nomen οἰκοδεσπότης, quo utitur auctor §§ λγ', σ', σιε'.

[6] Exhibui scripturam codicis. Rhœrius ad recensionem suam apposuit Anonymi conjecturam, ἐν τῷ οἴκῳ μένω; proponit etiam, σοῦ ἐν οἴκῳ, vel σοῦ ἔννοικος· scribere debuit saltem ἔνοικος, quod nomen exstat § σιε'.

[7] Est 121 in M. Abest a P., et cæt.

[8] Morosus senator μικρόν intellexerat de « parvo », quum alter adverbialiter pro « parum » usurpasset.

[9] Lemma in M : περὶ ἀφυῶν.

[10] Exstat in uno A.

[11] Monstrabat digitos duos, quæstioni ipsi nil respondens.

[12] Est 122 in M, 106 in P. Abest a cæteris.

[13] Circa tales quæstiones nimii sæpe fuerunt grammatici veteres nonnulli, in his Didymus, de futilissimis quærentes, « quæ erant dediscenda, si scires »,

ρζη'. Ἀφυὴς[1] κουρεὺς τοῖς ὑπ' αὐτοῦ πληττομένοις ἔμπλαστρα προςετίθει[2]. Ἑνὸς δὲ αἰτιασαμένου αὐτόν, ἔφη· « Ἀχάριστε, μάτην ἀγανακτεῖς· ἑνὸς γὰρ δηναρίου ξυράμενος[3] τεσσάρων δηναρίων ἔμπλαστρα ἔλαβες[4] ».

ρζθ'. Ἀφυὴς[5] μαθητὴς κακῶς τινὰ κείρας, καὶ παρωνυχίδας ποιήσας[6] καὶ διὰ τοῦτο ὑπὸ τοῦ ἐξονυχιζομένου ἀπωσθείς, ἀνεβόησεν· « Ἐπιστάτα, τί οὐκ ἀφίης με μαθεῖν »;

σ'. Ἀφυὴς[7] μαθητὴς ὑπὸ τοῦ ἐπιστάτου κελευσθεὶς ὀνυχίσαι οἰκοδεσπότην, ἐδάκρυσε. Τοῦ δὲ αἰτίαν ἐρωτήσαντος, ἔφη· « Φοβοῦμαι καὶ κλαίω· μέλλω γὰρ τραυματίσαι σε, καὶ παρωνυχίδας ποιήσεις[8], καὶ τύψει με ὁ ἐπιστάτης.

σα'. Ἀφυεῖ[9] μάντει προςελθών τις ἐξ ἀποδημίας ἐπανίων, ἠρώτα περὶ τῶν οἰκείων. Ὁ δὲ εἶπεν· « Ὑγιαίνουσι πάντες, καὶ ὁ πατήρ

ut verbis utar Senecæ pulcherrima Epistola 88. Juvenalis, 7, 233 : « dicat Nutricem Anchisæ, nomen patriamque novercæ Archemori.... » Ibi Grangæus ac Rupert. Balzacius satira in Harlayum archiepiscopum Rhotomagensem, quam inscripsit « Le barbon », talia cumulavit : « enquérez-vous de lui quelle fut la mère d'Hécube, la nourrice de Léda, la gouvernante de Clytemnestre, l'écuyer d'Agamemnon.... ».

[1] Est 123 in M, 107 in P. Abest a cæteris.

[2] M, ἐτίθει.

[3] M, ξηράμενος.

[4] M, ἔβαλας. Pontanus : « emplastrum abjicies ». Quod caret sensu. Non vidit librarium transposuisse properantius syllabas, ac scribere debuisse ἔλαβας. Est verbi λαμβάνω aoristus recentioris grammaticæ, ἔλαβα, ἔλαβας καὶ ἔλαβες. Utuntur etiam forma antiqua ἔλαβον. Elegantissimus Sampetri interpres : ἔλαβον λοιπὸν τὸν κάλαμον εἰς τὴν χεῖρα.... συνέλαβον διὰ τοὺς λόγους ἔρωτα. Idem tamen formis novis simul utitur : ἂν ἔλειπαν αἱ παρατυπώσεις.... ὅσα δεινὰ καὶ ἂν ἔπαθα.... τί ἔπαθαν οἱ περισσότεροι τῶν ἀνδρῶν ἐκείνων.... ἔπασχα πόθον σφοδρόν.... διέφυγα τὸ φοβερὸν ἐκεῖνο χάος.... Atque quod miror : ἐκατάλαβα τέλος πάντων ὅτι ὅσα μέσα ἐδοκίμαζα. Est ἔβαλα in Epistola Corayi ante Hieroclem, p. ε'. Superius vidimus ἔπεσα, p. 301, n. 5. Adeo fluctuat adhuc usus et loquendi norma.

[5] Exstat in uno A.

[6] Tonsores scilicet et ungues secare solebant et purgare. Conf. § seq.

[7] Exstat in uno A.

[8] Παρωνυχίδας ποιήσεις dici videtur sensu medio, ut κήλην ἐποίησε § ρις', ubi vide notam. Sententia esse videtur : « et ex mea non subtili chirurgia paronychias reportabis ». Sed præcedenti § παρωνυχίδας ποιήσας sensu activo significat « paronychias qui effecerat ». Theophanes Nonnus, c. 229 : ἡ παρονυχία ἀπόστημά ἐστι, παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος συνισταμένη. Est ibi varietas παρωνυχίς.

[9] Exstat in uno A.

σου». Τοῦ δὲ εἰπόντος ὅτι « Ὁ πατήρ μου δέκατον ἔτος ἔχει ἀφ' οὗ ἀπέθανεν »· ἀπεκρίνατο· « Οὐδὲ γὰρ οἶδας, τὸν κατὰ ἀλήθειάν σου πατέρα [1] ».

σϐ'. Ἀφυὴς [2] μαθηματικὸς παιδίου γένεσιν [3] λέγων, εἶπεν· « Οὗτος ἔσται ῥήτωρ, εἶτα ἔπαρχος, εἶτα ἡγεμών ». Τεθνηκότος οὖν τοῦ παιδός, τούτου ἡ μήτηρ ἀπαιτήσασα [4] εἶπεν· « Ὃν ἔλεγες ῥήτορα ἔσεσθαι καὶ ἄρχοντα καὶ ἡγεμόνα, ἀπέθανεν ». Ὁ δὲ ἔφη· « Μὰ τὴν αὐτοῦ μνήμην, εἰ ἔζησε, πάντα ταῦτ' ἂν ἐγένετο ».

σγ'. Ἀφυεῖ [5] μάντει προςελθών τις ἠρώτα εἰ ὁ ἐχθρὸς αὐτοῦ ἐξ ἀποδημίας ἥξει. Ὁ δὲ εἶπεν ὅτι « Οὐκ ἔρχεται ». Ὡς δὲ ἔμαθε μεθ' ἡμέρας παραγενόμενον αὐτόν, ἔφη· « Οὐδὲν αὐτοῦ ἀχρωμότερον [6] ».

σδ'. Ἀφυὴς [7] μαθηματικὸς μακρολογῶν τινὰ [8] ἔφη· « Οὐκ ἦν σοι

[1] Poterat ariolus ille εὐτραπελώτερος ἢ ἀφυέστερος, uti verbis πεπνυμένου Telemachi Od. 1, 215; cui quum dixissèt Mentes, ἀτρεκέως κατάλεξον Εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἶς Ὀδυσῆος, respondit : Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι· αὐτὰρ ἔγωγε Οὐκ οἶδ'· οὐ γάρ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. Quem locum festive objecit Aristophanes accusatori, qui ipsi litem intendebat, quod esset patre natus non Atheniensi. In Bursalti Epistolis narratur ex Tavernerii Itineribus de sene quodam ætatis centenariæ, qui, quum a Persarum rege de patre interrogaretur, respondit : « Ut bona fide loquar, rex, id ignoro ». Timuit scilicet narrator ait ne, quum per longissimæ vitæ tempus semper fuisset veritatis diligentissimus, si de patre suo quis fuisset affirmaret, forte mentiretur. Dancurtius comicus festivissimus conferendus etiam Tutore sc. 7. Philippus nothus in Shakesperii Joanne Rege : « (we came) Most certain of one mother, mighty king (That is well known); and, I think, one father. But for the certain knowledge of that thruth, I put you o'er to heaven and to my mother. Of that I doubt as all men's children may ». Hookius, scriptor facetissimus, Præceptis : « it is a wise child that knows his own father. To know his mother is not quit so difficult an affair ». Nemo de me queretur puto afferenti etiam ex Plutarcho Cic. 26, dicterium non obtusum Ciceronis in Metellum Nepotem : Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινὶ πολλάκις λέγοντος· Τίς σοῦ πατήρ ἐστιν, ὦ Κικέρων; Σοὶ ταύτην τὴν ἀπόκρισιν, ἔφη, ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν.

[2] Exstat in uno A.

[3] A, γέννησιν. Correxi. Conf. p. 305.

[4] Potuit excidisse nonnihil, v. c., ἀπαιτήσασα τὸν δεδόμενον μισθόν.

[5] Exstat in uno A.

[6] « Nihil isto inimico tuo impudentius ». Est enim ἄχρωμος de ἀναιδεῖ καὶ αἰσχρῷ usurpatum.

[7] Exstat in uno A.

[8] Sic codex.

κατὰ γένος[1] τεκνῶσαι ». Τοῦ δὲ εἰπόντος ὅτι « Ἑπτὰ παῖδας ἔχω » · εἶπεν · « Οὐκοῦν πρόσεχε αὐτοῖς ».

σε'. Ἀφυὴς[2] μάντις ἐμπεσὼν εἰς πολεμίους, καὶ εἰπὼν ὅτι « Μάντις εἰμί », μελλούσης πρὸς ἀντιπάλους μάχης συνάπτεσθαι, « Νικήσεσθε » εἶπεν « τὸν πόλεμον, ἐὰν τὰς ἐξόπισθεν τρίχας τῶν κεφαλῶν ὑμῶν ἐν τῇ παρατάξει τῆς μάχης μὴ κλέψωσι[3] ».

ΔΕΙΛΟΙ[4].

σϛ'. Δειλὸς[5] ἐρωτηθεὶς « ποῖα τῶν πλοίων ἀσφαλέστερα, τὰ μακρὰ ἢ τὰ στρογγύλα »; ἔφη · « Τὰ νενεωλκημένα[6] ».

σζ'. Δειλὸς[7] κυνηγός, συνεχῶς τὴν νύκτα ὑπὸ ἄρκτου[8] διωκόμενος ἐν ὕπνῳ, κύνας μισθωσάμενος μεθ' ἑαυτοῦ ἐκοίμιζε[9].

ση'. Δειλῷ[10] πύκτῃ λέγει τις · « Μετὰ τίνος ἔχεις πυκτεῦσαι »; Κἀκεῖνος τὸν ἀντίπαλον ὑποδείξας, ἔφη · « Μετὰ τοῦ κυρίου μου τοῦδε[11] ».

σθ'. Δειλὸς[12] πύκτης, συνεχῶς ὑπὸ ἀντιδίκου[13] κοσκινιζόμενος[14], ἀνεβόησε · « Δέομαι ὑμῶν · μὴ πάντες ὁμοῦ ».

[1] Est γένος pro γένεσιν « nativitatem ». Vide §§ ρπζ', σϐ'.

[2] Exstat in uno A.

[3] Fortasse νικήσετε et βλέψωσι.

[4] M sine lemmate.

[5] Exstat in uno A.

[6] Tribuitur id dictum Anacharsidi apud Diogenem Laert. 1, 104.

[7] Est 124 in M, 108 in P. Abest a cæteris.

[8] M, ὑπ' ἄρκτου. Elisionem non inopportune tollam ex Epigrammate Anth. 15, 41 : Ὡς δ' ἔθανες.... Inveni, quod placet magis, in membranis : Ὡς δὲ θάνες. Hiatus displicet in Epigrammate, 8, 113 : Ὅς ποτε ἧς. Corrigendum Ὅς ποτ' ἐῆς, ex Apogr. Reg. et Muratorii Anecd. Gr. p. 13. Obiter duarum elisionum unam deleri proponam ibidem Epigr. 127 : Ὤχετο ἐκ μερόπων Εὐφήμιος, οὐδ' ἔτ' ἀνίσχεν Αἴ αἴ! σοῖς θαλάμοις πυρσὸς ὃν ἧψεν Ἔρως. Rescribendum videntur οὐδέ τ' ut est in Muratorio, p. 25, et in codice quem vidi. Præterea ex Mediceo, monentibus Muratorio et Jacobsio, ἀνίσχεν substitui edito ἀνέσχεν.

[9] A, ἐκόμιζε. M, ἐκοίμιζεν.

[10] Exstat in uno A.

[11] Est hic κυρίου μου appellatio honorifica. Vernacule : « avec qui allez-vous vous battre? — Avec Monsieur que voilà ». Tanta modestia et intempestiva comitas loquentis arguit timiditatem.

[12] Exstat in uno A. Conf. § σιη'.

[13] Ἀντιδίκου non exspectabatur. Scribendum ἀνταγωνιστοῦ, ἀντιπάλου, ut supra, et § σιη' in historiolà simili.

[14] Κοσκινιζόμενος] vernacule eadem metaphora : « criblé de coups ».

σι'. Δειλὸς[1] πύκτης χωρίον ἀγοράζων, κατηρώτα τοὺς ἐντοπίους, μὴ ἔχοι μύρμηκας[2].

ΟΚΝΗΡΟΙ.

σια'. Ὀκνηρῶν[3] δύο ὁμοῦ κοιμωμένων, εἰσελθών τις κλέπτης, τὸν σάγον[4] ὑποσύρας ἔκλεψε. Τοῦ δὲ ἑνὸς αἰσθομένου, καὶ πρὸς τὸν ἕτερον εἰπόντος, « Ἀναστὰς φθάσον τὸν κλέψαντα τὸν σάγον », εἶπεν· « Ἄφες· ὅταν ἔλθῃ ἐπᾶραι τὴν τύλην[5], κρατοῦμεν αὐτόν ».

σιβ'. Ὀκνηρῷ[6] υἱῷ ἐκέλευσεν ὁ πατὴρ εἰς τὸν γείτονα ἀπελθεῖν καὶ χρήσασθαι ἀξίνην. Ὁ δὲ ἔφη· « Οὐ δίδωσι ». Τοῦ δὲ πατρὸς ἐπιμένοντος, ἀπεκρίνατο· « Ἐγώ εἰμι ὁ γείτων, καὶ ἀξίνην οὐκ ἔχω ».

σιγ'. Ὀκνηρὸς[7] ὀκνηρῷ δηνάριον ἐχρεώστει. Ὑπαντήσας δὲ αὐτῷ ᾔτει τὸ δηνάριον. Τοῦ δὲ εἰπόντος· « Ἔκτεινόν σου τὴν χεῖρα, καὶ λῦσόν μου τὸ μάπουλον, καὶ ἆρον τὸ δηνάριον[8] »· ὁ ἕτερος ἔφη· « Πορεύου· ἔνθεν οὐδέν μοι χρεωστεῖς[9] ».

[1] Est 125 in M et ultima; 108 et ultima in P. Deest cæteris.

[2] M, ἔχειν. Cogitabat pugil timidus de cæstibus, non de formicis. Hesychius : μύρμηκας· ἔξω τοῦ ζώου καὶ οἱ πυκτικοὶ ἱμάντες. Cf. § ροβ'.

[3] Abest ab Edd. Est 51 in Apogr. Voss. et Rh., ubi : ὀκν. δύο κοιμ.... κλέπτης τὸ βαιστεῖον (Voss. βαστεῖον. Rhœrius conjecit βαλάντιον, pessime. Videtur βαιστεῖον nomen recentius et χυδαϊκόν e latino « vestis » formatum) αὐτῶν ἔλαβε. Τοῦ δὲ ἑνὸς νοήσαντος, καὶ εἰπόντος πρὸς ἕτερον· Ἀνάστα, δίωξον αὐτόν· ἔφη, Ὅταν ἔλθῃ λαβὼν τὴν τύλην, κρ. α. οἱ δύο. Quum jam Rhœrii liber non sit ad manum, et sit in meo apographo locus atramento pollutus, divino potius quam lego οἱ δύο.

[4] Σάγον est Latinum « sagum ».

[5] A, στήλην. Recepi τύλην e Rhœriana.

[6] Abest ab Edd. Est 52 in Apogr. Voss. et Rh., ubi ὀκν.... πατὴρ ἀπελθεῖν εἰς.... ἔφη· ἐγὼ εἰμὶ γείτων· ἀξίνην οὐκ ἔχω.

[7] Est historiola in Schieriana et Corayana 29, sumpta ex Epistolis Sarravii, p. 107. Abest a Londin. et Needh. Est 53 in Apogr. Voss. et Rh.

[8] Edd., ὤφειλε δηνάριον (Voss. et Rh. ὄφειλε,· ὁ δέ φησιν (Voss. ὁ δὲ φησίν)· εἰς τὸ φασκώλιόν μου (sic e conj. Corayus. Serrav. εἰς τὸ μάσπουλόν μου. Voss. εἰς τὸ μάπουλόν μου. Rh., εἰς τὸ μάπουλον μοῦ. Conjecit Needham. μαρσούπιον. Corayus μάσπουλον ait esse ἀδιανόητον, et suum φασκώλιον secure scripsit. Ego exhibui lectionem mei codicis A.) δέδεται, λῦσον, ἆρον.

[9] Edd. post ἆρον· Ὁ δέ, Ἄπελθε (Serr. ἄπελθες, et sic Voss. et Rh. Sed Corayus recte et alii ἄπελθε) φησίν· ἐπληρώθην. Sic vernacule idiomate commerciali, « je suis rempli », id est, « je suis payé, je suis satisfait ».

ΦΘΟΝΕΡΟΙ.

σιδʹ. Φθονερὸς[1] εἰς γναφεῖον εἰσελθὼν, καὶ μὴ θέλων οὐρῆσαι[2], ἀπέθανε.

σιεʹ. Φθονερὸς[3] οἰκοδεσπότης τοὺς ἐνοίκους ἰδὼν εὐτυχοῦντας, ἐκ τοῦ οἴκου αὐτοῦ ἐξεδίωξε.

σιςʹ. Φθονερὸς[4] ἰδὼν τὸν γείτονα θηριομαχοῦντα, λέγει τῷ κυβερνήτῃ· « Ἄρκος ».

σιζʹ. Ἄλλος[5] διὰ δειλίαν ἐπέγραψεν ἐπὶ τοῦ μετώπου « Ὁ τόπος τῶν καιρίων[6] ». Παιόμενος οὖν συνεχῶς εἶπε πρὸς τὸν παίοντα· « Μή τι οὗτος γράμματα οὐκ οἶδε, καὶ ἀναιρεῖ με »;

σιηʹ. Δειλὸς[7] πύκτης συνεχῶς παιόμενος ὑπὸ τοῦ ἀντιπάλου ἀνεβόησε· « Δέομαι ὑμῶν· μὴ πάντες ὁμοῦ ».

ΛΙΜΟΞΗΡΟΙ[8].

σιθʹ. Λιμόξηρος[9] λιμοξήρῳ θυγατέρα ἐκδιδοὺς, καὶ ἐρωτώμενος τί αὐτῇ προῖκα δίδωσιν, « Οἰκίαν » ἔφη, « δίδωμι, ἧς αἱ θυρίδες εἰς τὸ ἀρτοκοπεῖον βλέπουσι ».

σκʹ. Λιμόξηρος[10] παιδοτρίβης ἰδὼν ἄρτον κρεμάμενον, εἶπε· « Καταβαίνεις; ἀπαγγέλλεις; ἢ ἀναβαίνω καὶ ἀπαρτίζω σε »;

[1] Exstat in uno A.

[2] In usu fuisse videtur, ut qui fullonis officinam intraret, vesicam, si ferret casus, ibi exoneraret, quum sit urina ad fulloniam in primis idonea.

[3] Exstat in uno A.

[4] Exstat in uno A. Narratio lacuna laborare videtur. Quod superest non potest intelligi.

[5] Exstat in uno A. Recte animadvertit Μηνᾶς pertinere historiolam ad caput περὶ δειλῶν.

[6] A, κυρίων. Rescripsi καιρίων. Quæ nomina sæpe confunduntur. Vide p. 243, n. 9.

[7] Eadem narratio § σθʹ.

[8] Vide n. ad § σνηʹ.

[9] Exstat in uno A.

[10] Abest ab Edd. Est 48 in Apogr. Voss. et Rh., ubi : λιμ. παιδαγωγὸς ἰδὼν ἄ. ἐν τιν. (et hic jam non possum meas schedulas legere) κρεμ. κ. ἀπαγ. ἢ ἀναβαίνω ἀπαρίζω σε (Voss. ἀπαρτίζω σε). Multæ sunt et prolixæ de verbo ἀπαρτίζω Rhœrii et aliorum cogitationes, ex quibus vix proficere est. Famelicus ille homo est pædotriba, gymnasta, magister, ludi magister. Nam incertæ significationis est nomen græcum. Mihi quidem videtur panem allo-

σκα'. Λιμόξηρος[1] ἰατρός, ἰδὼν ἄρτον ἐν τρύμῃ κείμενον, ἐκσυρτικὸν ἔμπλαστρον ἐπέθηκε.

σκϐ'. Λιμόξηρον[2] ἄῤῥωστον ἰατρὸς ἐπισκεψάμενος, ἐκέλευσεν ἄληκα αὐτῷ εἰς πόμα γενέσθαι· εἰ δὲ μὴ εὕροι ἄληκα, ποιῆσαι αὐτῷ ὁμοίως τράγον[3]. Ὁ δὲ λιμόξηρος ἔφη· « Ἐὰν μὴ εὕρω τράγον, φάγω δύο ἐρίφια[4].

σκγ'. Λιμόξηρος[5] ἰδὼν ἄρτον ἐν ὑπερθύρῳ[6] κείμενον, εἶπε· « Θεέ, ἢ ἐμὲ ὕψωσον, ἢ τοῦτον ταπείνωσον[7] ».

σκδ'. Λιμόξηρος ἀπελθὼν εἰς κηπουρόν, ἔδωκε τέσσαρα δηνάρια, ἵνα σῦκα ὅσα ἐθέλει[8] φάγῃ. Τοῦ δὲ καταφρονήσαντος, καὶ εἰπόντος, « Ἀπὸ τῶν παρακειμένων δένδρων φάγε ὅσα δύνασαι », ἀνελθὼν εἰς μεγάλας συκέας, καὶ ἀπὸ κορυφῆς ἀρξάμενος, πάντα κατήσθιε. Μετὰ δὲ πολλὴν ὥραν[9] ἀναμνησθεὶς ὁ κηπουρὸς ἐπι-

qui quasi discipulum intempestive ludentem, et verbis in schola cognitis uti. Quid de loco sentiam vernacule aperiam : « descends-tu? descendras-tu? récites-tu? vas-tu réciter? ou faut-il que je monte jusqu'à toi, et que je te donne une bonne leçon, que j'achève ton éducation »? et, dictum factum, ascendit et panem aufert. Conf. § σκγ'.

[1] Deest Edd. Est 49 in Voss. Apogr. et Rh., ubi : λιμ. ἰ. ἰδ. ἄ. διά τινος τρύπης, ἐκσ. ἐ. ἐτίθει.

[2] Exstat in uno A.

[3] Plantam ἄληκα ignorare se ait vir d., τράγον autem eam esse quæ nunc τραγάκανθα vocetur. Ἄληκα fit ab ἄληξ; malim fere scribi ἄλιξ ἄλικα, cum latini scribant « alica » vel « halica », penultima brevi. Est alica Triticum Spelta L., nobis « épeautre », Græcis hodie χόνδρος· vide Corayi At. 4, 688. Nec est τράγος eadem planta τῇ τραγακάνθῃ. Est τράγος herba cerealis et alicæ vicina; quæ, teste Dioscoride, 2, 115, παραπλησίως τῷ χόνδρῳ ἔοικεν. Latini etiam dixere « tragum ». Dalecampius ad Plin. H. N. 16, 1, gallico utitur nomine « blé turquet », Linneo « Zea Mais ». Sed viro d. vix credendum. Adde Coray. At. 5, 348. Ex seminibus fiebant ptisanæ ejusdem ac plantæ appellationis.

[4] Similes joci §§ ιϐ', ρκζ'.

[5] Deest Edd. Est 50 in Apogr. Voss. et Rh., ubi : λιμ. ἰ. ἄ. ἐν ὑπαίθρῳ κείμ. ἔφη· ἦε (Voss. υἱε. Fort. υἱὲ θεοῦ) ἢ ἐκείνου (sic Voss. superscripto ἐκεῖνον) ταπείνωσε (Voss. ταπείνωσι), ἢ ἐμὲ ἐξάλειψον. Nullius sunt momenti, ut plerumque fit, Rhœrii observationes.

[6] Suidas : ἀνώφλιον, τὸ ὑπέρθυρον. Latine, « superum limen ».

[7] Conf. § σκ'.

[8] Exstat in uno A. — Velim ἐθέλοι.

[9] Μετὰ πολλὴν ὥραν] Nos vernacule, « après une grande heure ». Sic Olympiodorus Exc. Hist. Byz. p. 461, 13. Joannes Mon. Vita Barlaami in Anecd. meis Gr. t. IV, p. 135 : ἐπὶ ἱκανὴν ὥραν ταῦτα κατανοοῦντες. Acta S. Arethæ ibid. t. V, p. 32 : ἐπὶ πολλὴν ὥραν. Andreopulus Syntipa, p. 65 : ὀλίγην ὥραν τῇ γυναικὶ ὁμιλήσασα· « une petite heure ». Ibi mea nota.

ζητεῖ αὐτόν. Ὡς δὲ εἶδεν εἰς ὕψος σαλεύοντα τοὺς κλάδους, καὶ ἐσθίοντα, ἀγανακτήσας εἶπε· « Κάτω ἑστὼς οὐκ ἠδύνω ἐκ τῶν ἐπικειμένων κλάδων φαγεῖν ». Ὁ δὲ ἀπεκρίνατο· « Ἐκεῖνα, ὡς καταβαίνω, τρώγω ».

σκε'. Λιμόξηρος[1] ἀρτοπράτῃ προςελθὼν ᾔτει δοῦναι δηνάρια δύο, ἵνα ἄρτων χορτάσῃ. Τοῦ δὲ λογισαμένου ἕνα ἄρτον αὐτῷ ἀρκέσειν, λαβὼν τὰ δηνάρια, ἤρξατο[2] τρώγειν. Ὁ δὲ τοῦ κοφίνου ἀρξάμενος ἑστὼς τὸ ἥμισυ ἔφαγε. Τοῦ δὲ ἀρτοπράτου θαμβηθέντος, καὶ εἰπόντος, ὅτι « Κάθισον καὶ οὕτω φάγε », ἀπεκρίνατο· « Τοὺς μὲν ἐν τῷ κοφίνῳ ἄρτους βούλομαι ἑστὼς φαγεῖν, τοὺς δὲ ἐν τῇ προβολῇ[3] καθήμενος ».

σκϛ'. Λιμόξηρος[4] κωμῳδίας ὑποκριτὴς τὸν ἀγωνοθέτην πρὸ τοῦ εἰσελθεῖν ἄριστον ᾔτει. Τοῦ δὲ ἐπιζητοῦντος διὰ τί προαριστῆσαι θέλει, « Ἵνα » ἔφη, « μὴ ἐπιορκοῦντες λέγωμεν·

ἠρίστησα, νὴ τὴν Ἄρτεμιν,
Μάλ'[5] ἡδέως.

ΜΕΘΥΣΟΙ.

σκζ'. Μεθύσῳ[6] ἐν καπηλείῳ πίνοντι ἐπιστάς τις ἔφη· « Ἡ γυνή σου ἀπέθανεν ». Ὁ δὲ ἀκούσας πρὸς τὸν κάπηλον ἔφη· « Οὐκοῦν, αὐθέντα, ἐκ τοῦ μελανοῦ κέρασον.

σκη'. Μέθυσος[7] ὀνειδιζόμενος ὑπό τινος ὅτι πολλὰ πίνων οὐ φρονεῖ, ὁ δέ, ἀπὸ τοῦ οἴνου καλῶς βλέπειν μὴ δυνάμενος, ἀπεκρίνατο· « Ἐγὼ μεθύω, ἢ σύ, ὁ δύο ἔχων ὄψεις[8] »;

[1] Exstat in uno A.

[2] Excidisse nonnihil putat recte Μηνᾶς, ac proponit : λαβὼν τὰ δηνάρια, ἐπέτρεψεν· ὁ δὲ ἤρξ. τρ. Et animadvertit syntaxeos vitium, quod ipsi videtur tolerandum.

[3] Προβολῇ] Significare videtur quod vernacule dicimus, « montre, devanture ».

[4] Exstat in uno A.

[5] A μάλα. Distinxi locum metrice.

[6] Abest ab Edd. Est 37 in Apogr. Voss. et Rh., ubi : σχολαστικῷ ἐν καπ. πίν. ἐπ. τ. εἶπεν· ἡ μώη (Voss. ἡ γυνή) ἀπ. ὁ δὲ ἔφη· οὐκοῦν, πραγματευτά, μέλαινα (sic et V.) οἶνόν μοι κίρνα.

[7] Exstat in uno A.

[8] Quod ebrietatis symptoma graphice monstrat Strato Anth. 12, 199 : Χὠ λύχνος ἔσχισται διδύμην φλόγα (« accessit

σκθ'. Μέθυσος[1] ἀτυχής, ἀμπελῶνα κτησάμενος, τῷ τρυγητῷ ἀπέθανε.

σλ'. Μέθυσος[2] καπηλεῖον ἀνοίξας, εἰς τὸ πρόθυρον ἄκτον[3] ἔδησε.

ΟΖΟΣΤΟΜΟΙ.

σλα'. Ὀζόστομος[4], θέλων ἰδίῳ θανάτῳ ἀποθανεῖν, περικαλυψάμενος ἐχασμᾶτο.

σλϐ'. Ὀζόστομος[5] συνεχῶς τὴν γυναῖκα αὐτοῦ καταφιλῶν ἔλεγεν, « Ἡ κυρία μου, ἡ Ἥρα μου, ἡ Ἀφροδίτη μου ». Κἀκείνη ἀποστρεφομένη ἔλεγεν· « Ὀζεύς μου, ὀζεύς[6] μου ».

σλγ'. Ὀζόστομος[7] κωφῷ ὑπαντήσας ἔλεγε· « Χαῖρε ». Κἀκεῖνος εἶπε· « Φῦ[8] ». Τοῦ δὲ εἰρηκότος· « Τί γὰρ εἶπον »; ἔφη· « Ἔϐδευσας[9] ».

σλδ'. Ὀζόστομος[10] τὴν γυναῖκα ἠρώτα, λέγων· « Κυρία, τί με μισεῖς »; Κἀκείνη ἀπεκρίνατο, λέγουσα· « Ὅτι σύ με φιλεῖς[11] ».

σλε'. Ὀζόστομος[11] ἰατρῷ ὑπαντήσας λέγει· « Κύριέ μου, ἴδε

numerus lucernis »), καὶ δὶς ἀριθμέω, Πολλάκι πειράζων τοὺς ἀνακεκλιμένους. Ibi Jacobs. in Analectis. Val. Flaccus 3, 65 : « Rhœtus, iniqui Nube meri geminam Pholoen majoraque cernens Astra, ruit ». Ibi Burm. Quærit Alexander Aphrod. Probl. 1, 23 : διὰ τί τῶν ἄγαν μεθυόντων ἔνιοι διπλᾶ βλέπουσι;

[1] Est 54 in Apogr. Voss. et Rh., ubi: εὐτυχὴς μέθυσος ἀμπ. κληρονομῆσθαι (sic et V. Conjicit Anonymus κληρονομήσας) ἐν καιρῷ τοῦ τρυγητοῦ ἀπέθανεν.

[2] Exstat in uno A.

[3] Sic A, ἄκτον. Correcto ἔκτον, ἐκτέα, ἀσκόν, quid inerit leporis?

[4] Exstat in uno A.

[5] Exstat in uno A.

[6] A, ὁ Ζεύς μ. ὁ Ζ. Scripsi ὀζεύς, nomen fictum a verbo ὄζω. Μηνᾶς monuit. Putavit bonus maritus Junonem suam exclamare, ὁ Ζεύς. Scriptor Περὶ κωμῳδίας varia recensens facetiarum genera: ἔκτον κατὰ ἐξαλλαγήν, ὡς τό, « ὦ Ζεῦ δέσποτα, ἀντὶ τοῦ « ὦ Ζεῦ ». Lego ὀζεῦ δέσπ.

[7] Exstat in uno A. Conf. § σμα'.

[8] Est φῦ exclamatio aversantis, ut Latinorum « phu », et nostrum « fi ».

[9] Non audierat loquentem surdaster homo, qui aures habebat et non audiebat. Sed naso monitus, exclamabat φῦ! — Verbum βδεύω redibit §§ σμ', σμα'. Est forma βδέω usitatior § ρλζ'.

[10] Exstat in uno A.

[11] Meminit Μηνᾶς Epigrammatis cujusdam Anthologiæ, in quo pariter lusit poeta circa verbum φιλεῖν. Respiciebat Nicarchi Ep. Anth. 11, 252, εἰς βαρύοδμον: Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς, σὺ φιλεῖς με· Εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει. Ad quod vide Jacobs. in Analectis.

ὅτι ἡ σταφυλή μου κατέβη ». Καὶ χανόντος ὁ ἰατρὸς ἀποστρεφόμενος ἔλεγε· « Οὐχὶ ἡ σταφυλή σου κατέβη, ἀλλὰ ὁ κῶλός σου[1] ἀνέβη ».

σλϛʹ. Ὀζόστομος[2] τὸ τέκνον αὐτοῦ κολακεύων, μασώμενος ἐνεβρωμάτιζεν αὐτό. Τὸ δὲ ἀποστρεφόμενον ἔλεγεν· « Οὐ θέλω· τατά, κακά[3] ».

σλζʹ. Ὀζόστομος[4] λουκάνικον[5] ὀπτῶν[6], καὶ ἐπὶ πολὺ προσφυ-

[1] Scripsit Μηνᾶς τὸ κῶλόν σου, simul monens esse in ipso codice ὁ κόλος σου. Scripsi κῶλος, quantitate syllabæ legitima. Sed multi utuntur brevi, vel negligentia, vel quantitatis nescii et pronunciatione decepti. Corona Pretiosa : « culo, κόλος ». Vide Corayum Ἀτ. 4, 270.

[2] Exstat in uno A.

[3] Scripsit Μηνᾶς: ἔλεγεν· ταῦτα κακά. Ac monet codicem ferre : οὐ θέλω τατὰ κακά. In homine Græco et doctissimo, sed qui eruditam occidentalium criticorum et sæpius humilem diligentiam fastidit, non multum demiror illam descriptionis negligentiam et mutandi licentiam. Sed metuo ne fuerint sic correcti plures loci, de quibus corrector lectorem admonere supersedit. Habeo τατά pro vocabulo linguæ infantium, quam omnes omnibus in regionibus pueruli loquuntur, qui non loquuntur. « Tata » pro patre, « mamma » pro matre, latinis exemplis nota sunt. Μάμμη μαμμία puerulorum Græcorum voces libri conservarunt, non quidem τατά. Sed Hierocles id nomen audiverat domi, vel alibi. Et « tata » etiam nobis est vernaculum. Dicunt et apud nos inter vagiendum infantuli « caca », de alimentis quæ respuunt, prorsus ut ad illum oriputidum paterculum emunctæ naris puer, in cunis hellenistæ Quis enim non meminit Phidippidis Aristophanei κακκᾶ clamantis, si forte premeretur cacaturitione? Quod vocabulum infantuli Græci usurpant, teste Corayo ad Plut. t. III, pag. ιʹ: τὸ πληθυντικὸν σκατὰ ἔχει συνώνυμον εἰς ἡμᾶς ἀκόμη τὴν σήμερον « κακκά ». Ergo verterim : « non volo. Tata, caca »! De latino « caca » quis dubitaverit? Si autem censor delicatus ac diligens queratur quod non duo κκ posuerim, sequutus Comicum et alios, responsum in promptu est, nimirum Græculorum balbutientium loquelam nondum esse grammaticæ fixam legibus. Accedat Ζαλύκη lexicographi auctoritas : κακά, κόπρος.

[4] Exstat in uno A.

[5] Et hic temere se gessit descriptor, qui, invento λουκάνικον, correxit ἀλλάντιον. Ipsi displicuit λουκάνικον, vocabulum e trivio. Sed viro d., qui induebat librarii personam, librarii seduli imitanda fuit diligentia. Reduxi igitur λουκάνικον, eoque accentu. Nam sic pronunciari id vocabulum opinor. Bastius maluisset λουκανικόν. Nam in scholio ad Luciani Gallum, 14, ἀλλᾶντος ὃ συνήθεια λοκάνικα, corrigebat λουκανικά. De prima syllaba tantum assentior, quam unam tentabat Stœber. ad Thom. Mag. p. 37. In Alciphrone, 3, 7, ad ἀλλᾶντα scholium reperi λουκάνικον. Cangius V. λουκάνικον affert e Corona Pretiosa λουκάνικα. Et Ζαλύκης Lexico exhibet λουκάνικον.

[6] A, ὄπτων, lapsu calami. Nam menda id genus librariis Græcis quoque excidunt; et nobis qui male pronunciamus plerique, quid mirum. In Mich.

σῶν, ἡνίκ' ἄν[1] αὐτὸ ἀπειργάσατο, αὐτὸς[2] συνεχῶς βδέων οὐκ ἐπιστεύετο.

σλη'. Ὀζόστομος[3] ἀπελθὼν εἰς ὀπωροπώλην, ἠρώτα· « Ἔχεις, κῦρι[4], σχάδας[5] »; Ὁ δὲ ἀποστραφείς· « Οὐδὲ φοινίκια[6] ἔχω ».

Choniatæ Encomio Is. Angeli, § 8, εὐτυχήσας pro εὐτύχησας typi exhibent; sed optime legebat interpres, qui vertit « nactus es ». Est autem de illo loco quod moneam utilius : μήποτε δὴ καὶ τοῦτο ἀγγελοειδὲς κατὰ θεὸν εὐτύχησας ὅτι κἀκεῖνοι φύσις μέν εἰσι λογικὴ καὶ νοερά, καὶ ῥάβδους παρά του μεταχειρίζεσθαι λέγονται, εἰρηνικῆς καὶ βασιλικῆς ἡγεμονίας σύμβολα, οὐ μὴν δὲ ἀλλὰ καὶ ῥομφαίας καὶ πελέκεις ἔσθ' ὅτε μεταλαμβάνειν, ὡς θείας δυνάμεως ἀρχιστράτηγοι. Monet editor malam esse scripturam παρὰ τοῦ, et του esse encliticum « a quodam scilicet scriptore; sed ad quem alludatur nondum invenisse ». Respici videtur Dionysius Areop. De cœlesti hier. c. 15, p. 91, ubi ῥάβδους, δόρατα, πελέκεις Angelorum quid significent explicat.

[1] Videtur esse in A ηνίκαν. Scripsi ἡνίκ' ἄν. Malim abesset ἄν, sequente ἀπειργάσατο. Sed circa syntaxin scriptor ille non est severus. Littera prima si non careret spiritu, de lectione vix dubitarem, præsertim comparans vocem ἡνίκα nitidius, ductibus tamen non dissimilibus, scriptam a viro d. in fabula choliambica, mendis deformata, quam mihi misit a. 1844, repertam a se in bibliotheca siti non procul Trapezunte monasterii. Illam huc apponam lectoribus et ipsi Μηνᾷ viro cum erudito tum liberali gratificandi causa : Ἵππος διαυλῶν ἅμ' ὄνῳ καὶ νικήσας Οὐκ ἔσχε δόξαν, αἰσχύνην δέ γε πλείω, Ὡς ἁμιλληθεὶς ἀφανωτέρῳ ζώῳ. Οὖνας δὲ τοῦτον παρελὼν ἐθαυμάσθη, Ὡς ὑπερισχύοντι συνδραμὼν ζώῳ. Οὕτω τι θαῦμ' οὐδὲν εἴπερ νικήσει Ὑπέρβιός τις τὸν πένητ' ἢ δυνάστης· Ἡνίκα πένης δὲ τὸν δυνάστην νικήσει, Θαυμαστὸν ὄντως τοῦτο καὶ θείας μοίρας. Emendandi periculum faciant viri critici. Problema eis proponitur. Pro οὖνας cogitavit Μηνᾶς de corrigendo ὄνος, quod probabilissimum. Est tamen οὖνας in alia recensione politica quam ipsi ejusdem codicis disjectum ac lacerum folium obtulit : Ἵππος συνδραμὼν καὶ νικήσας τὸν ὄνον Δόξαν οὐκ ἔσχεν, αἰσχύνην δὲ καὶ μάλα, Ὡς ἁμιλληθεὶς ἀφανωτέρῳ ζώῳ. Οὖνας δὲ τοῦτον νικήσας ἐδοξάσθη, Ὡς ὑπερισχύοντι συνδραμὼν ζώῳ· Οὕτω θαυμαστὸν οὐδέν, ὅταν νικήσῃ Ὁ περίβλεπτος τὸν πτωχὸν καὶ δυνάστης. Ὅταν δὲ πένης τὸν δυνάστην νικήσῃ, Τοῦτο θαυμαστὸν καὶ τοῦ θεοῦ προνοίας.

[2] Post αὐτός inseruit δέ v. d., quod non fuit servandum. Quæ conjunctio aptius dabitur Himerio Orat. 21, § 6 : φοβεῖ μὲν θαλάττῃ πλωτῆρα καὶ σκάφη, βουκόλον λειμώνων ἐλαύνει καὶ τὰ θρέμματα. Codex βουκόλον δὲ λ. καὶ θρ. Et inseram libens ἐν post μέν.

[3] Exstat in uno A.

[4] Κῦρι] vide p. 294, n. 13.

[5] Opinatur v. d. scribendum esse ἰσχάδας. Ferme volui edere, κῦρ, ἰσχάδας. Sed est σχάδα, σχάδιον apud Cangium.

[6] A viro d. dissentire liceat qui φοινίκια ait esse crepitum ventris. Si hic esset vocabuli sensus, dixisset pomarius mercator se crepitus habere, et dictum jocosius re confirmavisset. Quum meminerim esse φοινικίζειν verbum prætextatum in sensu fellandi, hinc dicterium intelligam. Τοὺς φοινικίζοντας verisimile est oris ulceribus obnoxios fuisse, quæ φοινίκια vocata fuerint. Morosior homo,

σλθ'. Νεανίσκος[1] τραγῳδὸς ἠγαπήθη ὑπὸ γυναικῶν δύο[2], ὀζοστόμου καὶ ὀζοχρώτου[3], Καὶ τῆς μὲν μιᾶς λεγούσης, « Δός μοι, κῦρι, φιλήματα », τῆς δὲ ἄλλης, « Δός μοι, κῦρι, περιπλοκάς », ἐκεῖνος ἀνεβόησεν· « Οἴμοι! τί δράσω; δυσὶ κακοῖς μερίζομαι ».

σμ'. Ὀζόστομος[4] καὶ ὀζόχρωτος, ὁμοῦ ἐν θεάτρῳ καθεζομένων, συνέβη μέσον αὐτῶν κατὰ τύχην νεανίσκον καθεσθῆναι. Αἰσθομένου δὲ αὐτοῦ τῆς δυσωδίας, στραφεὶς πρὸς τὸν ὀζόστομον, ἠρώτα· « Τίς ἔϐδευσεν »; Εὐρηκὼς δὲ ἐκ τοῦ στόματος αὐτοῦ τὴν αἰτίαν, στραφεὶς τῷ ἑτέρῳ εἰς τὸ οὖς διελέγετο. Γνοὺς δὲ κἀκείνου τὴν δυσωδίαν, ἀναστὰς ἔφυγε.

σμα'. Μωρὸς[5] κωφῷ συγκαθεύδων ἔϐδευσε. Τοῦ δὲ τὴν δυσωδίαν αἰσθομένου, καὶ κατακράξαντος, ἔφη· « ἴδε πῶς ἀκούεις! ἀλλ' ἐμπαίζεις μοι[6] ».

σμϐ'. Ὀζόστομος[7] συνεχῶς εἰς οὐρανὸν πολλὰ βλέπων ηὔχετο. Παρακύψας ὁ Ζεὺς λέγει· « Μία μία χαρεῖς[8]· καὶ κάτω θεοὺς ἔχεις ».

σμγ'. Λείξουρος[9] εἰς τρύγην ὑπὸ φίλου κληθείς, καὶ ἀπλήστως

vel obscenos amans verborum lusus, ea fere respondisse mente putandus est: « petis ficus; ne palmulas quidem habeo; imo ne φοινίκια quidem habeo, ut tu, σκύλαξ impurissime, cui os ex detestanda libidine putet, et lingua palatumque aphthis hiant purulentis ». Atque fortasse in σχάδες aliquid latet turpitudinis. Notum est Martialis Epigramma: « Dicemus ficus quas scimus in arbore nasci; Dicemus ficos, Cæciliane, tuos ». Et Græci medici ulcus quoddam σῦκον vocant. — Cf. §§ ρλγ', ρλε'.

[1] Exstat in uno A.

[2] Codex, δύω. Vide p. 293, n. 4.

[3] Codex, ὀζοχρώστου. Est ὀζόχρωτος § sequente. Monuit Μηνᾶς.

[4] Exstat in uno A.

[5] Exstat in uno A.

[6] Conf. § σλγ'.

[7] Exstat in uno A.

[8] Sic A. Fortasse : μία μία χάρις. Nunc dicunt ἕνας ἕνας pro nostris formulis « un à un, l'un après l'autre ». Erit μία μία χάρις, « *un plaisir après l'autre* »; et sensus : « Tu as toujours la bouche tournée de mon côté pour me prier. Mais ne me donne pas exclusivement le plaisir de recevoir tes vœux. Il y a aussi des dieux en bas. Ne les prive pas. Partage tes faveurs, une à une, à l'un après l'autre ».

[9] Exstat in uno A. — A, λίξουρος. Malui usum sequi, et originem, quæ

φαγὼν σῦκα καὶ σταφυλάς, κατέδαρθεν[1]. Ὑπὸ δὲ τῆς γαστρὸς αὐτοῦ νυγεὶς[2] ἔδοξε ὁρᾷν ἐπὶ συκῆν τὸν φίλον αὐτοῦ καθήμενον, καὶ τοῦτον προςκαλεῖσθαι ἵνα φάγῃ σῦκα· ἀναστάντος δέ, ἤρεσεν αὐτοὺς ἀπὸ τῆς συκῆς ἄνωθεν χέσαι. Βιαζόμενος οὖν τὰ στρώματα κατέχεσεν. Ὡς δὲ ἐξυπνίσας ἐπέγνω, τὰ στρώματα πλύνας, πάλιν ἀπλήστως φαγὼν ἐκοιμήθη. Καὶ θεωρεῖ πάλιν καθ' ὕπνους τὸν φίλον ἐπὶ τῆς συκῆς καθήμενον, καὶ τοῦτον ὁμοίως ἀνελθεῖν προτρεπόμενον· ὁ δὲ πρὸς αὐτὸν ἀναβλέψας, εἶπε· « Πάλιν μοι θέλεις ἐμπαῖξαι, ἵνα, ἀπὸ τῆς συκῆς ἄνωθεν δόξας χέζειν, τὰ στρώματα ἐρημώσω[3]· ἀλλ' ἐγὼ ἀπάρτι οὐ μὴ ἐμπαιχθῶ. Πρῶτον γὰρ χέσω καὶ οὕτως ἀνέλθω ». Βιαζόμενος οὖν πάλιν τὰ στρώματα κατετίλησεν[4].

σμδ'. Νεανίσκος[5] πρὸς τὴν γυναῖκα οὖσαν ἀσελγῆ εἶπε· « Κυρία, τί ποιῶμεν; ἀριστῶμεν ἢ ἀφροδισιάζομεν[6]; Κἀκείνη πρὸς αὐτὸν ἔφη· « Ὡς θέλεις. Ψωμὶν[7] οὐκ ἔχομεν[8] ».

σμε'. Νεανίσκος[9] γραίας δύο καπριώσας ἐκάλεσε, πρὸς δὲ τοὺς

esse videtur verbum λείχω. Moschopulus II. σχ. p. 167 : λείχω τὸ τῇ γλώττῃ ἀποψῶ, ἀφ' οὗ λείξουρος κύων. Lingua vernacula habet « lécheur, lichard ».

[1] A, ἐπανελθὼν οἴκαδε κατέδαρθεν. Tria hæc verba addidit Μηνᾶς. Servavi tantum κατέδαρθεν. Non redierat domum juvenis, qui mox iterum ficus vorabit. Non sunt στρώματα lecti soliti stragulæ et lintea, sed tunica forsan et pallium quæ straverat humi, somno se daturus.

[2] Codex, νυγείς. In nota Μῆνας, illa verba repetens, habet νυχθείς.

[3] A videtur exhibere ἐρημύσω. Scripsi ἐρημώσω : « ut cubile deseram ».

[4] A, κατετύλησεν. Scripsi κατετίλησεν, verbum Aristophani frequentatum.

[5] Abest ab Edd. Est 55 in Voss. Apogr. sub lemmate περὶ λάγνων γυναικῶν, et 55 in Rh. sub lemmate π. λαίγνων γυν. Ibi : νεαν. πρ. τ. ἑαυτοῦ γ. ἀσελγῆ οὖσαν εἶπεν· κ. τί ποιοῦμεν; ἀριστοῦμεν ἢ ἀφροδισιάζομεν; κἀκ. ἔφη· ὡς θέλ. ψωμὴν (Voss. ψωμήν) οὐκ ἔχ.

[6] A, ἀφροδισιάζωμεν.

[7] Ψωμίν est recentior forma pro ψωμίον. Vide p. 294, n. 8.

[8] A, ψωμὶν οὐκ, et quæ sequebantur litteræ sunt nunc partim evanidæ, partim cum chartæ particula perierunt. Proposuit Μηνᾶς, οὐκ ἔχομεν, quod recepi, donec integer codex veram lectionem obtulerit. Cogitavit vir d. de rescribendo, quod post κ supersit tenue vestigium ad litteræ λ formam accedens, οὐ κλίνη. Malim : ψωμὶν οὐ κλιβανοῦται. Similis sententia tetrastichi cujus memini invitus : « Vous plaît-il souper, Isabelle, Ou faire l'amoureux déduit? Tout ce qu'il vous plaira, dit-elle; Mais notre souper n'est pas cuit ».

[9] Deest Edd. Est 56 in Apogr. Voss et Rh., ubi : γραΐδας ἐρωτευομένας (Voss. ἐρωτευομένας. Anonymus propo-

οἰκείους διακόνους ἔφη· « Τὴν μίαν κεράσατε[1], τὴν δὲ θέλουσαν ἀφροδισιάσατε ». Αἱ δὲ εἶπον· « ἡμεῖς οὐ διψῶμεν ».

σμϛ'. Μισογύναιος[2] στὰς ἐν τῇ ἀγορᾷ ἔλεγε· « Πωλῶ μου τὴν γυναῖκα ἀτελώνητον ». Τινῶν δὲ εἰπόντων, « Διὰ τί »; εἶπεν· « ἵνα στερέσιμος[3] γένηται ».

σμζ'. Μισογύναιος[4], τῆς γυναικός αὐτοῦ ἀποθανούσης, ἐπὶ τῷ θάψαι ἐκήδευσε. Τινὸς δὲ ἐρωτήσαντος, « Τίς ἀνεπαύσατο[5] »; ἔφη· ἐγώ, ὁ ταύτης στερηθείς ».

nit ἐρωταομένας, Rhœrius ἐρωμένας. Obvium tamen fuit ἐρωτιωμένας, pro ἐρωτιώσας) νεανίσκος ξενοδοχῆσαι (Anonymus conjecit ξενοδοχήσας, quod est correctum in Voss.), πρὸς τοὺς παῖδας αὐτοῦ (Voss. αὐτούς) ἔφη· τὴν θέλουσαν κέρασατε, καὶ τ. θέλ. ἀφροδισιάζετε. Κακείνη (sic et Voss. sed leg. κακεῖναι. Versio : « illæ ») εἶπον· ἡμ. οὐ διψ.

[1] A, κερασῶτε. Sumpsi lectionem Vossianam κεράσατε. Significat κερᾷν τινα, vinum alicui bibendum præbere. Πίκκολος elegantissimus Sampetri interpres : παρακαλῶν αὐτὴν (μίαν ἀγαπητὴν καλλωπίστριαν Παρισίαν) νὰ κεράσῃ τοὺς συμπότας.

[2] Exstat in uno A.

[3] Sic A, στερέσιμος. Luditur in verbis juridicis, ni fallor; sed ænigma non capio.

[4] Deest Edd. Est 57 in Apogr. Voss., titulo περὶ μισυγυναικῶν ἀνδρῶν· 57 in Rh., titulo π. μισογυναικων ἀνδρῶν. Ibi: μισογύναικα (sic et Voss. Anonymus conjicit μισογυναίκου· alius, μισογύναικος) τὴν γυναῖκα κηδεύοντος, ἠρώτησέ τις· Τίς ἀνεπαύσατο; ὁ δὲ ἔφη· ἔστω ὁ ταύτην στερηθείς (sic et Voss. Anonymus : ἐγὼ ὁ ταύτης στερ.).

[5] Ἀνεπαύσατο, videlicet τέθνηκε, ἔθανε. Quæ metaphora in omnibus puto linguis reperiri. Vernacule apte diceretur : « qui a trouvé le repos? moi, qui suis privé d'elle ». Notum est Epigramma : « Ci-git ma femme. Ah! qu'elle est bien Pour son repos et pour le mien »! Vide Coray. At. 4, p. 12. Theocritus Id. 1, 138 : Χὼ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο. Est varietas, ἀνεπαύσατό. Scholium : ἀπεπ. ἢ ἀνεπ. Εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. Sunt interpretes qui mortem significasse poetam opinantur, cum quibus equidem facio; sed eos non oportuit vertere « expiravit », servato ἀπεπ., quum ἀνεπ. de morte significanda eligendum fuerit. Herodianus, 3, 15, 3 : βασιλεύσας ... ἐπὶ παισὶ νεανίαις διαδόχοις ἀνεπαύσατο. Adde Kiesl. ad Theocr. Psellus initio Monodiæ in Jo. Patricium, de qua monemur esse γραφὴν ἀρίστην : τῶν τῇδε ἀποστάντος, πρὸς δὲ τὴν ἄνω ζωὴν καταπαύσαντος· quod est orationis christianæ et biblicæ. Id autem verbum ἀναπαύω videtur mendosum esse in Eustathii epistola commentario in Dionysium præfixa, p. 71, 32 : ποθήσει δ' ἂν ὁ φιλοπευθής, οἶμαι, καί τι περὶ Μυσῶν ἀκοῦσαι, ὡς δ' αὔτως καὶ περὶ Βεβρύκων· οὐκ ἀναπαύσει δ' αὐτὸν οὐδὲ τὸ τῆς Λιβύης, οὐδὲ μὴν τὸ τῆς Ἀσίας, οὔτ' οὖν Εὐρώπης ὄνομα ψιλόν. Propono rescribendum οὐκ ἀναπλήσει δ' αὐτόν; scilicet « non ipsius noscendi sitim explebit » vel quod bene latinum est, « non ipsum explebit nudum Libyæ.... nomen ».

σμη′. Μισογύναιος[1] νοσήσας ἐν ἀπογνώσει, τῆς δὲ γυναικὸς αὐτῷ εἰπούσης, « Ἐάν τι πάθῃς, ἀπάγξομαι »· ἀναβλέψας πρὸς αὐτὴν εἶπε· « Ζῶντί μοι τοῦτο χάρισαι ».

σμθ′. Μισογύναιος[2] γυναῖκα ἔχων γλωσσώδη καὶ λοίδορον, τελευτησάσης δὲ αὐτῆς, ἐπὶ θυρεοῦ ἐξέφερε. Τινὸς δὲ ἰδόντος καὶ τὴν αἰτίαν ἐρωτήσαντος, ἀπεκρίνατο· « Μαχίμη[3] γὰρ ἦν ».

σν′. Νεανίσκος[4] ἐρωτηθεὶς ὑπὸ τῆς γυναικὸς αὐτοῦ κελεύεται, ἢ πείθεται αὐτῷ ἐκείνη· « Πάντα », ἐναβρυνόμενος ἔλεγεν· « οὕτω με φοβεῖται ἡ γυνή μου, ἐὰν χάνω[5], χέζει ».

σνα′. Οἰκοδέσποινα[6] μωρὸν οἰκέτην ἔχουσα ἐμφανῆ, καὶ ἰδοῦσα αὐτὸν ἁδροκέφαλον, ἐπιθυμήσασα αὐτοῦ, φιμάριον[7] εἰς τὸ πρόσωπον βαλοῦσα ἵνα μὴ ἐπιγνωσθῇ, συνέπαιζεν αὐτῷ. Ὁ δὲ ἐν τῷ παίζειν συνεισῆλθεν αὐτῇ. Καὶ τῷ δεσπότῃ συνήθως προςγελῶν εἶπε· « Κῦρι, κῦρι[8], τὸν ὀρχηστὴν ἐβίνησα[9], καὶ ἡ κυρὰ ἦν ἔσωθεν ».

σνβ′. Ἀτυχὴς[10] εὐνοῦχος κήλην ἐποίησε.

σνγ′. Σχολαστικὸς[11] μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῇ, ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφε[12].

[1] Deest Edd. Est 58 in Apogr. Voss. et Rh., ubi : μισογύναικος (sic Voss. sed κ punctis notato) ἀῤῥωστῶν, καὶ τῆς γυναικὸς εἰπούσης αὐτῷ, Ἐὰν ἀποθάνῃς, ἀπάγξομαι, ἀναβλέψας εἶπε· Ζῶντί μ. τ. χάρ.

[2] Exstat in uno A.

[3] A, μαχήμη.

[4] Exstat in uno A.

[5] Ἐὰν χάνω, scilicet, « si tantum hiscam quidquam »; « si j'ouvre seulement la bouche ». Sed videtur juvenis ille qui turpi et obsceno verbo χέζει est usus, non dixisse χάνω, sed κλάνω· stilo moreque Aristophanico, ἐὰν πέρδωμαι, χέζει. Cf. index v. κλάνω.

[6] Exstat in uno A.

[7] A, φημάριον. Scripsi φιμάριον, monente opportune Hasio viro doctissimo. Vide Addenda.

[8] Κῦρι] vide p. 317, n. 4.

[9] A, ἐβήνησα.

[10] Conf. § ρις′.

[11] Quæ sequuntur historiolæ accedunt ex editionibus. Et hæcce § σνγ′ est in Edd. et Rh. 19; in Apographo Vossiano, 23.

[12] Voss. ἐτρέφετο.

σνδ'. Σχολαστικὸς[1] εἰς χειμῶνα[2] ναυαγῶν, καὶ τῶν συμπλεόντων ἑκάστου περιπλεκομένου[3] σκεῦος πρὸς τὸ[4] σωθῆναι, ἐκεῖνος μίαν τῶν ἀγκυρῶν περιεπλέξατο.

σνε'. Σχολαστικὸς[5] υἱὸν θάψας, καὶ συναντήσας τῷ διδασκάλῳ αὐτοῦ, εἶπε· « Προῆλθεν[6] ὁ παῖς »; Ὁ δέ φησιν· « Οὔ. » « Λοιπὸν οὖν, καθηγητά[7], τέθνηκεν ».

σνϛ' Σχολαστικὸς[8] παιδοτρίβης ἀκούσας περὶ μαθητοῦ ὅτι νοσεῖ, τῇ δὲ[9] ἑξῆς ὅτι πυρέττει, ὕστερον δὲ παρὰ τοῦ πατρὸς ἀκούσας ὅτι ἀπέθανεν, ἔφη· « Οὕτω προφασιζόμενοι οὐκ ἐᾶτε τοὺς παῖδας μανθάνειν ».

σνζ'. Σχολαστικὸς[10] ἀγοράσας κρέας, βαστάζων αὐτὸ ἀπήρχετο εἰς τὸν οἶκον αὐτοῦ. Λούπης[11] δὲ ῥήξας ἥρπασεν αὐτὸ ἐκ τῆς χειρὸς αὐτοῦ. Ὁ δὲ ἔφη· « Ὡς συγγένομαι[12], ἂν μὴ κἀγὼ ποιήσω αὐτὸ ἄλλῳ.

σνη'. Λιμόξηρος[13] ὑπάρχοντος τὸ βήματος αὐτοῦ ἐκέλευσε πρὸς ἀρτοκοποίαν γίνεσθαι.

[1] In Edd. et Rh. 20; 24 in Apogr. Voss.

[2] Voss. εἰς χειμῶνας. D εἰς χειμῶνα pro ἐν χειμῶνι, p. 269, n. 8.

[3] Voss. ἑκάστων περιπλεκομένων. Edd. Lond. Needh. : ἑκάστου περιπλεκομένων. Sequutus sum Corayum.

[4] Voss. σκεύους πρὸς τῷ.

[5] Est 25 in Apogr. Voss., 32 in Rh. Conf. § σζ'.

[6] Malim προςῆλθεν.

[7] Rhœrius habuit καθηγητά pro nominativo, quod valde miror in homine Græce docto. Legimus in Hierocle vocativos similes, σοφιστά, ἐπιστάτα, πραγματευτά, αὐθέντα. Sensum tamen quem mea facit interpunctio vidit, sed rejecit.

[8] Est in Apogr. Voss. 30; 33 in Rh.

[9] Rh. τῇδε.

[10] In Apogr. Voss. 32; 34 in Rh.

[11] Voss. λούπης et ad marg. κλοπεύς. Rhœrius edidit κλοπεύς. Sed optime λούπης habet. Herodianus Epim. p. 46: ἰκτῖνος, ὁ λούπης.

[12] Sic inveni, vel invenisse reor. Nam libri rarissimi, quibus sum usus, jam non sunt ad manus.

[13] In Apogr. Voss. et Rh. 57, sub titulo περὶ λιμοξήρων. Consentiunt in corrupta narrationis lectione, excepto quod sit in V, ἐκέλυσε et ἀρτοκοποιαν sine accentu. Proponit Rhœrius : λιμ. ὑπάρχων τις, vel ὕπαρχος ὢν τὸ βῆμα αὐτοῦ ἐκέλευσε πρὸς ἀρτοκοποιΐαν, vel ἀρτοκοπεῖον, vel ἀρτοποιΐαν γιν. Et vertit : « tribunal suum mactræ loco esse jussit ». Puto hanc fere fuisse sententiam : Λιμ. ὕπαρχος, ὑπάρχοντος πρὸς τὸν ἄρκτον τοῦ βήματος αὐτοῦ, ἐκέλευσε πρὸς ἀρτοκοπεῖον γίνεσθαι.

σνθ'. Εὐτράπελος[1] *ἀποδημήσας καὶ κυλίας*[2] *γενόμενος, ἐπανελθὼν ἠρωτᾶτο τί ἤγαγεν.* Ὁ *δέ, « Σοὶ μέν » εἶπεν, « οὐδέν, τοῖς δὲ μηροῖς σου προςκεφαλάδιον*[3] *».*

σξ'. Εὐτράπελός *τις*[4] *ἰδὼν ἰατρὸν νεανίδας ὑπαλείφοντα ὡραίας*[5], *ἔφη· «* Μή, *τὴν ὄψιν*[6] *θεραπεύων, τὸ βάθος φθείρῃς ».*

σξα'. Εὐτράπελός *τις*[7] *ἐλοιδόρει*[8], *ὅτι «* Τὴν *γυναῖκα δωρεάν σου*[9] *εἶχον ».* Ὁ *δὲ εἶπεν· «* Ἐμοὶ *μὲν ἀνάγκη τοιούτου κακοῦ ἀντέχεσθαι· σοὶ*[10] *δὲ τίς ἀνάγκη »;*

σξβ'. Εὐτράπελος[11] *ἐπὶ ἡγεμόνος ἐδικάζετο.* Τοῦ *δὲ ἡγεμόνος νυστάζοντος*[12], *ἐβόησεν· «* Ἐκκαλοῦμαι[13] *».* Ὁ *δὲ ἔφη· «* Ἐπὶ *τίνα*[14]; Κἆι *ἐκεῖνος·* Ἐπί *σε γρηγοροῦντα*[15] *».*

[1] Est 61 in Apogr. Voss. et Rh.

[2] Voss., *καικυλίας.* Anonymus proponit *κυλλός* vel *σκολίος.*

[3] Rhœrius malit *μου* quam *σου.* Anonymus conjicit *προςκεφάλαιον.*

[4] Est 62 in Apogr. Voss. et Rh. Voss. omittit *τις.*

[5] Scripsi *ὡραίας* pro *ὡραίους.*

[6] Rh., *ὄψων,* mendo typorum; vertit « aspectum ». Voss. *ὄψιν.*

[7] Est 63 in Apogr. Voss. et Rh.

[8] Fortasse, *εὐτράπελός τίς τιν' ἐλοιδ.*

[9] Voss. *δωρεανσοχον.* Rh., *δωρεὰν συχον.* Vertit « gratis habui », sequutus viri d. conjecturam, *δωρεὰν ἔσχον.* Mihi visum est in *σοχον* latere *σου εἶχον.*

[10] Voss. *σου.* Fons narratiunculæ sæpius recantatæ Plutarchus Apophth. Lacon. Div. 55 : *λαβών τις μοιχὸν ἐπ' αἰσχρᾷ γυναικί, « Ἄθλιε », εἶπε, « τί τοι ἀνάγκα »;*

[11] Est 66 in Apogr. Voss. et Rh.

[12] Voss., *νυστάζοντος.*

[13] Voss. *ἐγκαλοῦμαι.* Putat Rhœrius posse legi *ἐκκαλοῦμαι,* quo verbo usus est Plutarchus in Philippi Apophthegmate 24, quod Hierocleæ historiolæ fons est : .... *ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν, διοργισθείς,* Ἐπὶ *τίνα; εἶπε.* Καὶ ὁ Μαχαίτας· Ἐπὶ *σέ, βασιλεῦ, αὐτόν, ἂν ἐγρηγορὼς προςέχων ἀκούῃς.* « Nil tamen demuto », Rhœrius ait. Equidem rescripsi verbum quod est proprium, duce Plutarcho, et memor notissimæ præpositionum *ἐν ἐκ* permutationis.

[14] Voss. *ἐπὶ τινά,* Rh. *ἐπί τινα.* Rhœrius vertit pessime : « quam ob causam »? Quod mirandum est valde; apposuerat enim ad verba Plutarchea bonam conversionem : « ad quem provocas »?

[15] Voss. Rh., *ἐπί σοι γρηγοροῦντα.* Putat quidem Rh. auctorem scripsisse *ἐπί σε γρηγοροῦντα.* Sed abstinet manum, quam abstinuisse velim a prava conversione : « propter te vigilantem ». Præcedens quæstio *ἐπὶ τίνα* accusativos reponi jubebat, quos reposui. Conspirat similis historiolæ finis ap. Stob. Tit. 13, 29 : *ὁ δέ,* Ἐπὶ *τίνα; εἶπεν·* Ἐπὶ *Φίλιππον, ἀπεκρίνατο, ἐγρηγορότα.*

σξγ'. Σχολαστικὸς[1] Ἀμιναίαν[2] ἔχων, ἐσφράγισεν αὐτήν[3]. Τοῦ δὲ δούλου κάτωθεν τρήσαντος καὶ τὸν οἶνον αἴροντος, ἐθαύμαζεν ὅτι, τῶν σημάντρων σώων ὄντων[4], ὁ οἶνος ἠλαττοῦτο[5]. Ἕτερος εἶπεν· « Ὅρα μὴ κάτωθεν ἀφῃρέθη ». Ὁ δὲ « Ἀμαθέστατε », εἶπεν, « οὐ τὸ κάτωθεν λείπει, ἀλλὰ τὸ ἄνωθεν μέρος ».

[1] Est 15 in Edd. et Rh.; 16 in Voss.

[2] Edd. Lond. Needh. Ἀμιναῖαν. Cor. Ἀμιναίαν. Hesychius scribit Ἀμιναῖον οἶνον. Virgilius G. 2, 97 : « Sunt etiam Amineæ vites, firmissima vina ». Voss. Ἀμυναίαν, sine auctoritate. Pejor etiam scriptura Lexici botanici in meis Anecd. Gr. t. II, p. 395, 403 : Ἀμηναία ὄμφαξ, Ἀμηναῖον γλεῦκος, οἶνος Ἀμηναῖος. Prolixi sunt de illo vino interpretes Hieroclis, Hesychii, Virgilii, Catonis R. R. 6, Geoponicorum, 5, 17, lexicographi Gr. et Lat.; ac tamen adhuc quale fuerit Aminæum vinum ignoratur.

[3] Corayus cogitavit de scribendo Ἀμιναῖον.... αὐτόν, subaudito scilicet οἶνον, vel πίθον, aut servato genere fœminino subaudit στάμνον. Possit et subaudiri πιθάκνην. Sed obstat quod ellipsis utriusque nominis non sit in usu. Subauditi σταφυλήν alia est difficultas.

[4] Edit. Londin. συμμάντρων, quod Needham. ait se vidisse statim quo corrigendum modo. Voss. ζώων. Voluit, puto, scribere σώων, idque bene. Meminerat Hierocles loci Herodotei, 2, 121, 2 : τὸν βασιλέα θωμάσαι ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήϊα.... τῶν σημάντρων σώων ὄντων.

[5] Voss. ελατται, et in marg. ἐλαττοῦται. Edd. ἐλαττοῦτο. Augmentum addidi.

ADDENDA ET CORRIGENDA.

Page 6. Ἔχοντας μὲν Μέγαρα....] Apposite Thucydidem allegavi; sed fere puto declamatori declamatorum principem fuisse ducem; scilicet Aristidem Panath. p. 278 : ἀπέδωκεν ἐχοῦσα (ἡ πόλις) Μέγαρα.... Πηγάς. Ibi Jebb et ad p. 257.

P. 8, l. 8. Olim imprudens edidi, ἐλέγξῃ τὴν κακίαν. Codex caret articulo. — L. 23. Σὺ δ' ὅμοιον ποιεῖς ὥςπερ ἂν εἰ] similis est formula p. 17, 19. — N. 1. De Pericle Olympio Spalding. ad Quintil. II, c. 16 extr.

P. 16, n. 2. De γιγνόμενος in sensu τοῦ προςήκοντος adde Wyttenb. ad Eunap. p. 325.

P. 17, n. 3. Conf. p. 22, l. 8 : κἂν τὸ γέρας ἀπῇ.

P. 18, l. 7. Pro μετέχετε leg. μετείχετε.

P. 23, l. 5. Pro ὅτι fortasse ὅτε.

P. 25, n. 2. Conferatur, si tanti sit, Lindenbrogii Var. Quæst. centuria § 89.

P. 31, n. 4. Hunc Psalmorum locum de serpente surdo multi respexerunt. Legi potest nota Menagii ad Tassum Amynta, 1, 2 : « fugge i miei detti Come l'aspe l' incanto ». Trollopia femina docta : « Lady Dort addressed herself to ears more deaf than those of any adder that ever crawled ».

P. 39, n. 2. Similem formulam καὶ δεῖ rescribendam propono in Lesbonacte Orat. 2, p. 653, 4 : ἐπανενεγκεῖν δὲ τὴν γνώμην ὑμῶν ἕκαστον βούλομαι, ὃ καὶ δεῖ σκέψασθαι, ἃ περὶ πλείστου ποιούμενοι κατελίπομεν. Propono igitur; ἐπανενεγκεῖν δὲ τὴν γνώμην ὑμῶν ἕκαστον βούλομαι· ὃ καὶ δεῖ. Σκέψασθε ἃ.... Reiskius de σκέψασθε cogitavit.

P. 43, l. 9. Codex ὅτ' ἠδίκημαι. Scripsi ὅτι.

P. 46, n. 5. Præpositio προ in verbo προπταίω non convenit huic sententiæ Lucianei Neronis, c. 5 : τουτὶ καὶ αὐτοὶ χθὲς ἠκούσατε τοῦ προπταίσαντος χιλιάρχου. Reponam libens προςπταίσαντος. Sed vix placet in sensu appellendi verbum πταίω.

P. 47, l. 26. Fortasse πρὸς τὸ μὴ πραχθέν.

P. 52, l. 14. Pro δύσνοιαν fortasse δυστυχίαν. Conf. p. 195, n. 1.

P. 54, l. 7. Leg. ἐγκωμιάζειν.

P. 58, n. 4. Fortasse ad ἀπ' ἄλλων subaudiendum χωρῶν, τόπων. Conf. p. 70, 5 : ἐξ ἀλλοδαπῶν. Pseudo-Callisthenes, 1, 25 : συναθροισθέντες δὲ ἐκ πασῶν τῶν χωρῶν.

P. 65, l. 7. Pro ἐκείνων fortasse ἐκείνοις.

P. 71, l. 6. Addidi nomen ζωῆς. — Col. 1, l. 11. Juncturæ vocum χεῖρες ἐνεργοί admoveatur Synesiana phrasis Epist. 4, p. 447, in Delectu Sinner. : οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα.

P. 73, l. 7. Fortasse κἂν τούτῳ pro καὶ τ.

P. 76, n. 3, l. 4. Pro X, leg. IX, p. 185, 17.

P. 78, l. 20. Cod., φαίνομαι, quod mutavi.

P. 82, l. 7. Cod., οὐ κᾷν.

P. 101, l. 12. Fortasse μετὰ τὴν.... γνώμην.

P. 105, l. 1. Ἀρκύστατα] Pachymeres Andron. 1, 36, p. 98 : ὁρᾶτε εἰς ποῖα ἀρκύστατα πίπτετε. Ibi glossator : δίκτυα θηρευτικά. Rursus 4, 3, p. 285 : δεδιὼς ἴσως μὴ.... ἐμπέσοι γε εἰς ἀρκύστατα· cum eadem glossa. — L. 7. Συναρπαγείς] vid. p. 166, n. 3.

P. 113, l. 26. Μένος] leg. μόνος.

P. 115, l. 15. Ὅλως] rescribendum ὅλος, quod est et in codice e correctione. — Col. 2. De formula ἄκρῳ δακτύλῳ γεύεσθαι, ἅψασθαι, addesis C. Fr. Hermann. ad Luc. De hist. scrib. c. 4, p. 30. Demetrius Procopius, § 19, de Dositheo Patriarcha Hierosolymitano : ἐν μὲν τῇ Ἑλληνικῇ διαλέκτῳ ἐπιπόλαιος καὶ ἄκρῳ δακτύλῳ ταύτης γεγευμένος, ὡς καὶ αὐτὸς παῤῥησίᾳ ὡμολόγει.

P. 116, l. 1. Cod. πεπράκασι. — C. 1. Permutationem verborum γεύεσθαι γενέσθαι attigit Iahnius Anim. ad Basil. M. p. 182. — N. 2. Permutatione usus vocalium η ι, scripsi e conjectura in Theodoro Prodr. Rhod. 2, p. 70, ἡ γεωμέτρις φύσις, pro ἡ γεωμέτρης φ., fuitque id vocabulum e schedulis meis receptum in Thesaurum Didot.; sed monere debebant editores viri doct. emendationem esse conjecturalem. — N. 3. De δεινὰ ποιεῖν Jacobitz. et Jacob. ad Luc. Tox. c. 33.

P. 122, l. 24. Pro οὐδήποτε leg. οὐδήποτε.

P. 127, n. 4. Leg. : XII, p. 231.

P. 136, l. 10. Conjunctio ante ὑπώπτευε suspicionem movet de altero verbo quod exciderit. — L. 12. Pro ὅμως fortasse ἅμα, ὁμοῦ. — L. 14. μεταχειρίσεως] vid. p. 216, c. 1.

P. 137, c. 2. Syntaxi βλασφημεῖν εἰς usus est Libanius, t. III, p. 254, 13 : βλασφημῶν εἰς χρυσοχόον. Noster, p. 169 : τῆς εἰς ἐκείνην βλασφημίας.

P. 140, l. 14. Cod. λαίλαψ.

P. 141, extr. Cod. τωτέως.

P. 144, n. 5. Pro p. 18, leg. p. 118.

P. 161, n. 1. Illustrationem quam feci paulo longiorem repetitionis εὐγενὴς ἐξ εὐγενῶν, cumulabo adpositis de Constante et Constantio Libanii verbis, t. III, p. 276 : λεγέσθω δὴ τὸ τοῦ Πλάτωνος ἐπ' αὐτοῖς, μᾶλλον τούτοις ἢ ἐκείνοις πρέπον εἰς οὓς εἴρηται, ὅτι ἀγαθοὶ δ' ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. Respiciebat Platonis Menexenum, c. 6. Inscriptio in Letronnii Sylloge Ægyptiaca, t. II, p. 143 : Καὶ μέγαν ἐκ μεγάλων Τουῤῥάνιον. Ibi vir eruditiss. p. 150.

P. 166, n. 1. Formam εἰδοίη recte mutavi. Jam pridem εἰδοῖεν exulat Herodoti Calliope, 42, quod male Fischerus ex εἰδέω derivabat, contractionem non ionicam Herodoto tribuens. Invenio εἰδοίης in Antonii Byzantii Χρηστοηθείᾳ, § 38 : μηδένα ἀστεϊζόμενος σκῶπτε· ὃν δ' ἂν εἰδοίης βαρέως ἔχοντα πρὸς τὰς εὐτραπελίας, τούτῳ μηδέποτε λόγους ἐπ' ἀστειότητι προςαγαγεῖν ἐθελήσεις. Debuit scribere εἰδείης ab εἴδημι· sed illum pronunciatio fefellit.

P. 174, n. 4. Aliud afferam exemplum Rocheforti indiligentiæ ex Fabula Æsopia, quam ex ejus recensione edidit Corayus, p. 333 : βουθρέμων τις ἐν ὄρει ταῦρον ἀπώλεσεν. Ταῦρον οὖν ἐπιθύσειν ηὔχετο τῷ θεῷ εἰ τῷ κλέπτῃ ἐντύχῃ. Ἐξ αἴθρης οὖν εὗρε τοῦτον ὑπὸ λέοντος ἐσθιόμενον.... Schæferus βουθρέμμων scripsit; servavit Corayus βουθρέμων quod exhibet quidem codex, non servandum tamen. Pro ἐξ αἴθρης, quod Rochefortus mire vertit « dès la pointe du jour », conjecit uterque ἐξαίφνης, vere omnino; et favet omnino codex in quo exaratum legi ἐξαίθνης, litteris nitidissimis. Et est ἐντύχῃ Rocheforti error; codex ἐντύχοι idque bene.

P. 177, l. 7. Cod., δέχεσθε. — L. 18. Pro ἔδει fortasse εἰδείη.

P. 180, l. 8. Ὑπὸ μυσταγωγοῖς καὶ παιδαγωγοῖς ἀνῆξε] jam p. 172, n. 2, similia notavi. Videndus et Wyttenb. ad Eunapiana, p. 111 : τὴν παῖδα ἔχειν ὑφ' ἑαυτοῖς. Aristænetus, 2, 5 : κόρην.... ἔτι φρουρουμένην, καὶ μόλις ὑπὸ φύλαξιν ἔσθ' ὅπῃ προκύπτουσαν τῆς οἰκίας. Ibi bona est Abreschii annotatio Lectt. p. 212, sed qui non debuit remittere lectorem ad Hemst. Luc. D. M. 7, 1, quum ibi tractetur de formula ἐπί τινι θνήσκειν; et ipse non debui olim Abreschium inculpatum dimittere. Lucianus D. Mer. 11 : ὑπὸ πατρὶ φειδομένῳ τρεφομε-

νος. Meminerat fortasse Platonis verborum Rep. 9, p. 230 : ὑπὸ φειδωλῷ πατρὶ τεθραμμένος.

P. 185, n. 2. De permutatione verborum πλάττειν πράττειν Jacobitz et Jacob. ad Luc. Tox. c. 11.

P. 191, n. 1. Addi proponam καί Eunapio, p. 86, 3 : καὶ γὰρ οἱ μισοῦντες αὐτὸν ἐθαύμαζον. Fortasse, καὶ γὰρ καὶ οἱ μ.

P. 198, l. 5. Codex sic divisit verba : ἀμφοτέρων, φῆς πάντως, φυλ.

P. 204, c. 2. Leg. : Himerio restituatur e codice.

P. 211, c. 2. Leg. : de Aristide Orat. 53, p. 618.

P. 215, l. 19. Scripsi οὕτω. Codex, οὔπω.

P. 216, l. 18. Κἂν τιμηθήσεται est lectio codicis.

P. 218, n. 2. Exemplis nominis τελχίν addam verba Hieronymi Charitonymi ex laudatione Gemisti Plethonis quam nuper e codice Monacensi edidit Iahnius. Hieronymus igitur p. 375 : τίς τοίνυν τίς τελχὶν ἐφθόνησεν ἡμῖν τοῦ τοιούτου καλοῦ ;

P. 222, n. 3. Ex illa permutatione vocalium υ οι in Methodii Convivio p. 297 cum ἀνενδοιάστως pro ἀνενδυάστως scribo hanc sententiam : τοὺς ἀνενδοιάστως αὐτῷ πιστεύοντας.

P. 224, l. 23. Codex, σφαίραν.

P. 234, l. 5. Ἠγαλλίων] verbo illo non exquisito usus est Nicetas Eugen. 9, 256 : Συνεκρότουν, ἔχαιρον ἀμφὶ τοὺς νέους, Ἠγαλλίων ὁποῖον, ἀλλὰ καὶ πόσον!

P. 236, l. 2. Cod. ἐνοχλεῖεν. Scripsi ἐνοχλοῖεν. — N. 2. In Libanii loco pro πενθοῦσι, sententia suadente, conjeci τένθουσι. Ruhnkenium serius comperi, emendatione, quam certam esse ait, scripsisse τενθεύουσι. Utraque emendatio probabilis ; mihi mea placet magis.

P. 241, n. 2. Permutatio vocalium ι ει fraudi fuit possessori antiquo codicis Parisini 2671, quum πρόβιον posuit pro πρόβειον in transcribenda medica hac præscriptione : Παρ' ἰατροῦ παραγγελίαι πρὸς ἐμὲ περὶ τροφείων. Κρέας πρόβειον καλόν ἐστιν ἐσθίειν, οὐ μὴν δὲ ὀπτὸν, καὶ σπανάκιον καὶ ῥεμβίθια· καὶ ἀνίστασθαί με ἀπὸ πρωΐας· καὶ τὸ κεντὶ ἐσθίειν ἐν τῷ ἔαρι· καὶ ἡμέραν ὕπνου ἀπέχειν. Est σπανάκιον Spinacia Oleracea L.; κεντὶ vel κεντὶν aut κεντίον non novi. Putat Hasius vir doct. esse ῥεμβίθιον plantam quam vulgo vocamus « raiponce », Linnæo autem dicitur Campanula Rapunculus.

P. 246, l. 17. Cod. ἀναισχυντῶς. — N. 7. Pro εἴ τι fortasse ὅ τι, quæ voculæ sæpius permutantur. Cf. n. citata. Dion Chrys. Orat. 10, p. 298 : ἡγούμενα (ἀνδράποδα scilicet) εἴ τι πάθοι, τοὺς δεσπότας ζημιώσεσθαι, οὐχ αὐτούς. Inveni in codice, ὅ τι πάθοι. Sed præstat edita

lectio, quum notissima sit et hic opportuna formula παθεῖν τι de morte. Conf. p. 321, 2.

P. 265, c. 1 extr. Leg. hist. 13.

P. 267, § ιαʹ. Verbum καμμύσας facit ut meminerim Lucianeæ Tragopodagræ, 20 : ταλαίπωρον δέμας.... Ἕστηκε, καὶ μεμυκὸς ἐπιτείνει πόνους. Reperi in codice lectionem, cui non multum tribuo, excepto quod sit perspicua : Ἕστηκε καὶ μακροὺς ἐπεντείνει πόνους.

P. 270, c. 1. De verbo συνοψίζειν Coray. At. 4, 573.

P. 272, n. 12, l. 2. Pro 2 leg. 12.

P. 301, § ροαʹ. Codex ἔχει quidem nunc exhibet, sed e correctione, et videtur fuisse prius ἔχοι, quod mihi placuit. Sic §§ ιδʹ, ροϐʹ : ἠρώτα εἰ πρέποι, ἠρώτα πόθεν ἔχοι. Cf. § ιαʹ. Indicativus conveniet directæ propositioni.

P. 289, n. 11. Abderitis ac Maronitis stoliditatis olim notissimis addantur Sidonii ac Cumæi quos Hieroclis et Philagrii historiolæ proximæ facient ridiculos.

P. 321, n. 7. Non potuit φιμός, φιμάριον, vel, quod nomen notius est, φορϐειά mulierculæ petulantioris faciem ita operire ut non dignosceretur. At nonnunquam φορϐειᾷ addebatur veli genus quoddam, quo potuit uti. Ex monumentis quidem quorum imagines raptim inspexi veli istius formam quæ fuerit vix intelligo. Sed ἀπέχω, memor Ciceronianæ sententiæ, ea omnino deliberanda non esse in quibus est turpis ipsa deliberatio; cujus qui me serius meminisse dixerit, habebit confitentem reum. Non sequor semper meliora, etsi illa videam probemque.

P. 322, n. 9. Et sic male divisæ sunt syllabæ τῶν δέ in Symeonis Sethi Ichnelate, aliæ male adunatæ p. 24 : οὐδεὶς γὰρ ἐχέφρων τῶν δὲ τῶν τριῶν κατατολμᾷ, ἀλλ' οὐδὲ ῥᾳδίως ἐξ αὐτῶν σώζεται· λέγω δὴ τῆς πρὸς τοὺς βασιλεῖς ἐγγύτητος, καὶ τῆς τοῦ δηλητηρίου διαπειρᾶν μεταλήψεως, καὶ τοῦ ταῖς γυναιξὶ πιστεύειν μυστήρια. Manifesta est correctio τῶνδε, de qua ne monuissem quidem, sed verbum διαπειρᾶν sollicitandum videbitur. Oportuit enim scribi, καὶ τοῦ τῆς τοῦ δηλ. διαπειρᾶσθαι μεταλήψεως, ut statim πιστεύειν habet adjunctum articulum τοῦ. Propono legi διὰ πεῖραν, « experimenti faciundi causa ». Pari remedio indiget Gregorius Naz. Anth. 8, 122 : Ἀρτιγενειάσκων Εὐφήμιος. Codex optimus optime, ἄρτι γεν. Et sic Muratorius Anecd. Gr. p. 22. Alexander Aphrod. De febribus non procul ab initio : ἔδοξέ μοι ὡς παρενεισαγωγῆς τρόπῳ. Imo ὥςπερ ἐν εἰςαγωγῆς τρόπῳ. Nomini παρενεισαγωγή, mihi si creditur, lexica claudentur. Joannes Dama-

42

scenus De sanctis imaginn. Christum describit p. 114 : εὐήλικα, σύνοφρυν, εὐόφθαλμον, ἐπίῤῥινον, οὐλόθριξιν.... γενειάδα μέλανα ἔχοντα. Reponendum divisim οὖλον θριξίν, vel οὐλότριχα, οὐλότριχον, et μέλαιναν aut μελανήν. Contrario modo Theognidi olim prodesse conatus sum v. 1087, malæ scripturæ codicum δῆμον δ' ἄξια, δῆμον δ' ἄξιον, δήμων ἀξιοῖ δὲ πολλὰ φέρειν βαρύ, substituens : Δημῶναξ, εἶ πολλὰ φέρειν βαρύς. Me prorsus insciente Welcker. vir d. ad Alcmanem, p. 85, octo ante meam editionem annis conjecerat, Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ, et graviter tulisse videtur me suam mihi fecisse lectionem. Sed qui totus sum in apicibus et calami lapsibus rimandis facile potui sine auxilio δημῶναξ e vestigiis litterarum expiscari, quod si fuissem furatus et in reliquam emendationem simul involassem. Nec eidem d. viro debeo correctionem ἀεκούσια pro ἀέκουσι v. 1350, « a B. *etiam* in ordinem receptam ». Talibus inventionibus meum par est ingeniolum. Qui mea legunt, non nesciunt quam sim in citandis unde profecerim libris diligens. Qui me propius norunt, rite compertum habent malle me in meo esse ære pauperrimum quam dolo malo ditescere. Sed careo plerumque criticorum recentibus libris, novis editionibus vel optimis. Multæ sunt per multas ephemerides, per horrea multa dispersæ diatribæ, quas nec vidi neque unquam videbo; justi quoque libri, iique non pauci, vix mihi sunt titulo tenus cogniti.

CONTINENTUR HOCCE VOLUMINE:

[1] Nolui longiora argumenta ex codice repetere. Ipse compendii causa breviora alia confeci.

INDEX ANNOTATIONIS.

A

B

C

M

N

O

P

Q

R

S

T

U

V

X

Z

A

B

Γ

Δ

E

Z

H

Θ

I

K

Λ

M

P

Σ

T

Υ

TYPIS CRAPELET